



Google




1817
ARTES
SCIENTIA
VERITAS
LIBRARY OF THE
UNIVERSITY OF MICHIGAN
TUEBOR
SI QUAERIS PENINSULAM AMOENAM
CIRCUMSPICE

HERODOTOS.

ERKLAERT

VON

B. H. LHARDY.



ZWEITES BAENDCHEN:

BUCH III UND IV.

LEIPZIG,
WEIDMANN'SCHE BUCHHANDLUNG.
1852.

VORERINNERUNG.

In dem zweiten Bändchen ist in den Citaten aus Heeren's Ideen über die Politik den Verkehr und den Handel der vornehmsten Völker der alten Welt die vierte in den Jahren 1824 bis 1826 in Göttingen erschienene Ausgabe benutzt worden, in denen aus Ritter's Erdkunde, sowie im ersten Bändchen, so auch in diesem, für Afrika die zweite Ausgabe (Berlin 1822), für Asien dagegen die erste (Berlin 1817). Nur bei Gelegenheit der Satrapieneintheilung III, 90—94 ist der betreffende Band der zweiten Ausgabe (Berlin 1838) zu Rathe gezogen worden. Zu der obigen Stelle des Herodot führe ich hier noch aus dem oben erwähnten Bande Seite 85 Folgendes nachträglich an: "Die für iranische Geographie wichtigste dieser Keilinschriften, deren geographische Stellung in der asiatischen Paläographie die merkwürdige Mitte zwischen der Hieroglyphik des Nilthales und den semitischen und indischen Alphabeten des westlichen und östlichen Asiens einnimmt, ist bis jetzt unstreitig die von Niebuhr in Persepolis copirte, welche schon E. Burnouf beachtete, aber insbesondere Lassen vollständig aus dem Dunkel hervorzog und ihren Inhalt so glücklich zu Tage förderte. An den Palästen zu

Persepolis, woher so viele Inscriptionen kamen, bemerkt Lassen, lag es nahe, ein solches Völkerverzeichniss tributbringender Völker zu suchen, das den bekannten Sculpturdarstellungen derselben an den dortigen Felswänden entspräche, und dieses entdeckte Lassen wirklich in der genannten Inschrift. Die Ordnung dieser Völkeraufzählung ist eine ganz geographische, deren Namen sowohl denen der herodotischen Geschichten, als denen der Zend-Avesta entsprechen."

Berlin im September 1852.

L.

Γ.

Ἐπὶ τοῦτον δὴ τὸν Ἄμασιν Καμβύσης ὁ Κύρου ἐστρατεύετο, 1 ἄγων καὶ ἄλλους τῶν ἦρχε, καὶ Ἑλλήνων Ἴωνάς τε καὶ Αἰολέας, δι' αἰτίην τοιήνδε. πέμψας Καμβύσης ἐς Αἴγυπτον κήρυκα αἴτεε Ἄμασιν θυγατέρα, αἴτεε δὲ ἐκ συμβουλίης ἀνδρὸς Αἰγυπτίου, ὃς μεμφόμενος Ἄμασιν ἔπρηξε ταῦτα ὅτι μιν ἐξ ἁπάντων τῶν ἐν Αἰγύπτῳ ἰητρῶν ἀποσπάσας ἀπὸ γυναικός τε καὶ τέκνων ἔκδοτον ἐποίησε ἐς Πέρσας, ὅτε Κῦρος πέμψας παρ' Ἄμασιν αἴτεε ἰητρὸν ὀφθαλμῶν, ὃς

C. 1. ἐπὶ τοῦτον δὴ . . . Wiederaufnahme der am Ende von II, 1 unterbrochenen Erzählung. — Ἴωνάς τε καὶ Αἰ.: mussten hier von den übrigen dem Kambyses unterworfenen Völkern getrennt aufgeführt werden, da sie nicht zu der ἀρχή d. i. zu den Kronländern der persischen Monarchie gehörten, sondern unterjochte Völker (vgl. 1, 171) waren. Der Unterschied dieses Verhältnisses wird II, 1 durch ἄρχειν und ἐπικρατέειν bezeichnet. — δι' αἰτίην τοιήνδε: die folgende Geschichte ist doch wohl blos der Vorwand zu dem ägyptischen Feldzuge gewesen; die wahre Ursache war schwerlich eine andere, als die Reichthümer und der Wohlstand Aegyptens. — μεμφόμενος Ἄμασιν: wenn nicht Ἀμάσι zu lesen ist (gerade wie III, 11 u. IX, 6), so ist dies die einzige Stelle, wo μέμφεσθαι mit dem Accus. der Person construirt ist, da selbst an den Stellen, wo der Accusativ der Sache fehlt, die Person doch im Dativ steht I, 117. II, 162. III, 11. VI, 87. IX, 6. Den Accus. Ἄμασιν auf ἔπρηξε zu beziehen, wie Bähr will, ist unmöglich, da πράττειν τινά τι nicht = ποιεῖν τινά τι ist, sondern nur in solcher Verbindung gefunden wird, wie III, 58 von Jemand das Tribut eintreiben. Uebrigens hängt ὅτι nicht von ἔπρηξε, sondern von μεμφόμενος ab. Ueber μέμφεσθαι bemerke ich noch, dass die Aoristform nicht blos μεμφθῆναι I, 77. III, 13. IV, 180. VII, 146 ist, sondern auch μέμψασθαι II, 24. VIII, 106. — ἰητρὸν ὀφθαλμῶν: dass die Aegypter in der Arzeneikunde sehr bewandert

εἴη ἄριστος τῶν ἐν Αἰγύπτῳ. ταῦτα δὴ ἐπιμεμφόμενος ὁ Αἰγύπτιος ἐνῆγε τῇ συμβουλίῃ, κελεύων αἰτέειν τὸν Καμβύσεα Ἄμασιν θυγατέρα, ἵνα ἢ δοὺς ἀνιῷτο ἢ μὴ δοὺς Καμβύσῃ ἀπέχθοιτο. ὁ δὲ Ἄμασις τῇ δυνάμι τῶν Περσέων ἀχθόμενος καὶ ἀρρωδέων οὐκ εἶχε οὔτε δοῦναι οὔτε ἀρνήσασθαι· εὖ γὰρ ἠπίστατο ὅτι οὐκ ὡς γυναῖκά μιν ἔμελλε Καμβύσης ἕξειν ἀλλ᾽ ὡς παλλακήν. ταῦτα δὴ ἐκλογιζόμενος ἐποίησε τάδε. ἦν Ἀπρίεω τοῦ προτέρου βασιλέος θυγάτηρ κάρτα μεγάλη τε καὶ εὐειδὴς μούνη τοῦ οἴκου λελειμμένη, οὔνομα δέ οἱ ἦν Νίτητις. ταύτην δὴ τὴν παῖδα ὁ Ἄμασις κοσμήσας ἐσθῆτί τε καὶ χρυσῷ ἀποπέμπει ἐς Πέρσας ὡς ἑωυτοῦ θυγατέρα. μετὰ δὲ χρόνον ὥς μιν ἠσπάζετο πατρόθεν οὐνομάζων, λέγει πρὸς αὐτὸν ἡ παῖς "ὦ βασιλεῦ, διαβεβλημένος ὑπ᾽ Ἀμάσιος οὐ μανθάνεις, ὃς ἐμέ σοι κόσμῳ ἀσκήσας ἀπέπεμψε, ὡς ἑωυτοῦ θυγατέρα διδοὺς ἐοῦσαν τῇ ἀληθείῃ Ἀπρίεω, τὸν ἐκεῖνος ἐόντα ἑωυτοῦ δεσπότεα μετ᾽ Αἰγυπτίων ἐπαναστὰς ἐφόνευσε." τοῦτο δὴ τὸ ἔπος καὶ αὕτη ἡ αἰτίη ἐγγενομένη ἤγαγε Καμβύσεα τὸν Κύρου μεγά-
2 λως θυμωθέντα ἐπ᾽ Αἴγυπτον. οὕτω μέν νυν λέγουσι Πέρσαι, Αἰγύπτιοι δὲ οἰκηιεῦνται Καμβύσεα, φάμενοί μιν ἐκ ταύτης δὴ τῆς Ἀπρίεω θυγατρὸς γενέσθαι· Κῦρον γὰρ εἶναι τὸν πέμψαντα παρ᾽ Ἄμασιν ἐπὶ τὴν θυγατέρα, ἀλλ᾽ οὐ Καμβύσεα. λέγοντες δὲ ταῦτα οὐκ ὀρθῶς λέγουσι. οὐ μὴν οὐδὲ λέληθε αὐτούς (εἰ γάρ τινες καὶ ἄλλοι, τὰ Περσέων νόμιμα ἐπιστέαται καὶ Αἰγύπτιοι) ὅτι πρῶτα μὲν νόθον οὔ σφι νόμος ἐστὶ βασιλεῦσαι γνησίου παρεόντος, αὖ-

waren, ist schon II, 84 erwähnt. Auch Darius hatte ägyptische Aerzte an seinem Hofe, wie aus III, 129 erhellt. — *ἐνῆγε*: hierzu ist *τὸν Καμβύσεα* ebensowohl Object, als zu *κελεύων*. — *ἐσθῆτί τε καὶ χρυσῷ*: als ἓν διὰ δυοῖν zu fassen. — *ἠσπάζετο*: nämlich Kambyses. — *κόσμῳ ἀσκήσας*: vgl. *ἠσκημένῳ* II, 130. Greg. Cor. de dial. ion. §. 144 erklärt *ἀσκήσας* durch *καλλωπίσας* u. das vorhergehende *διαβεβλημένος* durch *καταπαιχθεὶς καὶ γελασθείς*.

C. 2. *οἰκηιεῦνται*: zu I, 4. — *εἰ γάρ τινες*: natürlich ist zu *εἰ* das Verbum des Hauptsatzes *ἐπιστέαται* zu wiederholen; der ganze Satz kann also kürzer ausgedrückt werden: *Αἰγύπτιοι γὰρ ὀρθότατα ἐπιστέαται τὰ Π. ν.* — *βασιλεῦσαι*: von den ächten Kindern folgte zwar der Regel nach der erste Sohn, besonders wenn er

τις δὲ ὅτι Κασσανδάνης τῆς Φαρνάσπεω θυγατρὸς ἦν παῖς Καμβύσης, ἀνδρὸς Ἀχαιμενίδεω, ἀλλ' οὐκ ἐκ τῆς Αἰγυπτίης. ἀλλὰ παρατρέπουσι τὸν λόγον προσποιεύμενοι τῇ Κύρου οἰκίῃ συγγενέες εἶναι. καὶ ταῦτα μὲν ὧδε ἔχει, λέγεται δὲ 3
καὶ ὅδε ὁ λόγος, ἐμοὶ μὲν οὐ πιθανός, ὡς τῶν Περσίδων γυναικῶν ἐσελθοῦσά τις παρὰ τὰς Κύρου γυναῖκας, ὡς εἶδε τῇ Κασσανδάνῃ παρεστεῶτα τέκνα εὐειδέα τε καὶ μεγάλα, πολλῷ ἐχρᾶτο τῷ ἐπαίνῳ ὑπερθωυμάζουσα, ἡ δὲ Κασσανδάνη ἐοῦσα τοῦ Κύρου γυνὴ εἶπε τάδε, "τοιῶνδε μέντοι ἐμὲ παίδων μητέρα ἐοῦσαν Κῦρος ἐν ἀτιμίῃ ἔχει, τὴν δ' ἀπ' Αἰγύπτου ἐπίκτητον ἐν τιμῇ τίθεται." τὴν μὲν ἀχθομένην τῇ Νιτήτι εἰπεῖν ταῦτα, τῶν δέ οἱ παίδων τὸν πρεσβύτερον εἰπεῖν Καμβύσεα "τοιγάρ τοι ὦ μῆτερ, ἐπεὰν ἐγὼ γένωμαι ἀνήρ, Αἰγύπτου τὰ μὲν ἄνω κάτω θήσω, τὰ δὲ κάτω ἄνω." ταῦτα εἰπεῖν αὐτὸν ἔτεα ὡς δέκα κου γεγονότα, καὶ τὰς γυναῖκας ἐν θώυματι γενέσθαι· τὸν δὲ διαμνημονεύοντα, οὕτω δή, ἐπείτε ἀνδρώθη καὶ ἔσχε τὴν βασιληίην, ποιήσασθαι τὴν ἐπ' Αἴγυπτον στρατηίην.

Συνήνεικε δὲ καὶ ἄλλο τι τοιόνδε πρῆγμα γενέσθαι ἐς 4
τὴν ἐπιστράτευσιν ταύτην: ἦν τῶν ἐπικούρων τῶν Ἀμάσιος ἀνὴρ γένος μὲν Ἁλικαρνησσεύς, οὔνομα δέ οἱ ἦν Φάνης, καὶ γνώμην ἱκανὸς καὶ τὰ πολεμικὰ ἄλκιμος. οὗτος ὁ

schon von dem Könige als König gezeugt war (VII, 2). Allein die Wahl war dennoch zugleich dem Könige überlassen; und da die Gemahlin diese gewöhnlich zu bestimmen pflegte, so ward dadurch zugleich der grosse Einfluss der Königin Mutter gegründet. Die unächten Söhne sollten zwar gänzlich ausgeschlossen sein, allein die Intriguen ihrer Mütter und die Giftmischereien der Eunuchen wussten ihnen doch öfters den Weg zum Throne zu bahnen. — *παρατρέπουσι τ. λ.*: **sie verdrehen die Geschichte.** Sonst *παρατρέπειν* **von der bisherigen Richtung ablenken** VII, 128 u. 130; überhaupt **abändern** VII, 16. — *προσποιεύμενοι*: zu I, 6.

C. 3. *ἐμοὶ μέν*: zu I, 131. — *παρεστεῶτα*: zu I, 23. — *ἐν ἀτιμίῃ ἔχει* = *ἐν οὐδεμιῇ μοίρῃ μεγάλῃ ἦγον* II, 172, oder *ἐν ἀλογίῃσι ἔχειν* II, 141, oder *ἀλογίην εἶχον* IV, 150. — *ἐν τιμῇ τ.*: zu I, 134.

C. 4. *συνήνεικε*: zu I, 73. — *ἐπιστράτευσιν*: dafür steht IX, 3 *ἐπιστρατηίην*. — *τῶν ἐπικούρων*: doch wohl dieselben, die Apries schon hatte, also Karer und Ioner nach II, 63, oder Hellenen und Karer nach III, 11; wie sie in den Dienst

Φάνης μεμφόμενός κού τι Ἀμάσι ἐκδιδρήσκει πλοίῳ ἐξ
Αἰγύπτου, βουλόμενος Καμβύσῃ ἐλθεῖν ἐς λόγους. οἷα δὲ
ἐόντα αὐτὸν ἐν τοῖσι ἐπικούροισι λόγου οὐ σμικροῦ ἐπι-
στάμενόν τε τὰ περὶ Αἴγυπτον ἀτρεκέστατα, μεταδιώκει
ὁ Ἄμασις σπουδὴν ποιεύμενος ἑλεῖν, μεταδιώκει δὲ τῶν
εὐνούχων τὸν πιστότατον ἀποστείλας τριήρεϊ κατ' αὐτόν,
ὃς αἱρέει μιν ἐν Λυκίῃ, ἑλὼν δὲ οὐκ ἀνήγαγε ἐς Αἴγυπτον·
σοφίῃ γάρ μιν περιῆλθε ὁ Φάνης· καταμεθύσας γὰρ τοὺς
φυλάκους ἀπαλλάσσετο ἐς Πέρσας. ὡρμημένῳ δὲ Καμ-
βύσῃ στρατεύεσθαι ἐπ' Αἴγυπτον καὶ ἀπορέοντι τὴν ἔλα-
σιν, ὅκως τὴν ἄνυδρον διεκπερᾷ, ἐπελθὼν φράζει μὲν καὶ
τἆλλα τὰ Ἀμάσιος πρήγματα, ἐξηγέεται δὲ καὶ τὴν ἔλα-
σιν, ὧδε παραινέων, πέμψαντα παρὰ τὸν Ἀραβίων βασι-
5 λέα δέεσθαι τὴν διέξοδόν οἱ ἀσφαλέα παρασχεῖν. μούνῃ δὲ
ταύτῃ εἰσὶ φανεραὶ ἐσβολαὶ ἐς Αἴγυπτον. ἀπὸ γὰρ Φοι-
νίκης μέχρι οὔρων τῶν Καδύτιος πόλιος γῆ ἐστὶ Σύρων
τῶν Παλαιστινῶν καλεομένων· ἀπὸ δὲ Καδύτιος ἐούσης
πόλιος, ὡς ἐμοὶ δοκέει, Σαρδίων οὐ πολλῷ ἐλάσσονος, ἀπὸ
ταύτης τὰ ἐμπόρια τὰ ἐπὶ θαλάσσης μέχρι Ἰηνύσου πό-
λιός ἐστι τοῦ Ἀραβίου, ἀπὸ δὲ Ἰηνύσου αὖτις Σύρων μέχρι

des ägyptischen Königs kamen, ist erzählt II, 152, ihre Wohnsitze *Στρατόπεδα* 154. — *μεμφόμενος:* zu III, 1. — *οἷα:* zu I, 61. — *κατ' αὐτόν*: zu I, 77. — *σοφίῃ:* d u r c h K l u g h e i t, S c h l a u h e i t, wie II, 172. — *περιῆλθε:* t ä u s c h t e, wie zuweilen *circumvenire*, nur hier in diesem Sinne. — *ἀπορέοντι τὴν ἔλασιν:* der Accusativ bei *ἀπορέειν* (w e g e n, in B e z u g auf) steht noch IV, 179; mit einem andern Casus wird dies Verbum beim H. nicht construirt; so Thucyd. 5, 40: *ἀπoροῦντες οὖν ταῦτα οἱ Ἀργεῖοι.* Dagegen Xen. mit dem Dativ, so Anab. I, 3, 8 u. I, 5, 13. — *διεκπερᾷ:* als Futurum zu fassen. —

C. 5. *μούνῃ δὲ ταύτῃ:* nämlich durch die Wüste. — *εἰσὶ φανεραί:* patet. — *Καδύτιος πόλιος:* zu II, 159. — *τῶν Παλαιστινῶν:* zu I, 105. — *ἀπὸ ταύτης:* pleonastisch, gerade wie II, 100. — *Ἰηνύσου:* soll in der Nähe von Gaza gelegen haben; doch wohl dieselbe Stadt, die Steph. de urb. Inyssos nennt: *Ἴνυσσος, πόλις Αἰγύπτου προσεχὴς τῷ Κασίῳ ὄρει. Ἡρόδοτος.* — *τοῦ Ἀραβίου:* zu 1, 2. — *Σύρων:* parallel mit *τοῦ Ἀραβίου.* — *μέχρι Σερβωνίδος λίμνης:* dieser See bildete also nach Herodot's Ansicht die Gränze zwischen Syrien und Aegypten. "Hier ist", sagt R i t t e r Erdk. II, S. 401, "das merkwürdige Lokale in den Sümpfen von Gaza (*nunc est palus modica* Plin. V, 14; gegenwärtig ist dort Sandwüste), in welches die Vorzeit den Lacus Serbonis verlegte, der schon

Σερβωνίδος λίμνης, παρ' ἣν δὴ τὸ Κάσιον οὖρος τείνει ἐς θάλασσαν· ἀπὸ δὲ Σερβωνίδος λίμνης, ἐν τῇ δὴ λόγος τὸν Τυφῶ κεκρύφθαι, ἀπὸ ταύτης ἤδη Αἴγυπτος. τὸ δὴ μεταξὺ Ἰηνύσου πόλιος καὶ Κασίου τε οὔρεος καὶ τῆς Σερβωνίδος λίμνης, ἐὸν τοῦτο οὐκ ὀλίγον χωρίον ἀλλ' ὅσον τε ἐπὶ τρεῖς ἡμέρας ὁδόν, ἄνυδρόν ἐστι δεινῶς. τὸ δὲ ὀλίγοι 6
τῶν ἐς Αἴγυπτον ναυτιλλομένων ἐννενώκασι, τοῦτο ἔρχομαι φράσων. ἐς Αἴγυπτον ἐκ τῆς Ἑλλάδος πάσης καὶ πρὸς ἐκ Φοινίκης κέραμος ἐσάγεται πλήρης οἴνου δὶς τοῦ ἔτεος ἑκάστου, καὶ ἓν κεράμιον οἰνηρὸν ἀριθμῷ κείμενον οὐκ ἔστι ὡς λόγῳ εἰπεῖν ἰδέσθαι. κοῦ δῆτα, εἴποι τις ἄν, ταῦτα ἀναισιμοῦται; ἐγὼ καὶ τοῦτο φράσω. δεῖ τὸν μὲν δήμαρχον ἕκαστον ἐκ τῆς ἑωυτοῦ πόλιος συλλέξαντα πάντα τὸν κέραμον ἄγειν ἐς Μέμφιν, τοὺς δὲ ἐκ Μέμφιος ἐς ταῦτα δὴ τὰ ἄνυδρα τῆς Συρίης κομίζειν πλήσαντας ὕδατος. οὕτω ὁ ἐπιφοιτῶν κέραμος καὶ ἐξαιρεόμενος ἐν Αἰγύπτῳ ἐπὶ τὸν παλαιὸν κομίζεται ἐς Συρίην. οὕτω μέν νυν 7

im Alterthum zu mancherlei Verwechselung Anlass gab, mit welchem aber die lokalen Sagen des ägyptischen Typhon, des Drako, der Dea Syra, der Derketo, die Bildungsgeschichte des Orontes (Strab. 16, 307), der Kampf St. Georgs mit dem Lindwurm, so wie die Hypothesen des Aristoteles über den unterirdischen Coraxos, in einem geographischen Zusammenhange stehen „an den Gränzen des so fabelreichen Libyens." Nach Strabo lief dieser See der Küste fast parallel bis zu seinem Ausbruche zum Meere (als Lagune durch die vorliegende Nehrung). — *τὸ Κάσιον ὄρος*: den beschreibt Strabo als einen Sanddünenhügel, ein Vorgebirge bildend, wasserlos, wo der Leichnam des Pompeius M. bestattet sei, und wo der Tempel des Zeus Kasios stehe. — *Τυφῶ*: dafür steht *Τυφῶνα* II, 144, wie *κυκεῶ* statt *κυκεῶνα* Hom. Od. 10, 290 u. 316, auch hymn. Cer. 210; ebenso *γέλω* statt *γέλωτα* Od. 20, 8 u. 346. — *ἐπὶ τρεῖς ἡμέρας*: die Entfernung soll näml. 15 deutsche M. betragen.

C. 6. *ἔρχομαι φράσων*: zu I, 5. — *καὶ πρός*: zu I, 156. — *κέραμος*: irden Geschirr. — *ἀριθμῷ*: mit *ἕν* zu verbinden: *ne unum quidem numero*. — *ἀναισιμοῦται*: zu I, 179. — *δεῖ*: natürlich wurde dies Gesetz erst dann eingeführt, als die Aegypter unter persische Herrschaft kamen, wie im folgenden C. steht. — *δήμαρχον*: doch wohl der Vorsteher einer Gemeinde oder Ortschaft, stand also unter dem Vorsteher des ganzen Nomos (*τῷ νομάρχῃ* II, 177). — *τοὺς δὲ ἐκ Μ.* = *τοὺς δὲ τὴν Μέμφιν κατοικέοντας*, wie I, 4 *τοὺς ἐκ τῆς Ἀσίης*. — *ἐξαιρεόμενος*: aus den Schiffen herausgenommen, also *venum expositus*. — *ἐπὶ τὸν παλαιόν*: nämlich *κέραμον*; zu den alten Vorrä-

*Φάνης μεμφόμενός κού τι Ἀμάσι ἐκδιδρήσκει πλοίῳ ἐξ
Αἰγύπτου, βουλόμενος Καμβύσῃ ἐλθεῖν ἐς λόγους. οἷα δὲ
ἐόντα αὐτὸν ἐν τοῖσι ἐπικούροισι λόγου οὐ σμικροῦ ἐπι-
στάμενόν τε τὰ περὶ Αἴγυπτον ἀτρεκέστατα, μεταδιώκει
ὁ Ἄμασις σπουδὴν ποιεύμενος ἑλεῖν, μεταδιώκει δὲ τῶν
εὐνούχων τὸν πιστότατον ἀποστείλας τριήρεϊ κατ᾽ αὐτόν,
ὃς αἱρέει μιν ἐν Λυκίῃ, ἑλὼν δὲ οὐκ ἀνήγαγε ἐς Αἴγυπτον·
σοφίῃ γάρ μιν περιῆλθε ὁ Φάνης· καταμεθύσας γὰρ τοὺς
φυλάκους ἀπαλλάσσετο ἐς Πέρσας. ὡρμημένῳ δὲ Καμ-
βύσῃ στρατεύεσθαι ἐπ᾽ Αἴγυπτον καὶ ἀπορέοντι τὴν ἔλα-
σιν, ὅκως τὴν ἄνυδρον διεκπερᾷ, ἐπελθὼν φράζει μὲν καὶ
τἆλλα τὰ Ἀμάσιος πρήγματα, ἐξηγέεται δὲ καὶ τὴν ἔλα-
σιν, ὧδε παραινέων, πέμψαντα παρὰ τὸν Ἀραβίων βασι-*
5 *λέα δέεσθαι τὴν διέξοδόν οἱ ἀσφαλέα παρασχεῖν. μούνῃ δὲ
ταύτῃ εἰσὶ φανεραὶ ἐσβολαὶ ἐς Αἴγυπτον. ἀπὸ γὰρ Φοι-
νίκης μέχρι οὔρων τῶν Καδύτιος πόλιος γῆ ἐστὶ Σύρων
τῶν Παλαιστινῶν καλεομένων· ἀπὸ δὲ Καδύτιος ἐούσης
πόλιος, ὡς ἐμοὶ δοκέει, Σαρδίων οὐ πολλῷ ἐλάσσονος, ἀπὸ
ταύτης τὰ ἐμπόρια τὰ ἐπὶ θαλάσσης μέχρι Ἰηνύσου πό-
λιός ἐστι τοῦ Ἀραβίου, ἀπὸ δὲ Ἰηνύσου αὖτις Σύρων μέχρι*

des ägyptischen Königs kamen, ist erzählt II, 152, ihre Wohnsitze *Στρατόπεδα* 154. — *μεμφόμενος:* zu III, 1. — *οἷα:* zu I, 61. — *κατ᾽ αὐτόν*: zu I, 77. — *σοφίῃ:* durch Klugheit, Schlauheit, wie II, 172. — *περιῆλθε:* täuschte, wie zuweilen *circumvenire*, nur hier in diesem Sinne. — *ἀπορέοντι τὴν ἔλασιν:* der Accusativ bei *ἀπορέειν* (wegen, in Bezug auf) steht noch IV, 179; mit einem andern Casus wird dies Verbum beim H. nicht construirt; so Thucyd. 5, 40: *ἀποροῦντες οὖν ταῦτα οἱ Ἀργεῖοι.* Dagegen Xen. mit dem Dativ, so Anab. I, 3, 8 u. I, 5, 13. — *διεκπερᾷ:* als Futurum zu fassen. —

C. 5. *μούνῃ δὲ ταύτῃ:* nämlich durch die Wüste. — *εἰσὶ φανεραί:* patet. — *Καδύτιος πόλιος:* zu II, 159. — *τῶν Παλαιστινῶν:* zu I, 105. — *ἀπὸ ταύτης:* pleonastisch, gerade wie II, 100. — *Ἰηνύσου:* soll in der Nähe von Gaza gelegen haben; doch wohl dieselbe Stadt, die Steph. de urb. Inyssos nennt: *Ἰνυσσός, πόλις Αἰγύπτου προσεχὴς τῷ Κασίῳ ὄρει. Ἡρόδοτος.* — *τοῦ Ἀραβίου:* zu 1, 2. — *Σύρων:* parallel mit *τοῦ Ἀραβίου.* — *μέχρι Σερβωνίδος λίμνης:* dieser See bildete also nach Herodot's Ansicht die Gränze zwischen Syrien und Aegypten. "Hier ist", sagt Ritter Erdk. II, S. 401, "das merkwürdige Lokale in den Sümpfen von Gaza (*nunc est palus modica* Plin. V, 14; gegenwärtig ist dort Sandwüste), in welches die Vorzeit den Lacus Serbonis verlegte, der schon

Σερβωνίδος λίμνης, παρ' ἣν δὴ τὸ Κάσιον οὖρος τείνει ἐς
θάλασσαν· ἀπὸ δὲ Σερβωνίδος λίμνης, ἐν τῇ δὴ λόγος τὸν
Τυφῶ κεκρύφθαι, ἀπὸ ταύτης ἤδη Αἴγυπτος. τὸ δὴ με-
ταξὺ Ἰηνύσου πόλιος καὶ Κασίου τε οὔρεος καὶ τῆς Σερ-
βωνίδος λίμνης, ἐὸν τοῦτο οὐκ ὀλίγον χωρίον ἀλλ' ὅσον τε
ἐπὶ τρεῖς ἡμέρας ὁδόν, ἄνυδρόν ἐστι δεινῶς. τὸ δὲ ὀλίγοι 6
τῶν ἐς Αἴγυπτον ναυτιλλομένων ἐννενώκασι, τοῦτο ἔρχο-
μαι φράσων. ἐς Αἴγυπτον ἐκ τῆς Ἑλλάδος πάσης καὶ
πρὸς ἐκ Φοινίκης κέραμος ἐσάγεται πλήρης οἴνου δὶς τοῦ
ἔτεος ἑκάστου, καὶ ἓν κεράμιον οἰνηρὸν ἀριθμῷ κείμενον
οὐκ ἔστι ὡς λόγῳ εἰπεῖν ἰδέσθαι. κοῦ δῆτα, εἴποι τις ἄν,
ταῦτα ἀναισιμοῦται; ἐγὼ καὶ τοῦτο φράσω. δεῖ τὸν μὲν
δήμαρχον ἕκαστον ἐκ τῆς ἑωυτοῦ πόλιος συλλέξαντα πάντα
τὸν κέραμον ἄγειν ἐς Μέμφιν, τοὺς δὲ ἐκ Μέμφιος ἐς
ταῦτα δὴ τὰ ἄνυδρα τῆς Συρίης κομίζειν πλήσαντας ὕδα-
τος. οὕτω ὁ ἐπιφοιτῶν κέραμος καὶ ἐξαιρεόμενος ἐν Αἰ-
γύπτῳ ἐπὶ τὸν παλαιὸν κομίζεται ἐς Συρίην. οὕτω μέν νυν 7

im Alterthum zu mancherlei Verwechselung Anlass gab, mit welchem aber die lokalen Sagen des ägyptischen Typhon, des Drako, der Dea Syra, der Derketo, die Bildungsgeschichte des Orontes (Strab. 16, 307), der Kampf St. Georgs mit dem Lindwurm, so wie die Hypothesen des Aristoteles über den unterirdischen Coraxos, in einem geographischen Zusammenhange stehen „an den Gränzen des so fabelreichen Libyens." Nach S t r a b o lief dieser See der Küste fast parallel bis zu seinem Ausbruche zum Meere (als Lagune durch die vorliegende Nehrung). — *τὸ Κάσιον ὄρος*: den beschreibt Strabo als einen Sanddünenhügel, ein Vorgebirge bildend, wasserlos, wo der Leichnam des Pompeius M. bestattet sei, und wo der Tempel des Zeus Kasios stehe. — *Τυφῶ*: dafür steht *Τυφῶνα* II, 144, wie *κυκεῶ* statt *κυκεῶνα* Hom. Od. 10, 290 u. 316, auch hymn. Cer. 210; ebenso *γέλω* statt *γέλωτα* Od. 20, 8 u. 346. — *ἐπὶ τρεῖς ἡμέρας:* die Entfernung soll näml. 15 deutsche M. betragen.

C. 6. *ἔρχομαι φράσων:* zu I, 5. — *καὶ πρός:* zu I, 156. — *κέραμος:* i r d e n G e s c h i r r. — *ἀριθμῷ*: mit *ἓν* zu verbinden: *ne unum quidem numero*. — *ἀναισιμοῦται:* zu I, 179. — *δεῖ:* natürlich wurde dies Gesetz erst dann eingeführt, als die Aegypter unter persische Herrschaft kamen, wie im folgenden C. steht. — *δήμαρχον:* doch wohl der V o r s t e h e r e i n e r G e m e i n d e o d e r O r t s c h a f t, stand also unter dem Vorsteher des ganzen Nomos (*τῷ νομάρχῃ* II, 177). — *τοὺς δὲ ἐκ Μ.* = *τοὺς δὲ τὴν Μέμφιν κατοικέοντας*, wie I, 4 *τοὺς ἐκ τῆς Ἀσίης*. — *ἐξαιρεόμενος:* a u s d e n S c h i f f e n h e r a u s g e n o m m e n, also *venum expositus*. — *ἐπὶ τὸν παλαιόν:* nämlich *κέραμον;* zu den alten Vorrä-

Πέρσαι εἰσὶ οἱ τὴν ἐσβολὴν ταύτην παρασκευάσαντες ἐπ' Αἴγυπτον, κατὰ δὴ τὰ εἰρημένα σάξαντες ὕδατι, ἐπείτε τάχιστα παρέλαβον Αἴγυπτον. τότε δὲ οὐκ ἐόντος κω ὕδατος ἑτοίμου, Καμβύσης πυθόμενος τοῦ Ἁλικαρνησσέος ξείνου, πέμψας παρὰ τὸν Ἀράβιον ἀγγέλους καὶ δεηθεὶς τῆς ἀσφαλείης ἔτυχε, πίστις δούς τε καὶ δεξά-
8 *μενος παρ' αὐτοῦ. σέβονται δὲ Ἀράβιοι πίστις ἀνθρώπων ὁμοῖα τοῖσι μάλιστα. ποιεῦνται δὲ αὐτὰς τρόπῳ τοιῷδε· τῶν βουλομένων τὰ πιστὰ ποιέεσθαι ἄλλος ἀνὴρ ἀμφοτέρων αὐτῶν ἐν μέσῳ ἑστεὼς λίθῳ ὀξέι τὸ ἔσω τῶν χειρῶν παρὰ τοὺς δακτύλους τοὺς μεγάλους ἐπιτάμνει τῶν ποιευμένων τὰς πίστις, καὶ ἔπειτα λαβὼν ἐκ τοῦ ἱματίου ἑκατέρου κροκύδα ἀλείφει τῷ αἵματι ἐν μέσῳ κειμένους λίθους ἑπτά, τοῦτο δὲ ποιέων ἐπικαλέει τόν τε Διόνυσον καὶ τὴν Οὐρανίην. ἐπιτελέσαντος δὲ τούτου ταῦτα, ὁ τὰς πίστις ποιησάμενος τοῖσι φίλοισι παρεγγυᾷ τὸν ξεῖνον, ἢ καὶ τὸν ἀστόν, ἢν πρὸς ἀστὸν ποιέηται· οἱ δὲ φίλοι καὶ αὐτοὶ τὰς πίστις δικαιεῦσι σέβεσθαι. Διόνυσον δὲ θεὸν μοῦνον καὶ τὴν Οὐρανίην ἡγεῦνται εἶναι, καὶ τῶν τριχῶν τὴν κουρὴν κείρεσθαί φασι κατά περ αὐτὸν τὸν Διόνυσον κεκάρθαι· κείρονται δὲ περιτρόχαλα, περιξυροῦντες τοὺς κροτάφους. οὐνομάζουσι δὲ τὸν μὲν Διόνυσον Ὀροτάλ, τὴν δὲ Οὐρανίην Ἀλιλάτ.*

then kommen in jedem Jahre neue hinzu; der Gegensatz liegt in *παλαιός* und *ἐπιφοιτῶν*. Es versteht sich, dass von Memphis aus der *κέραμος* leer transportirt und mit Wasser erst beim Eintritt in das wasserlose Land gefüllt wird, weil man nicht nöthig hat, die Last des Wassers so weit zu transportiren, das man unterwegs reichlich haben kann.

C. 7. *σάξαντες*: von *σάττειν*, bepacken, ausrüsten; sonst nur von der Waffenrüstung im Pqpf. Pass. VII, 62. 70. 73. 86. Vgl. *ἐσάξαντο* V, 34. Daher *ἐπισάττειν* aufpacken I, 194 und III, 9. — *τὸν Ἀράβιον*: zu I, 2.

C. 8. *ἀνθρώπων*: gen. partit. zu *τοῖσι* gehörig. — *τοῖσι μάλιστα*: nämlich *σεβομένοισι*. So VII, 141 *τῷ μάλιστα*, nämlich *δοκίμῳ*. — *τῶν ποιευμένων τὰς π.*: pleonastische Wiederholung von *τῶν βουλομένων τὰ πιστὰ ποιέεσθαι*, durch die vielen dazwischen liegenden Worte veranlasst; vgl. II, 13. — *κροκύδα*: von *κροκύς* ein Flocken, ein Fädchen. — *παρεγγυᾷ*: übergiebt, empfiehlt. — *ἡγεῦνται*: zu I, 4.

Ἐπεὶ ὦν τὴν πίστιν τοῖσι ἀγγέλοισι τοῖσι παρὰ Καμβύσεω ἀπιγμένοισι ἐποιήσατο ὁ Ἀράβιος, ἐμηχανᾶτο τοιάδε· ἀσκοὺς καμήλων πλήσας ὕδατος ἐπέσαξε ἐπὶ τὰς ζωὰς τῶν καμήλων πάσας, τοῦτο δὲ ποιήσας ἤλασε ἐς τὴν ἄνυδρον καὶ ὑπέμενε ἐνθαῦτα τὸν Καμβύσεω στρατόν. οὗτος μὲν ὁ πιθανώτερος τῶν λόγων εἴρηται· δεῖ δὲ καὶ τὸν ἧσσον πιθανόν, ἐπεί γε δὴ λέγεται, ῥηθῆναι. ποταμός ἐστι μέγας ἐν τῇ Ἀραβίῃ τῷ οὔνομα Κόρυς, ἐκδιδοῖ δὲ οὗτος ἐς τὴν Ἐρυθρὴν καλεομένην θάλασσαν. ἀπὸ τούτου δὴ ὦν τοῦ ποταμοῦ λέγεται τὸν βασιλέα τῶν Ἀραβίων, ῥαψάμενον τῶν ὠμοβοέων καὶ τῶν ἄλλων δερμάτων ὀχετὸν μήκει ἐξικνεύμενον ἐς τὴν ἄνυδρον, ἀγαγεῖν διὰ δὴ τούτου τὸ ὕδωρ, ἐν δὲ τῇ ἀνύδρῳ μεγάλας δεξαμενὰς ὀρύξασθαι, ἵνα δεκόμεναι τὸ ὕδωρ σώζωσι. ὁδὸς δ᾽ ἐστὶ δυώδεκα ἡμερέων ἀπὸ τοῦ ποταμοῦ ἐς ταύτην τὴν ἄνυδρον. ἄγειν δέ μιν δι᾽ ὀχετῶν τριῶν ἐς τριξὰ χωρία. 9

Ἐν δὲ τῷ Πηλουσίῳ καλεομένῳ στόματι τοῦ Νείλου ἐστρατοπεδεύετο Ψαμμήνιτος ὁ Ἀμάσιος παῖς, ὑπομένων Καμβύσεα. Ἄμασιν γὰρ οὐ κατέλαβε ζώοντα Καμβύσης ἐλάσας ἐπ᾽ Αἴγυπτον, ἀλλὰ βασιλεύσας ὁ Ἄμασις τέσσερα καὶ τεσσεράκοντα ἔτεα ἀπέθανε, ἐν τοῖσι οὐδέν οἱ μέγα ἀνάρσιον πρῆγμα συνηνείχθη. ἀποθανὼν δὲ καὶ ταριχευθεὶς ἐτάφη ἐν τῇσι ταφῇσι τῇσι ἐν τῷ ἱρῷ, τὰς αὐτὸς οἰκοδομήσατο. ἐπὶ Ψαμμηνίτου δὲ τοῦ Ἀμάσιος βασιλεύοντος Αἰγύπτου φάσμα Αἰγυπτίοισι μέγιστον δὴ ἐγένετο· ὕσθησαν γὰρ Θῆβαι αἱ Αἰγύπτιαι, οὔτε πρότερον οὐδαμὰ ὑσθεῖσαι οὔτε ὕστερον τὸ μέχρι ἐμεῦ, ὡς λέγουσι αὐτοὶ Θηβαῖοι. οὐ γὰρ δὴ ὕεται τὰ ἄνω τῆς Αἰ- 10

C. 9. *ἀσκοὺς καμήλων:* Schläuche, die aus Fellen von Kameelen gemacht waren. — *ἐπισάξαντες:* zu III, 7. — *ὀχετόν*: also eine Schlauchröhre. — *ἐξικνεύμενον:* zu I, 171. — *δεξαμενάς:* Cisternen; noch VI, 119. — *τριξά:* zu I, 171.

C. 10. *τῷ Πηλουσίῳ*: vgl. II, 17. — *ἀνάρσιον πρῆγμα:* widriger Vorfall. So dies Adjectiv meist in Verbindung mit *πεπονθέναι* noch I, 114. III, 74. V, 89. 90. IX, 37. 110. Zu Hom. Od. 10, 459 erklären es die Grammatiker durch *πολέμιος*. — *συνηνείχθη:*

γύπτου τὸ παράπαν· ἀλλὰ καὶ τότε ὕσθησαν αἱ Θῆβαι ψακάδι.
11 οἱ δὲ Πέρσαι ἐπείτε διεξελάσαντες τὴν ἄνυδρον ἵζοντο πέλας τῶν Αἰγυπτίων ὡς συμβαλέοντες, ἐνθαῦτα οἱ ἐπίκουροι οἱ τοῦ Αἰγυπτίου, ἐόντες ἄνδρες Ἕλληνές τε καὶ Κᾶρες, μεμφόμενοι τῷ Φάνῃ ὅτι στρατὸν ἤγαγε ἐπ' Αἴγυπτον ἀλλόθροον, μηχανῶνται πρῆγμα ἐς αὐτὸν τοιόνδε. ἔσαν τῷ Φάνῃ παῖδες ἐν Αἰγύπτῳ καταλελειμμένοι, τοὺς ἀγαγόντες ἐς τὸ στρατόπεδον καὶ ἐς ὄψιν τοῦ πατρὸς κρητῆρα ἐν μέσῳ ἔστησαν ἀμφοτέρων τῶν στρατοπέδων, μετὰ δὲ ἀγινέοντες κατ' ἕνα ἕκαστον τῶν παίδων ἔσφαζον ἐς τὸν κρητῆρα. διὰ πάντων δὲ διεξελθόντες τῶν παίδων οἶνόν τε καὶ ὕδωρ ἐσεφόρεον ἐς αὐτόν, ἐμπιόντες δὲ τοῦ αἵματος πάντες οἱ ἐπίκουροι οὕτω δὴ συνέβαλον. μάχης δὲ γενομένης καρτερῆς καὶ πεσόντων ἐξ ἀμφοτέρων τῶν στρατοπέδων πλήθεϊ πολλῶν ἐτράποντο οἱ Αἰγύπτιοι.

12 Θῶυμα δὲ μέγα εἶδον πυθόμενος παρὰ τῶν ἐπιχωρίων· τῶν γὰρ ὀστέων περικεχυμένων χωρὶς ἑκατέρων τῶν ἐν τῇ μάχῃ ταύτῃ πεσόντων (χωρὶς μὲν γὰρ τῶν Περσέων ἐκέετο τὰ ὀστέα, ὡς ἐχωρίσθη κατ' ἀρχάς, ἑτέρωθι δὲ τῶν Αἰγυπτίων) αἱ μὲν τῶν Περσέων κεφαλαί εἰσι ἀσθενέες οὕτω ὥστε, εἰ θέλεις ψήφῳ μούνῃ βαλέειν, διατετρανέεις, αἱ δὲ τῶν Αἰγυπτίων οὕτω δή τι ἰσχυραί, μόγις ἂν λίθῳ παίσας διαράξειας. αἴτιον δὲ τούτου τόδε ἔλεγον, καὶ ἐμέ γ' εὐπετέως ἔπειθον, ὅτι Αἰγύπτιοι μὲν αὐτίκα ἀπὸ παιδίων ἀρξάμενοι ξυρεῦνται τὰς κεφαλὰς καὶ πρὸς τὸν ἥλιον παχύνεται τὸ ὀστέον. τὠυτὸ δὲ τοῦτο καὶ τοῦ μὴ φαλακροῦσθαι αἴτιόν ἐστι· Αἰγυπτίων γὰρ ἂν τις ἐλαχίστους

zu II, 111. — *ψακάδι:* *ψακάς* ist der feine Staubregen.

C. 11. *οἱ ἐπίκουροι:* zu III, 4. — *μεμφόμενοι:* zu III, 1. — *ἀλλόθροον:* noch I, 78; zu Hom. Od. I, 183 erklärt durch *βάρβαρος*. — *κατὰ ἕνα ἕκαστον:* zu II, 79.

C. 12. *κεφαλαί:* also die Schädel. — *μόγις ἄν:* die Partikel *ὥστε*, die man hinter *οὕτως* erwartet, fehlt auch III, 108 *οὕτω δή τι πολύγονόν ἐστι· ἐπικυΐσκεται* . . . statt *ἐστι ὥστε ἐπικυΐσκεται.* 120 *ὧδε δή τι ἐοῦσαν εὐπετέα χειρωθῆναι, τὴν τῶν τις . . . ἔσχε,* statt *ὥστ' αὐτὴν . . . ἔσχε.* IV, 28 *οὕτω δή τί ἐστι, ἔνθα . .* 52 *οὕτω δή τι ἐοῦσα πικρή, ἣ . . . κιρνᾷ,* statt *ὥστ' αὐτὴν κιρνᾶν.* — *Αἰγύπτιοι μέν:* die Partikel ist wie-

ἴδοιτο φαλακροὺς πάντων ἀνθρώπων. τούτοισι μὲν δὴ τοῦτό ἐστι αἴτιον ἰσχυρὰς φορέειν τὰς κεφαλάς, τοῖσι δὲ Πέρσῃσι, ὅτι ἀσθενέας φορέουσι τὰς κεφαλάς, αἴτιον τόδε· σκιητροφέουσι ἐξ ἀρχῆς πίλους τιάρας φορέοντες. ταῦτα μέν νυν τοιαῦτα ἐόντα εἶδον· εἶδον δὲ καὶ ἄλλα ὁμοῖα τούτοισι ἐν Παπρήμι τῶν ἅμα Ἀχαιμένεϊ τῷ Δαρείου διαφθαρέντων ὑπ' Ἰνάρω τοῦ Λίβυος.

Οἱ δὲ Αἰγύπτιοι ἐκ τῆς μάχης ὡς ἐτράποντο, ἔφευγον 13
οὐδενὶ κόσμῳ. κατειληθέντων δὲ ἐς Μέμφιν, ἔπεμπε ἀνὰ ποταμὸν Καμβύσης νέα Μυτιληναίην κήρυκα ἄγουσαν ἄνδρα Πέρσην, ἐς ὁμολογίην προκαλεόμενος Αἰγυπτίους· οἱ δὲ ἐπείτε τὴν νέα εἶδον ἐσελθοῦσαν ἐς τὴν Μέμφιν, ἐκχυθέντες ἁλέες ἐκ τοῦ τείχεος τήν τε νέα διέφθειραν καὶ τοὺς ἄνδρας κρεουργηδὸν διασπάσαντες ἐφόρεον ἐς τὸ τεῖχος. καὶ Αἰγύπτιοι μὲν μετὰ τοῦτο πολιορκεύμενοι χρόνῳ παρέστησαν, οἱ δὲ προσεχέες Λίβυες δείσαντες τὰ περὶ τὴν Αἴγυπτον γεγονότα παρέδοσαν σφέας αὐτοὺς ἀμαχητί, καὶ φόρον τε ἐτάξαντο καὶ δῶρα ἔπεμπον. ὡς δὲ Κυρηναῖοι καὶ Βαρκαῖοι, δείσαντες ὁμοίως καὶ οἱ Λίβυες, ἕτερα τοιαῦτα ἐποίησαν. Καμβύσης δὲ τὰ μὲν παρὰ Λιβύων

derholt hinter *τούτοισι*, der entspricht also *τοῖσι δὲ Π.* — *αἴτιον ἰσχυρὰς φορέειν:* der Artikel *τοῦ*, der oben (*τοῦ μὴ φαλακροῦσθαι*) hinter *αἴτιον* stand, fehlt auch II, 20 *αἰτίους πληθύειν τὸν ποταμόν.* — *σκιητροφέουσι*: scheint nicht intransitiv gefasst werden zu können, wie Passow im Lex. will, da sich H. in diesem Sinne der Medialform (VI, 12) bedient; vielmehr ist *τὰ παιδία* als Object hinzuzudenken. Hier scheint H. auf die I, 136 erwähnte persische Sitte anzuspielen, dass die Kinder von ihrer Geburt bis zu ihrem fünften Jahre sich bei den Weibern aufhalten, ohne dem Vater vor die Augen zu kommen. — *πίλους:* als Kopfbedeckungen, Hüte; so noch VII, 61. 62. 92. Aber IV, 23. 73. 75 filzene Decken. — *ἐν Παπρήμι*: vgl. II, 63. — *Ἀχαιμένεϊ:* ihm war die Statthalterschaft über Aegypten von seinem Bruder König Xerxes übertragen, wie VII, 7 erzählt wird, wo auch des Inaros Erwähnung gethan ist. Dieser unterstützt von atheniensischen Truppen, hielt sich gegen die Perser vom J. 462 bis 456 v. Ch., wo er dann von Megabyzos besiegt wurde.

C. 13. *ἁλέες:* zu I, 133. — *χρόνῳ*: zu I, 173. — *παρέστησαν:* zu I, 23. — *προσεχέες:* nämlich *τῇ Αἰγύπτῳ*: — *ἐτάξαντο*: legten sich auf; so IV, 35. 165; und ähnlich III, 97 *ἐτάξαντο ἐς τὴν δωρεήν*, sie verpflichteten sich zu dem Geschenk; aber anders III, 89. — *ἕτερα τοιαῦτα:*

ἐλθόντα δῶρα φιλοφρόνως ἐδέξατο· τὰ δὲ παρὰ Κυρηναίων ἀπικόμενα μεμφθείς, ὡς ἐμοὶ δοκέει, ὅτι ἦν ὀλίγα (ἔπεμψαν γὰρ δὴ πεντηκοσίας μνέας ἀργυρίου οἱ Κυρηναῖοι), ταύτας δρασσόμενος αὐτοχειρίῃ διέσπειρε τῇ στρατιῇ.

14 Ἡμέρῃ δὲ δεκάτῃ ἀπ' ἧς παρέλαβε τὸ τεῖχος τὸ ἐν Μέμφι Καμβύσης, κατίσας ἐς τὸ προάστειον ἐπὶ λύμῃ τὸν βασιλέα τῶν Αἰγυπτίων Ψαμμήνιτον, βασιλεύσαντα μῆνας ἕξ, τοῦτον κατίσας σὺν ἄλλοισι Αἰγυπτίοισι διεπειρᾶτο αὐτοῦ τῆς ψυχῆς ποιέων τοιάδε. στείλας αὐτοῦ τὴν θυγατέρα ἐσθῆτι δουλίῃ ἐξέπεμπε ἐπ' ὕδωρ ἔχουσαν ὑδρήιον· συνέπεμπε δὲ καὶ ἄλλας παρθένους ἀπολέξας ἀνδρῶν τῶν πρώτων, ὁμοίως ἐσταλμένας τῇ τοῦ βασιλέος. ὡς δὲ βοῇ τε καὶ κλαυθμῷ παρήισαν αἱ παρθένοι κατὰ τοὺς πατέρας, οἱ μὲν ἄλλοι πατέρες ἀνεβόων τε καὶ ἀνέκλαιον ὁρέωντες τὰ τέκνα κεκακωμένα, ὁ δὲ Ψαμμήνιτος προϊδὼν καὶ μαθὼν ἔκυψε ἐς τὴν γῆν. παρεξελθουσέων δὲ τῶν ὑδροφόρων, δεύτερά οἱ τὸν παῖδα ἔπεμπε μετ' ἄλλων Αἰγυπτίων δισχιλίων τὴν αὐτὴν ἡλικίην ἐχόντων, τούς τε αὐχένας κάλῳ δεδεμένους καὶ τὰ στόματα ἐγκεχαλινωμένους. ἤγοντο δὲ ποινὴν τίσοντες Μυτιληναίων τοῖσι ἐν Μέμφι ἀπολομένοισι σὺν τῇ νηί· ταῦτα γὰρ ἐδίκασαν οἱ βασιλήιοι δικασταί, ὑπὲρ ἀνδρὸς ἑκάστου δέκα Αἰγυπτίων τῶν πρώτων ἀνταπόλλυσθαι. ὁ δὲ ἰδὼν παρεξιόντας καὶ μαθὼν τὸν παῖδα ἡγεόμενον ἐπὶ θάνατον, τῶν

zu I, 120. — *μεμφθείς:* zu III, 1. Ueber die Sache, zu IV, 165. — *δρασσόμενος: δράσσεσθαι:* fassen, so viel man mit der Hand halten kann (daher *δραχμή*), gewöhnlich mit dem Genitiv; nur hier.

C. 14. *ἐπὶ λύμῃ:* zu I, 41. — *τοῦτον:* pleonastisch, wie II, 13. — *διεπειρᾶτο: tentare studuit;* zu I, 68. — *ἐπ' ὕδωρ:* nach Wasser, d. h. um Wasser zu holen. So *ἐπί* den Zweck anzeigend bei Verben der Bewegung I, 118 *πάρισθί μοι ἐπὶ δεῖπνον.* III, 53 *ἀπεκάλεε τὸν Λ. ἐπὶ τὴν τυραννίδα.* 59 *ἐπὶ τοῦτο.* IV, 154 *παραλαβὼν ἐπὶ ξείνια.* Vgl. Xen. Oecon. 2, 15 *ἐπὶ πῦρ ἐλθόντος σου.* Cyr. I, 6, 12 *ἐγὼ μὲν πρὸς σὲ ἦλθον ἐπ' ἀργύριον.* — *κατὰ τοὺς πατέρας:* zu I, 76. — *δεδεμένους:* auf *τὸν παῖδα μετ' ἄλλων Αἰγ. δισχ.* zu beziehen, anacoluthisch construirt, als wenn voran stünde: *δεύτερά οἱ τόν τε παῖδα ἔπεμπε καὶ ἄλλους Αἰγυπτίους δισχιλίους.* — *Μιτυληναίων:* der Genitiv hängt von *τοῖσι* ab. — *οἱ βασ. δικασταί:* zu III, 31. — *ἡγεόμενον:* voranging. — *δεινὰ ποιεύντων:* zu I,

ἄλλων Αἰγυπτίων τῶν περικατημένων αὐτὸν κλαιόντων καὶ δεινὰ ποιεύντων, τὠυτὸ ἐποίησε τὸ ἐπὶ τῇ θυγατρί. παρελθόντων δὲ καὶ τούτων, συνήνεικε ὥστε τῶν συμποτέων οἱ ἄνδρα ἀπηλικέστερον, ἐκπεπτωκότα ἐκ τῶν ἐόντων ἔχοντά τε οὐδὲν εἰ μὴ ὅσα πτωχός, καὶ προσαιτέοντα τὴν στρατιήν, παριέναι Ψαμμήνιτόν τε τὸν Ἀμάσιος καὶ τοὺς ἐν τῷ προαστείῳ κατημένους τῶν Αἰγυπτίων. ὁ δὲ Ψαμμήνιτος ὡς εἶδε, ἀνακλαύσας μέγα καὶ καλέσας ὀνομαστὶ τὸν ἑταῖρον ἐπλήξατο τὴν κεφαλήν. ἔσαν δ᾽ ἄρα αὐτοῦ φύλακοι, οἳ τὸ ποιεύμενον πᾶν ἐξ ἐκείνου ἐπ᾽ ἑκάστῃ ἐξόδῳ Καμβύσῃ ἐσήμαινον. θωυμάσας δὲ ὁ Καμβύσης τὰ ποιεύμενα, πέμψας ἄγγελον εἰρώτα αὐτὸν λέγων τάδε. "δεσπότης σε Καμβύσης, Ψαμμήνιτε, εἰρωτᾷ διότι δὴ τὴν μὲν θυγατέρα ὁρέων κεκακωμένην καὶ τὸν παῖδα ἐπὶ θάνατον στείχοντα οὔτε ἀνέβωσας οὔτε ἀνέκλαυσας, τὸν δὲ πτωχὸν οὐδέν σοι προσήκοντα, ὡς ἄλλων πυνθάνεται, ἐτίμησας." ὁ μὲν δὴ ταῦτα ἐπειρώτα, ὁ δ᾽ ἀμείβετο τοισίδε. "ὦ παῖ Κύρου, τὰ μὲν οἰκήια ἦν μέζω κακὰ ἢ ὥστε ἀνακλαίειν, τὸ δὲ τοῦ ἑταίρου πάθος ἄξιον ἦν δακρύων, ὃς ἐκ πολλῶν τε καὶ εὐδαιμόνων ἐκπεσὼν ἐς πτωχηίην ἀπῖκται ἐπὶ γήραος οὐδῷ." καὶ ταῦτα ὡς ἀπενειχθέντα ὑπὸ τούτου εὖ δοκέειν οἱ εἰρῆσθαι. ὡς δὲ λέγεται ὑπ᾽ Αἰγυπτίων, δακρύειν μὲν Κροῖσον (ἐτετεύχεε γὰρ καὶ οὗτος ἐπισπόμενος Καμβύσῃ ἐπ᾽ Αἴγυπτον), δακρύειν δὲ Περσέων τοὺς παρεόντας· αὐτῷ τε Καμβύσῃ ἐσελθεῖν οἶκτόν τινα, καὶ αὐτίκα κελεύειν τόν τέ οἱ παῖδα ἐκ τῶν ἀπολλυ-

61. — *ἐπὶ τῇ θ.*: bei der T.; so II, 86. — *συνήνεικε*: zu I, 73. — *ἀπηλικέστερον*: *πρεσβύτερον. Gloss. Herod.* — *πτωχός*: nämlich *ἔχει*. — *ἐπ᾽ ἑκάστῃ ἐξόδῳ*: *quavis pompa praetereunte.* — *εὐδαιμόνων*: zu I, 133. — *ἐπὶ γήραος οὐδῷ* erinnert an Hom. Il. 22, 60. 24, 487. Od. 15, 348. — *ὡς ἀπενειχθέντα*: durch *ὡς* scheint H. darauf hindeuten zu wollen, dass Kambyses die Worte, die ihm gefielen, nicht selbst gehört, sondern nur aus dem Berichte des Boten vernommen habe: diese Rede habe ihm als Bericht (sofern es nur Bericht war oder gemäss dem Bericht) gut gefallen. — *δακρύειν*: anacoluthisch construirt, wie I, 191. — *ἐτετεύχεε*: ionisches Plqpf. von *τυγχάνειν*, den Attikern durchaus fremd. — *ἐπισπόμενος*: zu I, 32. — *ἐκ τῶν ἀπολλυμένων*: aus den zum Tode bestimmten.

μένων σώζειν καὶ αὐτὸν ἐκ τοῦ προαστείου ἀναστήσαντας
15 ἄγειν παρ' ἑωυτόν. τὸν μὲν δὴ παῖδα εὗρον οἱ μετιόντες
οὐκέτι περιεόντα ἀλλὰ πρῶτον κατακοπέντα, αὐτὸν δὲ
Ψαμμήνιτον ἀναστήσαντες ἦγον παρὰ Καμβύσεα· ἔνθα
τοῦ λοιποῦ διαιτᾶτο ἔχων οὐδὲν βίαιον. εἰ δὲ καὶ ἠπι-
στήθη μὴ πολυπρηγμονεῖν, ἀπέλαβε ἂν Αἴγυπτον ὥστε
ἐπιτροπεύειν αὐτῆς, ἐπεὶ τιμᾶν ἐώθασι Πέρσαι τῶν βασι-
λέων τοὺς παῖδας· τῶν, ἢν καί σφεων ἀποστέωσι, ὅμως
τοῖσί γε παισὶ αὐτῶν ἀποδιδοῦσι τὴν ἀρχήν. πολλοῖσι
μέν νυν καὶ ἄλλοισι ἔστι σταθμώσασθαι ὅτι τοῦτο οὕτω
νενομίκασι ποιέειν, ἐν δὲ καὶ τῷδε τῷ [Λίβυος] Ἰνάρω
παιδὶ Θαννύρᾳ, ὃς ἀπέλαβε τήν οἱ ὁ πατὴρ εἶχε ἀρχήν, καὶ
τῷ Ἀμυρταίου Παυσίρι· καὶ γὰρ οὗτος ἀπέλαβε τὴν τοῦ
πατρὸς ἀρχήν. καίτοι Ἰνάρω τε καὶ Ἀμυρταίου οὐδαμοί
κω Πέρσας κακὰ πλέω ἐργάσαντο. νῦν δὲ μηχανώμενος
κακὰ ὁ Ψαμμήνιτος ἔλαβε τὸν μισθόν· ἀπιστὰς γὰρ Αἰ-
γυπτίους ἥλω, ἐπείτε δὲ ἐπάιστος ἐγένετο ὑπὸ Καμβύσεω,
αἷμα ταύρου πιὼν ἀπέθανε παραχρῆμα. οὕτω δὴ οὗτος
ἐτελεύτησε.

16 Καμβύσης δὲ ἐκ Μέμφιος ἀπίκετο ἐς Σάιν πόλιν, βουλόμενος ποιῆσαι τὰ δὴ καὶ ἐποίησε. ἐπείτε γὰρ ἐσῆλθε ἐς τὰ τοῦ Ἀμάσιος οἰκία, αὐτίκα ἐκέλευε ἐκ τῆς ταφῆς τὸν Ἀμάσιος νέκυν ἐκφέρειν ἔξω, ὡς δὲ ταῦτά οἱ ἐπιτελέα ἐγένετο, μαστιγοῦν ἐκέλευε καὶ τὰς τρίχας ἀποτίλλειν καὶ

C. 15. *μετιόντες:* zu III, 19. — *εἰ δὲ καὶ ἠπιστήθη: si autem scivisset non moliri res novas.* Vgl. VII, 29 *ἠπίστασό τε εἶναι αἰεὶ τοιοῦτος.* — *τῶν:* relativisch zu fassen und auf *τῶν βασιλέων* zu beziehen, abhängig von *παισί* und pleonastisch wiederholt wegen des eingeschalteten hypothet. Satzes durch *αὐτῶν.* — *σταθμώσασθαι:* zu II, 2. — *ἐν δὲ δὴ καί:* zu I, 74. — *Λίβυος Ἰνάρω:* über Inaros, König der Libyer vgl. III, 12. — *Ἀμυρταίου:* stellte sich nach dem Tode des Inarus an die Spitze der empörten Aegyptier; vgl. II, 140. — *ἐπάιστος:* zu III, 29.

C. 16. *ποιῆσαι τὰ δὴ καὶ ἐπ.:* dieselbe Redeweise II, 49. — *ἐκφέρειν ἔξω:* pleonastisch, wie III, 75 *ἀνακτησαίατο ὀπίσω.* VII, 225 *ἀνεχώρεον ὀπίσω.* IV, 30 *ὀπίσω ἀπελαύνουσι.* Ebenso III, 135. 137. IV, 33. 43. 145. 152. 156. 157. 183. 203, und Thuc. I, 23, 4 *τὰς αἰτίας προὔγραψα πρῶτον.* Xen. An. I, 4, 14 *πλέον προτιμή-*

κεντοῦν τε καὶ τἆλλα πάντα λυμαίνεσθαι. ἐπείτε δὲ καὶ ταῦτα ἔκαμον ποιεῦντες (ὁ γὰρ δὴ νεκρὸς ἅτε τεταριχευμένος ἀντεῖχέ τε καὶ οὐδὲν διεχέετο), ἐκέλευσέ μιν ὁ Καμβύσης κατακαῦσαι, ἐντελλόμενος οὐκ ὅσια. Πέρσαι γὰρ θεὸν νομίζουσι εἶναι τὸ πῦρ. τὸ ὦν κατακαίειν τοὺς νεκροὺς οὐδαμῶς ἐν νόμῳ οὐδετέροισί ἐστι, Πέρσῃσι μὲν δι' ὅπερ εἴρηται, θεῷ οὐ δίκαιον εἶναι λέγουσι νέμειν νεκρὸν ἀνθρώπου· Αἰγυπτίοισι δὲ νενόμισται τὸ πῦρ θηρίον εἶναι ἔμψυχον, πάντα δὲ αὐτὸ κατεσθίειν τά περ ἂν λάβῃ, πλησθὲν δὲ αὐτὸ τῆς βορῆς συναποθνήσκειν τῷ κατεσθιομένῳ. οὐκ ὦν θηρίοισι νόμος οὐδαμῶς σφί ἐστι τὸν νέκυν διδόναι· καὶ διὰ ταῦτα ταριχεύουσι, ἵνα μὴ κείμενος ὑπ' εὐλέων καταβρωθῇ. οὕτω δὴ οὐδετέροισι νομιζόμενα ἐνετέλλετο ποιέειν ὁ Καμβύσης. ὡς μέντοι Αἰγύπτιοι λέγουσι, οὐκ Ἄμασις ἦν ὁ ταῦτα παθών, ἀλλ' ἄλλος τῶν τις Αἰγυπτίων, ἔχων τὴν αὐτὴν ἡλικίην Ἀμάσι, τῷ λυμαινόμενοι Πέρσαι ἐδόκεον Ἀμάσι λυμαίνεσθαι. λέγουσι γὰρ ὡς πυθόμενος ἐκ μαντηίου ὁ Ἄμασις τὰ περὶ ἑωυτὸν ἀποθανόντα μέλλοι γίνεσθαι, οὕτω δὴ ἀκεόμενος τὰ ἐπιφερόμενα τὸν μὲν ἄνθρωπον τοῦτον τὸν μαστιγωθέντα ἀποθανόντα ἔθαψε ἐπὶ τῇσι θύρῃσι ἐντὸς τῆς ἑωυτοῦ θήκης, ἑωυτὸν δὲ ἐνετείλατο τῷ παιδὶ ἐν μυχῷ τῆς θήκης ὡς μά-

σεσθε. — *μαστιγοῦν:* zu I, 114. — *λυμαίνεσθαι:* Heeren, Ideen II, 2, S. 406. "Man pflegt die Verschiedenheit der persischen und ägyptischen Religion nicht selten als die Ursache der Grausamkeiten gegen die Priestercaste, der Verwüstungen u. Plünderungen der Tempel, die dem Cambyses Schuld gegeben werden, anzusehen. Ich glaube, man wird diese Vorstellung richtiger fassen, wenn man das ganze Betragen der Perser in Aegypten als einen Kampf, nicht zunächst gegen religiöse Meinungen oder Gebräuche, als vielmehr gegen die ägyptische Priesteraristocratie betrachtet. Sie war noch immer der edelste Theil der Nation, und ausser den wissenschaftlichen Kenntnissen auch im Besitz der Staatsbedienungen, wie sie es vorher gewesen war. Das Interesse des herrschenden Stammes also und des fremden Eroberers musste nothwendig zusammenstossen, und die Entheiligung ihrer Tempel und Götter war eine Folge dieser politischen Erbitterung." — *θεῷ νέμειν:* einem Gotte darzubringen (zuzutheilen), nicht: es zieme einem Gotte nicht zu speisen, wie Lange übersetzt. — *ἡλικίην:* scheint hier, so wie auch IV, 111 sowohl die Statur als das Alter zu bezeichnen. — *τὰ ἐπιφερόμενα:* zu I, 209. — *μυχῷ:*

λιστα θεῖναι. αἱ μέν νυν ἐκ τοῦ Ἀμάσιος ἐντολαὶ αὗται αἱ
ἐς τὴν ταφήν τε καὶ τὸν ἄνθρωπον ἔχουσαι οὔ μοι δοκέουσι
ἀρχὴν γενέσθαι, ἄλλως δ' αὐτὰ Αἰγύπτιοι σεμνοῦν.
17 Μετὰ δὲ ταῦτα ὁ Καμβύσης ἐβουλεύσατο τριφασίας
στρατηίας, ἐπί τε Καρχηδονίους καὶ ἐπ' Ἀμμωνίους καὶ
ἐπὶ τοὺς μακροβίους Αἰθίοπας, οἰκημένους δὲ Λιβύης ἐπὶ
τῇ νοτίῃ θαλάσσῃ. βουλευομένῳ δέ οἱ ἔδοξε ἐπὶ μὲν Καρ-
χηδονίους τὸν ναυτικὸν στρατὸν ἀποστέλλειν, ἐπὶ δὲ Ἀμ-
μωνίους τοῦ πεζοῦ ἀποκρίναντα, ἐπὶ δὲ τοὺς Αἰθίοπας
κατόπτας πρῶτον, ὀψομένους τε τὴν ἐν τούτοισι τοῖσι
Αἰθίοψι λεγομένην εἶναι ἡλίου τράπεζαν, εἰ ἔστι ἀλη-
θέως, καὶ πρὸς ταύτῃ τὰ ἄλλα κατοψομένους, δῶρα δὲ τῷ
18 λόγῳ φέροντας τῷ βασιλέι αὐτέων. ἡ δὲ τράπεζα τοῦ

zu II, 11. — *οὐ . . . ἀρχὴν:* zu II, 95. — *σεμνοῦν: übertreiben.* So noch I, 95.

C. 17. *ἐπὶ τῇ νοτίῃ θαλ.:* also am indischen Ocean, wie II, 11. 158. Heeren, Ideen II, 1. S. 345: Dürfen wir es als wahrscheinlich annehmen, dass die Macrobier des Herodot in dem Lande Sasu, an den Küsten oder in einem der Häfen von Adel in der Nähe des Cap Gardefan, also in dem Lande der Samalis zu suchen sind, so klären sich fast alle jene Dunkelheiten in der Erzählung von selber auf, und Alles erscheint in einem natürlichen Lichte." — *τοῦ πεζοῦ:* nämlich *μέρος τι.* — *κατόπτας:* nur noch III, 21 = *κατασκόπους.* — *τῷ λόγῳ;* zu I, 205; statt: *δῶρα μὲν τῷ λόγῳ φέροντας, ἔργῳ δὲ τὴν γῆν κατοψομένους.*

C. 18. *ἡ δὲ τράπεζα:* Heeren a. a. O. S. 329: "Diese Erzählung von dem sogenannten Tisch der Sonne ist so ins Wunderbare getrieben, dass jeder Leser wohl zugeben wird, dass sie nicht im wörtlichen Verstande genommen werden kann. Es scheint eine bildliche Erzählung zu sein, wie man sie von Niemand eher als von ägyptischen Priestern erwarten darf. Der Altar der Sonne ist der Marktplatz, auf dem der Handel mit den Fremden getrieben ward. Wenn nun fast aller Handel in Afrika unter dem Schutze von Heiligthümern und Tempeln geführt wird, so darf es wohl nicht verwundern, wenn auch an diesen Handelsplatz, von dem die Subsistenz der Einwohner wahrscheinlich abhing, religiöse Ideen geknüpft wurden. Die Art dieses stummen Handels, (zu dem sie genöthigt sind, weil sie verschiedene Sprachen und keine Dollmetscher haben) beschreibt H. bei einer andern Gelegenheit (IV, 196) und kann nichts befremdendes haben. Wenn es heisst, die jedesmaligen Vorsteher des Volks (*τοὺς ἐν τέλεϊ ἑκάστους ἐόντας τῶν ἀστῶν*) legten das Fleisch des Nachts hin und des Tages esse davon wer wolle, die Eingeborenen sagten aber, die Erde verleihe dieses jedesmal, so erklärt sich auch dieses von selbst. Ein so wichtiger Handel ward unter öffentlicher Aufsicht geführt, jeder nahm was er wollte, aber ohne Zweifel gegen Bezahlung; und da die Ver-

ἡλίου τοιήδε τις λέγεται εἶναι. λειμών ἐστι ἐν τῷ προα- 18
στείῳ ἐπίπλεος κρεῶν ἑφθῶν πάντων τῶν τετραπόδων, ἐς τὸν τὰς μὲν νύκτας ἐπιτηδεύοντας τιθέναι τὰ κρέα τοὺς ἐν τέλεϊ ἑκάστους ἐόντας τῶν ἀστῶν, τὰς δὲ ἡμέρας δαίνυσθαι προσιόντα τὸν βουλόμενον· φάναι δὲ τοὺς ἐπιχωρίους ταῦτα τὴν γῆν αὐτὴν ἀναδιδόναι ἑκάστοτε. ἡ μὲν δὴ τράπεζα τοῦ ἡλίου καλεομένη λέγεται εἶναι τοιήδε·
Καμβύσῃ δὲ ὡς ἔδοξε πέμπειν τοὺς κατασκόπους, αὐτίκα 19
μετεπέμπετο ἐξ Ἐλεφαντίνης πόλιος τῶν Ἰχθυοφάγων ἀνδρῶν τοὺς ἐπισταμένους τὴν Αἰθιοπίδα γλῶσσαν. ἐν ᾧ δὲ τούτους μετήισαν, ἐν τούτῳ ἐκέλευε ἐπὶ τὴν Καρχηδόνα

käufer aus einem fernen Lande kamen, bei dem Handel selbst aber sich nicht zeigten, (vgl. IV, 196) so konnte sehr natürlich ein solcher Volksglaube entstehen. Das gekochte Fleisch ist wahrscheinlich von getrocknetem Fleisch zu verstehen, das gewöhnliche Mittel, wie dasselbe in jenen Gegenden aufbewahrt wird." — *ἐπιτηδεύοντας:* *ex instituto.* — *δαίνυσθαι*: zu I, 162. — *τοιήδε:* zu I, 164.

C. 19. *Ἐλεφαντίνης*: zu II, 17. — *Ἰχθυοφάγων*: Heeren a. a. O. S. 347: "die Ichth. tragen ihren Namen von ihrer Nahrung, die aus Fischen besteht; und eben daher müssen wir uns nicht wundern, wenn wir Völker unter dieser Benennung nicht blos in Afrika, sondern auch an den Küsten von Arabien und Persien finden. Sie erscheinen als völlige Wilde ohne alle Familienverbindungen, ohne weitere Wohnungen als Klüfte und Höhlen, und selbst ohne alle Geräthschaften zum Fischfang, indem sie sich blos mit den von der ablaufenden Flut zurückgelassenen Fischen behelfen. Wären sie indess ohne Ausnahme so gewesen, so möchte die Frage, wie Cambyses gerade aus ihnen seine Kundschafter wählen konnte, schwer zu beantworten sein. In dem Berichte von Herodot ist ein Umstand, der uns auf andere Ideen leitet. 'Cambyses', sagt er, 'liess die Ichth. aus Elephantine kommen.' Es lebte also ein Theil von ihnen in Oberägypten; und die ganze Bestimmung, die Cambyses ihnen gab, ihre Bekanntschaft mit dem Lande und der Sprache der Aethioper muss es wohl mehr als wahrscheinlich machen, dass diese zu den wandernden Stämmen gehörten, durch welche der Handel zwischen Aegypten und Aethiopien getrieben, und die Caravanen, die von dem einen Lande zum andern zogen, gebildet wurden. Von Aegypten zu den Macrobiern konnte man gewiss nicht anders als in Caravanen reisen, und diese Leute mussten den Weg schon einmal oder mehrmal gemacht haben, da sie ihre Sprache verstanden. Der Name konnte auch bei einer veränderten Lebensart ihnen bleiben. Gehörten sie vielleicht zu den Ababdé, deren Sitze sich bis nach diesen Gegenden erstreckten, und welche von uralten Zeiten her die Waarenführer machten?" — *ἐν ᾧ δὲ τ. μετήισαν:* während man diesen nachging, d. h. sie holte. So *μετιέναι* III, 15. 28. IX, 33, und Hom. Il. 13, 247

πλέειν τὸν ναυτικὸν στρατόν. Φοίνικες δὲ οὐκ ἔφασαν
ποιήσειν ταῦτα· ὁρκίοισί τε γὰρ μεγάλοισι ἐνδεδέσθαι,
καὶ οὐκ ἂν ποιέειν ὅσια ἐπὶ τοὺς παῖδας τοὺς ἑωυτῶν
στρατευόμενοι. Φοινίκων δὲ οὐ βουλομένων οἱ λοιποὶ οὐκ
ἀξιόμαχοι ἐγίνοντο. Καρχηδόνιοι μέν νυν οὕτω δουλο-
σύνην διέφυγον πρὸς Περσέων· Καμβύσης γὰρ βίην οὐκ
ἐδικαίου προσφέρειν Φοίνιξι, ὅτι σφέας τε αὐτοὺς ἐδε-
δώκεσαν Πέρσῃσι καὶ πᾶς ἐκ Φοινίκων ἤρτητο ὁ ναυτικὸς
στρατός. δόντες δὲ καὶ Κύπριοι σφέας αὐτοὺς Πέρσῃσι
20 ἐστρατεύοντο ἐπ᾽ Αἴγυπτον. ἐπείτε δὲ τῷ Καμβύσῃ ἐκ
τῆς Ἐλεφαντίνης ἀπίκοντο οἱ Ἰχθυοφάγοι, ἔπεμπε αὐτοὺς
ἐς τοὺς Αἰθίοπας ἐντειλάμενός τε τὰ λέγειν χρῆν, καὶ
δῶρα φέροντας πορφύρεόν τε εἷμα καὶ χρύσεον στρεπτὸν
περιαυχένιον καὶ ψέλια καὶ μύρου ἀλάβαστρον καὶ φοινι-
κηίου οἴνου κάδον. οἱ δὲ Αἰθίοπες οὗτοι, ἐς τοὺς ἀπέ-
πεμπε ὁ Καμβύσης, λέγονται εἶναι μέγιστοι καὶ κάλλιστοι

μετὰ γὰρ δόρυ χάλκεον ᾔει. Aber VII, 178 *prosequi.* — *ὅσια:* ohne jemals auf Oberherrschaft und Unterwürfigkeit Anspruch zu machen, beobachteten Tyrus und Carthago nur gegen einander die Pflichten der wechselseitigen Pietät, die nach phönicischen so wie nach griechischen Begriffen Mutterstaat und Colonie einander schuldig waren. Vgl. die Rede des Themistokles an die Ioner IX, 22. — *Καρχηδόνιοι μέν:* S. das folgende C. Anfangs. — *ἤρτητο:* zu I, 125. — *δόντες δὲ καὶ Κύπριοι σφέας αὐτοὺς Π.:* deswegen wollte Cambyses diese ebensowenig zwingen zum Zuge gegen Carthago als die Phönicier.

C. 20. *ἐπείτε:* In Rücksicht auf das obige *μέν* hinter *Καρχηδόνιοι* musste das Cap. anfangen: *ἐς δὲ τοὺς Αἰθίοπας.* — *ἐντειλάμενός τε τὰ λ. χ. καὶ δ. φ.:* anacoluthisch statt: *λέξοντας τὸ ἐντεταλμένον καὶ δ. φ.* — *χρύσεον:* Heeren S. 346: "Die Geschenke des Cambyses, da er den Macrobiern goldenes Geschmeide und Myrrhen schickte, also gerade das, was sie im Ueberfluss hatten, scheinen ein Spott gewesen zu sein, den der König der M. mit vollem Recht übel aufnahm, und deshalb mit einem andern Spott erwiderte." — *μύρου ἀλάβαστρον:* So Evang. Matth. 26, 7. "*Lapidem alabastriten . . . cavant ad vasa unguentaria, quoniam optime servare incorrupta dicitur.*" Plin. H. N. 36, 8. — *μέγιστοι:* Heeren Seite 350: "Wenn Jesaias seinem Volke den Handel Aegyptens und des Mohrenlandes verspricht, setzt er hinzu: und der langen Leute zu Seba. Ich kann diese letzten für keine anderen halten als für Herodot's Makrobier, für das Volk, das den Weihrauchhandel trieb. Seba ist einerlei mit Saba, das am Eingange des arabischen Meerbusens an der afrikanischen Küste lag, also in eben den Gegenden, wo wir die Sitze der Makrobier gefun-

ἀνθρώπων πάντων· νόμοισι δὲ καὶ ἄλλοισι χρᾶσθαι αὐτούς φασι κεχωρισμένοισι τῶν ἄλλων ἀνθρώπων, καὶ δὴ καὶ κατὰ τὴν βασιληίην τοιῷδε· τὸν ἂν τῶν ἀστῶν κρίνωσι μέγιστόν τε εἶναι καὶ κατὰ τὸ μέγαθος ἔχειν τὴν ἰσχύν, τοῦτον ἀξιοῦσι βασιλεύειν. ἐς τούτους δὴ ὦν τοὺς ἄνδρας 21
ὡς ἀπίκοντο οἱ Ἰχθυοφάγοι, διδόντες τὰ δῶρα τῷ βασιλέι αὐτέων ἔλεγον τάδε. "βασιλεὺς ὁ Περσέων Καμβύσης, βουλόμενος φίλος τοι καὶ ξεῖνος γενέσθαι, ἡμέας τε ἀπέπεμψε ἐς λόγους τοι ἐλθεῖν κελεύων, καὶ δῶρα ταῦτά τοι διδοῖ τοῖσι καὶ αὐτὸς μάλιστα ἥδεται χρεώμενος." ὁ δὲ Αἰθίοψ μαθὼν ὅτι κατόπται ἥκοιεν, λέγει πρὸς αὐτοὺς τοιάδε. "οὔτε ὁ Περσέων βασιλεὺς δῶρα ὑμέας ἔπεμψε φέροντας προτιμῶν πολλοῦ ἐμοὶ ξεῖνος γενέσθαι, οὔτε ὑμεῖς λέγετε ἀληθέα (ἥκετε γὰρ κατόπται τῆς ἐμῆς ἀρχῆς), οὔτε ἐκεῖνος ἀνήρ ἐστι δίκαιος· εἰ γὰρ ἦν δίκαιος, οὔτ' ἂν ἐπεθύμησε χώρης ἄλλης ἢ τῆς ἑωυτοῦ, οὔτ' ἂν ἐς δουλοσύνην ἀνθρώπους ἦγε ὑπ' ὧν μηδὲν ἠδίκηται. νῦν δὲ αὐτῷ τόξον τόδε διδόντες τάδε ἔπεα λέγετε, βασιλεὺς ὁ Αἰθιόπων συμβουλεύει τῷ Περσέων βασιλέι, ἐπεὰν οὕτω εὐπετέως ἕλκωσι τὰ τόξα Πέρσαι ἐόντα μεγάθεϊ τοσαῦτα, τότε ἐπ' Αἰθίοπας τοὺς μακροβίους πλήθεϊ ὑπερβαλλόμενον στρατεύεσθαι· μέχρι δὲ τούτου θεοῖσι εἰδέναι χάριν, οἳ οὐκ ἐπὶ νόον τρέπουσι Αἰθιόπων παισὶ γῆν ἄλλην προσκτᾶσθαι τῇ ἑωυτῶν." ταῦτα δὲ εἴπας καὶ ἀνεὶς τὸ 22
τόξον παρέδωκε τοῖσι ἥκουσι. λαβὼν δὲ τὸ εἷμα τὸ πορφύρεον εἰρώτα ὅ τι εἴη καὶ ὅκως πεποιημένον. εἰπάντων δὲ τῶν Ἰχθυοφάγων τὴν ἀληθείην περὶ τῆς πορφύρης καὶ τῆς βαφῆς, δολεροὺς μὲν τοὺς ἀνθρώπους ἔφη εἶναι, δολερὰ δὲ αὐτέων τὰ εἵματα. δεύτερα δὲ τὸν χρύσεον εἰρώτα στρεπτὸν τὸν περιαυχένιον καὶ τὰ ψέλια· ἐξηγεομένων δὲ

den haben." — *κεχωρισμένοισι*: zu IV, 28. — *κατὰ τὸ μέγαθος*: wie I, 121.

C. 21. *κατόπται*: zu III, 17. — *προτιμῶν*: zu II, 37. — *οὔτ' ἂν* ... *ἦγε*: *imperf. de conatu*: noch würde er führen wollen; zu I, 68. — *οὕτω εὐπετέως*: indem er diese Worte ausspricht, spannt er den Bogen.

C. 22. *ἀνείς*: zu I, 213. —

τῶν Ἰχθυοφάγων τὸν κόσμον αὐτέων, γελάσας ὁ βασιλεὺς καὶ νομίσας εἶναί σφεα πέδας εἶπε ὡς παρ' ἑωυτοῖσί εἰσι ῥωμαλεώτεραι τουτέων πέδαι. τρίτα δὲ εἰρώτα τὸ μύρον· εἰπάντων δὲ τῆς ποιήσιος πέρι καὶ ἀλείψιος, τὸν αὐτὸν λόγον τὸν καὶ περὶ τοῦ εἵματος εἶπε. ὡς δὲ ἐς τὸν οἶνον ἀπίκετο καὶ ἐπύθετο αὐτοῦ τὴν ποίησιν, ὑπερησθεὶς τῷ πόματι ἐπείρετο ὅ τι τε σιτέεται ὁ βασιλεὺς καὶ χρόνον ὁκόσον μακρότατον ἀνὴρ Πέρσης ζώει. οἱ δὲ σιτέεσθαι μὲν τὸν ἄρτον εἶπαν, ἐξηγησάμενοι τῶν πυρῶν τὴν φύσιν, ὀγδώκοντα δ' ἔτεα ζόης πλήρωμα ἀνδρὶ μακρότατον προκέεσθαι. πρὸς ταῦτα ὁ Αἰθίοψ ἔφη οὐδὲν θωυμάζειν εἰ σιτεόμενοι κόπρον ἔτεα ὀλίγα ζώουσι· οὐδὲ γὰρ ἂν τοσαῦτα δύνασθαι ζώειν σφέας, εἰ μὴ τῷ πόματι ἀνέφερον, φράζων τοῖσι Ἰχθυοφάγοισι τὸν οἶνον· τοῦτο γὰρ ἑωυτοὺς ὑπὸ Περσέων ἑσσοῦσθαι.
23 ἀντειρομένων δὲ τὸν βασιλέα τῶν Ἰχθυοφάγων τῆς ζόης καὶ διαίτης πέρι, ἔτεα μὲν ἐς εἴκοσι καὶ ἑκατὸν τοὺς πολλοὺς αὐτέων ἀπικνέεσθαι, ὑπερβάλλειν δέ τινας καὶ ταῦτα, σίτησιν δὲ εἶναι κρέα τε ἑφθὰ καὶ πόμα γάλα. θῶυμα δὲ ποιευμένων τῶν κατα-

μακρότατον = *ἐὰν μακρότατον χρόνον ζῇ*. — *σιτεόμενοι κόπρον:* Heeren S. 339 Anm.: "Die Verachtung des Brodes muss auf das in jenen Ländern aus der Durra gebackene Brod bezogen werden, das schon in kurzer Zeit verdirbt und ungeniessbar wird." Ebendaselbst S. 335: "Die Macrobier waren also ein Volk, das schon eine Stadt bewohnte, das Gesetze und Gefängnisse hatte, das Metalle zu bearbeiten wusste, und bei dem sich selbst auf eine ihm ganz eigene Weise schon beträchtliche Spuren von den Fortschritten der bildenden Künste finden, das aber keinen Ackerbau hatte, da es Brod nicht weiter als durch die Sage kannte." — *ἀνέφερον:* zu I, 86. — *ἑωυτούς:* Subject, wie I, 34, hier motivirt durch den Gegensatz *σφέας*, und durch den Uebergang vom Singular (*ὁ Αἰθίοψ*) zum Plural.

C. 23. *ἐς εἴκοσι καὶ ἑκατόν:* Aehnliches berichtet von gewissen indischen Völkerschaften Plinius H. N., 17, 2 p. 374 Hard.: "*Onesicritos, quibus locis Indiae umbrae non sint, corpora hominum cubitorum quinum et binorum palmorum existere et vivere annos centum triginta, nec senescere, sed ut medio aevo, mori. Crates Pergamenus Indos, qui centenos annos excedant, Gymnetas appellat, non pauci, Macrobios. Ctesias gentem ex his, quae appellatur Pandore, in convallibus sitam, annos ducenos vivere, in iuventa candido capillo, qui in senectute nigrescat.*" — *τοὺς πολλοὺς αὐτέων ἀπικνέεσθαι:* nämlich *ὑπεκρίνατο ὁ βασιλεύς*. — *ἐπὶ κρήνην:* Mela 3, 9:

σκόπων περὶ τῶν ἐτέων, ἐπὶ κρήνην σφι ἡγήσασθαι, ἀπ'
ἧς λουόμενοι λιπαρώτεροι ἐγίνοντο, κατά περ εἰ ἐλαίου
εἴη· ὄζειν δὲ ἀπ' αὐτῆς ὡς εἰ ἴων. ἀσθενὲς δὲ τὸ ὕδωρ
τῆς κρήνης ταύτης οὕτω δή τι ἔλεγον εἶναι οἱ κατάσκοποι
ὥστε μηδὲν οἷόν τε εἶναι ἐπ' αὐτοῦ ἐπιπλέειν, μήτε ξύλον
μήτε τῶν ὅσα ξύλου ἐστὶ ἐλαφρότερα, ἀλλὰ πάντα σφέα
χωρέειν ἐς βυσσόν. τὸ δὲ ὕδωρ τοῦτο εἴ σφί ἐστι ἀληθέως
οἷόν τι λέγεται, διὰ τοῦτο ἂν εἶεν, τούτῳ τὰ πάντα χρεώ-
μενοι, μακρόβιοι. ἀπὸ τῆς κρήνης δὲ ἀπαλλασσομένων,
ἀγαγεῖν σφέας ἐς δεσμωτήριον ἀνδρῶν, ἔνθα τοὺς πάντας
ἐν πέδῃσι χρυσέῃσι δεδέσθαι· ἔστι δὲ ἐν τούτοισι τοῖσι
Αἰθίοψι πάντων ὁ χαλκὸς σπανιώτατον καὶ τιμιώτατον.
θεησάμενοι δὲ καὶ τὸ δεσμωτήριον, ἐθεήσαντο καὶ τὴν τοῦ
ἡλίου λεγομένην τράπεζαν. μετὰ δὲ ταύτην τελευταίας 24
ἐθεήσαντο τὰς θήκας αὐτέων, αἳ λέγονται σκευάζεσθαι
ἐξ ὑέλου τρόπῳ τοιῷδε. ἐπεὰν τὸν νεκρὸν ἰσχνήνωσι, εἴτε
δὴ κατά περ Αἰγύπτιοι εἴτε ἄλλως κως, γυψώσαντες
ἅπαντα αὐτὸν γραφῇ κοσμέουσι, ἐξομοιεῦντες τὸ εἶδος ἐς
τὸ δυνατόν, ἔπειτα δέ οἱ περιιστᾶσι στήλην ἐξ ὑέλου πε-
ποιημένην κοίλην· ἡ δέ σφι πολλὴ καὶ εὐεργὸς ὀρύσσεται·
ἐν μέσῃ δὲ τῇ στήλῃ ἐνεὼν διαφαίνεται ὁ νέκυς, οὔτε ὀδμὴν

"*Est lacus, quo perfusa corpora quasi uncta pernitent. Bibitur idem, adeo est liquidus et ad sustinenda quae incidunt aut immittuntur infirmus, ut folia etiam proximis decisa frondibus, non innatantia ferat, sed pessum penitus accipiat.*" — *ἡγήσασθαι*: zu 1, 4. — *τὸ δὲ ὕδωρ τοῦτο*: Heeren S. 338 Anm.: "Wenn sie in einem Gebirglande wohnten, so können mineralische Wasser nicht befremden." — *διὰ τοῦτο ἂν εἶεν*: Vermuthung des Schriftstellers, wie I, 70. — *ἐν πέδ.*: so I, 66. 86 und Hom. Od. 12, 54 *οἵ δέ σ' ἔτι πλεόνεσσι τότ' ἐν δεσμοῖσι δεόντων*. — *σπανιώτατον*: Heeren S. 347: "Die goldenen Fesseln mögen eine Fabel sein; aber die Seltenheit von Erz und Eisen ist eine bekannte Sache in jenen Gegenden. Eben dies bestätigt auch die Erzählung des Cosmas, demzufolge Eisen eine der Waaren war, die durch die Caravanen dahin gebracht und gegen Gold verhandelt wurde."

C. 24. *τελευταίας*: zuletzt. — *ὑέλου*: nicht Glas, da es ausgegraben wird (*ὀρύσσεται*), sondern Krystall oder Alabaster. — *γραφῇ κοσμέουσι ἐξ. τὸ εἶδ. ἐ. τ. δ.*: (*corpus gypso obductum*) *pictura ita exornant, ut speciem quam maxime similem vivo referat, s. ad veri ac vivi corporis similitudinem quam proxime accedat.* Auf dies Gyps malte man also die

οὐδεμίαν ἄχαριν παρεχόμενος οὔτε ἄλλο ἀεικὲς οὐδέν· καὶ ἔχει πάντα φανερὰ ὁμοίως αὐτῷ τῷ νέκυϊ. ἐνιαυτὸν μὲν δὴ ἔχουσι τὴν στήλην ἐν τοῖσι οἰκίοισι οἱ μάλιστα προσήκοντες, πάντων τε ἀπαρχόμενοι καὶ θυσίας οἱ προσάγοντες· μετὰ δὲ ταῦτα ἐκκομίσαντες ἱστᾶσι περὶ τὴν πόλιν.

25 Θεησάμενοι δὲ τὰ πάντα οἱ κατάσκοποι ἀπαλλάσσοντο ὀπίσω. ἀπαγγειλάντων δὲ ταῦτα τούτων, αὐτίκα ὁ Καμβύσης ὀργὴν ποιησάμενος ἐστρατεύετο ἐπὶ τοὺς Αἰθίοπας, οὔτε παρασκευὴν σίτου οὐδεμίαν παραγγείλας, οὔτε λόγον ἑωυτῷ δοὺς ὅτι ἐς τὰ ἔσχατα γῆς ἔμελλε στρατεύεσθαι· οἷα δὲ ἐμμανής τε ἐὼν καὶ οὐ φρενήρης, ὡς ἤκουε τῶν Ἰχθυοφάγων, ἐστρατεύετο, Ἑλλήνων μὲν τοὺς παρεόντας αὐτοῦ τάξας ὑπομένειν, τὸν δὲ πεζὸν πάντα ἅμα ἀγόμενος. ἐπείτε δὲ στρατευόμενος ἐγένετο ἐν Θήβῃσι, ἀπέκρινε τοῦ στρατοῦ ὡς πέντε μυριάδας, καὶ τούτοισι μὲν ἐνετέλλετο Ἀμμωνίους ἐξανδραποδισαμένους τὸ χρηστήριον τὸ τοῦ Διὸς ἐμπρῆσαι, αὐτὸς δὲ τὸν λοιπὸν ἄγων στρατὸν ἤιε ἐπὶ τοὺς Αἰθίοπας. πρὶν δὲ τῆς ὁδοῦ τὸ πέμπτον μέρος διεληλυθέναι τὴν στρατιήν, αὐτίκα πάντα αὐτοὺς τὰ εἶχον σιτίων ἐχόμενα ἐπελελοίπεε, μετὰ δὲ τὰ σιτία καὶ τὰ ὑποζύγια ἐπέλιπε κατεσθιόμενα. εἰ μέν νυν μαθὼν

Gestalt des Verstorbenen, so ähnlich, wie möglich. Ueber *γραφῇ:* zu I, 164. — *καὶ ἔχει:* Subject *ὁ νέκυς*, Werfer in Actt. phill. Monacc. I, p. 106: "*cadavera gypsata et picturata . . . omnia corporibus ipsis* (*αὐτῷ τῷ νέκυϊ*) *similia* (*ὁμοίως*) *ostendunt* (*φανερὰ ἔχει*). *Igitur αὐτὸς ὁ νέκυς non est idem quod ὁ νέκυς; verum hic cadaver gypsatum picturaque exornatum, ille corpus merum, in cuius speciem gypsatum corpus formabatur.*" Nämlich die ägyptischen Mumien waren nur von vorn *φανερά*, die äthiopischen dagegen rund herum — *ἀπαρχόμενοι:* die Erstlinge als Opfer darbringend; noch IV, 61 u. 188. Hierüber vgl. Hom. Od. 3, 444 mit Nitzsch's Anm. Vgl. *κατάρχεσθαι* II, 45.

C. 25. *ὀργὴν ποιησάμενος* = *ὀργισθείς*. Noch VII, 105. Aehnlich *θῶυμα ποιέεσθαι* I, 68. *λήθην ποιέεσθαι* = *ἐπιλανθάνεσθαι* I, 127. — *οὔτε λ. ἑ. δούς:* zu II, 162. — *οἷα δέ:* zu I, 61. — *φρενήρης:* Gloss. Herod. *σώφρων*. Noch III, 30. 35. V, 42. IX, 55 stets mit der Negation, also = *φρενοβλαβής* II, 120. — *Ἑλλήνων:* sie dienten nämlich als Schiffssoldaten, was schon aus dem Gegensatz *τὸν πεζόν* hervorgeht; vgl. ausserdem am Ende des Cap.: *τοὺς Ἕλληνας ἀπῆκε ἀποπλέειν*. — *αὐτοῦ ταύτῃ:* zu I, 189. — *σιτίων ἐχόμε[illegible]:* zu

ταῦτα ὁ Καμβύσης ἐγνωσιμάχεε καὶ ἀπῆγε ὀπίσω τὸν στρατόν, ἐπὶ τῇ ἀρχῆθεν γενομένῃ ἁμαρτάδι ἦν ἂν ἀνὴρ σοφός· νῦν δὲ οὐδένα λόγον ποιεύμενος ἤιε αἰεὶ ἐς τὸ πρόσω. οἱ δὲ στρατιῶται ἕως μέν τι εἶχον ἐκ τῆς γῆς λαμβάνειν, ποιηφαγέοντες διέζωον, ἐπεὶ δὲ ἐς τὴν ψάμμον ἀπίκοντο, δεινὸν ἔργον αὐτέων τινὲς ἐργάσαντο· ἐκ δεκάδος γὰρ ἕνα σφέων αὐτέων ἀποκληρώσαντες κατέφαγον. πυθόμενος δὲ ταῦτα ὁ Καμβύσης, δείσας τὴν ἀλληλοφαγίην, ἀπεὶς τὸν ἐπ᾽ Αἰθίοπας στόλον ὀπίσω ἐπορεύετο, καὶ ἀπικνέεται ἐς Θήβας πολλοὺς ἀπολέσας τοῦ στρατοῦ. ἐκ Θηβέων δὲ καταβὰς ἐς Μέμφιν τοὺς Ἕλληνας ἀπῆκε ἀποπλέειν. ὁ μὲν ἐπ᾽ Αἰθίοπας στόλος οὕτω ἔπρηξε· οἱ δ᾽ 26
αὐτέων ἐπ᾽ Ἀμμωνίους ἀποσταλέντες στρατεύεσθαι, ἐπείτε ὁρμηθέντες ἐκ τῶν Θηβέων ἐπορεύοντο ἔχοντες ἀγωγούς, ἀπικόμενοι μὲν φανεροί εἰσι ἐς Ὄασιν πόλιν, τὴν ἔχουσι μὲν Σάμιοι τῆς Αἰσχριωνίης φυλῆς λεγόμενοι εἶναι, ἀπέχουσι δὲ ἑπτὰ ἡμερέων ὁδὸν ἀπὸ Θηβέων διὰ ψάμμου, ὀνομάζεται δὲ ὁ χῶρος οὗτος κατ᾽ Ἑλλήνων γλῶσσαν Μακάρων νῆσος. ἐς μὲν δὴ τοῦτον τὸν χῶρον λέγεται ἀπικέσθαι τὸν στρατόν· τὸ ἐνθεῦτεν δέ, ὅτι μὴ αὐτοὶ Ἀμμώνιοι καὶ οἱ τούτων ἀκούσαντες, ἄλλοι οὐδένες οὐδὲν ἔχουσι εἰπεῖν

I, 120. — *ἐπέλιπε κατεσθιόμενα:* gingen ihnen durch das Essen aus. — *ἐγνωσιμάχεε: γνωσιμαχέειν* = *τῇ προτέρᾳ ἑαυτοῦ γνώμῃ μάχεσθαι*, oder nach Gloss. Her.: *τὸ γνῶναι τὴν ἑαυτοῦ ἀσθένειαν, τήν τε τῶν ἐναντίων ἰσχύν.* Noch VII, 130 u. VIII, 29. — *ἐπὶ τῇ:* zu II, 86. — *οὕτω ἔπρηξε* = *οὕτω ἐδυστύχησε.* So IV, 77.

C. 26. *ἐπ᾽ Ἀμμωνίους:* zu II, 32. — *Ὄασιν πόλιν:* Strab. 17 p. 701 s. 1140 a: *Αὐάσεις δ᾽ οἱ Αἰγύπτιοι καλοῦσιν τὰς οἰκουμένας χώρας περιεχομένας κύκλῳ μεγάλαις ἐρημίαις, ὡς ἂν νήσους πελαγίας· πολὺ δὲ τοῦτ᾽ ἐστὶ κατὰ τὴν Λιβύην· τρεῖς δ᾽ εἰσὶν αἱ πρόσχωροι τῇ Αἰγύπτῳ καὶ ἐπ᾽ αὐτῇ τεταγμέναι.* Die hier von H. gemeinte Stadt ist nach Ritter (Erdk. Afr. S. 968) wohl keine andere als *Charjeh* in der grossen Oase (*El Wah*). Nur diese (ebend. S. 1004), 7 Tagereisen im West von Theben, nennt H. Oase; wahrscheinlich ist hierunter der ganze Oasenzug der südlichen und nördlichen zu verstehen, der erst später von Ptolemäus in zwei Theile, die *Oasis magna et parva* getheilt erscheint. — *τῆς Αἰσχριωνίης φ.:* zwei andere *φυλαί* von Samos sind erwähnt in Etym. M. p. 160, 22 *Σχησία* und *Ἀστυπαλαία.* Diese drei *tribus* mögen den drei Abtheilungen entsprechen, in die nach Her. III, 39 Polykrates den Staat der Samier theilte. — *ὅτι μή:* zu

περὶ αὐτέων· οὔτε γὰρ ἐς τοὺς Ἀμμωνίους ἀπίκοντο οὔτε ὀπίσω ἐνόστησαν. λέγεται δὲ τάδε ὑπ' αὐτέων Ἀμμωνίων· ἐπειδὴ ἐκ τῆς Ὀάσιος ταύτης ἰέναι διὰ τῆς ψάμμου ἐπὶ σφέας, γενέσθαι τε αὐτοὺς μεταξύ κου μάλιστα αὐτέων τε καὶ τῆς Ὀάσιος, ἄριστον δὲ αἱρεομένοισι αὐτέοισι ἐπιπνεῦσαι νότον μέγαν τε καὶ ἐξαίσιον, φορέοντα δὲ θῖνας τῆς ψάμμου καταχῶσαί σφεας, καὶ τρόπῳ τοιούτῳ ἀφανισθῆναι. Ἀμμώνιοι μὲν οὕτω λέγουσι γενέσθαι περὶ τῆς στρατιῆς ταύτης.

27 *Ἀπιγμένου δὲ Καμβύσεω ἐς Μέμφιν ἐφάνη Αἰγυπτίοισι ὁ Ἆπις, τὸν Ἕλληνες Ἔπαφον καλέουσι· ἐπιφανέος δὲ τούτου γενομένου αὐτίκα οἱ Αἰγύπτιοι εἵματά τε ἐφόρεον τὰ κάλλιστα καὶ ἔσαν ἐν θαλίῃσι. ἰδὼν δὲ ταῦτα τοὺς Αἰγυπτίους ποιεῦντας ὁ Καμβύσης, πάγχυ σφέας καταδόξας ἑωυτοῦ κακῶς πρήξαντος χαρμόσυνα ταῦτα ποιέειν, ἐκάλεε τοὺς ἐπιτρόπους τῆς Μέμφιος, ἀπικομένους δὲ ἐς ὄψιν εἴρετο ὅ τι πρότερον μὲν ἐόντος αὐτοῦ ἐν Μέμφι ἐποίευν τοιοῦτον οὐδὲν Αἰγύπτιοι, τότε δὲ ἐπεὶ αὐτὸς παρείη τῆς στρατιῆς πλῆθός τι ἀποβαλών. οἱ δὲ ἔφραζον ὥς σφι θεὸς εἴη φανεὶς διὰ χρόνου πολλοῦ ἐωθὼς ἐπιφαίνεσθαι, καὶ ὡς ἐπεὰν φανῇ, τότε πάντες οἱ Αἰγύπτιοι κεχαρηκότες ὁρτάζοιεν. ταῦτα ἀκούσας ὁ Καμβύσης ἔφη ψεύδεσθαί σφεας, καὶ ὡς ψευδομένους θανάτῳ*
28 *ἐζημίου. ἀποκτείνας δὲ τούτους δεύτερα τοὺς ἱρέας ἐκάλεε ἐς ὄψιν. λεγόντων δὲ κατὰ τὰ αὐτὰ τῶν ἱρέων, οὐ λήσειν ἔφη αὐτὸν εἰ θεός τις χειροήθης ἀπιγμένος εἴη Αἰγυπτίοισι. τοσαῦτα δὲ εἴπας ἐπάγειν ἐκέλευε τὸν Ἆπιν τοὺς ἱρέας. οἱ μὲν δὴ μετήισαν ἄξοντες, ὁ δὲ Ἆπις οὗτος ὁ Ἔπαφος γίνεται μόσχος ἐκ βοὸς ἥτις οὐκέτι οἵη τε γίνεται*

I, 18. — *ἐπειδὴ . . . ἰέναι . . . γενέσθαι τε:* zu I, 24. — *ἄριστον δέ:* hier fängt der Nachsatz an; zu I, 112.

C. 27. *Ἔπαφον:* schon II, 153. — *καταδόξας:* zu I, 22. — *χαρμόσυνα:* nämlich *ἱερά*, ein Freudenfest. — *ὅ τι:* zu II, 19. — *διὰ χρόνου πολλοῦ:* also, nur selten; die Präp. wie II, 4.

C. 28. *μητήϊσαν:* zu III, 19. — *σέλας:* Pomp. Mel. I, 9: "*raro nascitur, nec coitu pecoris, ut aiunt, sed divinitus et coelesti igne conceptus.*" — *κατίσχει: delabitur, defertur.* Sonst transitiv, mit *τὰς*

ἐς γαστέρα ἄλλον βαλέσθαι γόνον. Αἰγύπτιοι δὲ λέγουσι
σέλας ἐπὶ τὴν βοῦν ἐκ τοῦ οὐρανοῦ κατίσχειν, καί μιν ἐκ
τούτου τίκτειν τὸν Ἆπιν. ἔχει δὲ ὁ μόσχος οὗτος ὁ Ἆπις
καλεόμενος σημήια τοιάδε ἐὼν μέλας, ἐπὶ μὲν τῷ μετώπῳ
λευκὸν τετράγωνον, ἐπὶ δὲ τοῦ νώτου αἰετὸν εἰκασμέ-
νον, ἐν δὲ τῇ οὐρῇ τὰς τρίχας διπλᾶς, ὑπὸ δὲ τῇ γλώσσῃ
κάνθαρον. ὡς δὲ ἤγαγον τὸν Ἆπιν οἱ ἱρέες, ὁ Καμβύσης, 29
οἷα ἐὼν ὑπομαργότερος, σπασάμενος τὸ ἐγχειρίδιον, θέλων
τύψαι τὴν γαστέρα τοῦ Ἄπιος παίει τὸν μηρόν· γελάσας
δὲ εἶπε πρὸς τοὺς ἱρέας "ὦ κακαὶ κεφαλαί, τοιοῦτοι θεοὶ
γίνονται, ἔναιμοί τε καὶ σαρκώδεες καὶ ἐπαΐοντες σιδη-
ρίων; ἄξιος μὲν Αἰγυπτίων οὗτός γε ὁ θεός· ἀτάρ τοι
ὑμεῖς γε οὐ χαίροντες γέλωτα ἐμὲ θήσεσθε." ταῦτα εἴπας
ἐνετείλατο τοῖσι ταῦτα πρήσσουσι τοὺς μὲν ἱρέας ἀπομα-
στιγῶσαι, Αἰγυπτίων δὲ τῶν ἄλλων τὸν ἂν λάβωσι ὁρ-
τάζοντα κτείνειν. ὁρτὴ μὲν δὴ διελέλυτο Αἰγυπτίοισι, οἱ
δὲ ἱρέες ἐδικαιεῦντο, ὁ δὲ Ἆπις πεπληγμένος τὸν μηρὸν
ἔφθινε ἐν τῷ ἱρῷ κατακείμενος. καὶ τὸν μὲν τελευτήσαντα
ἐκ τοῦ τρώματος ἔθαψαν οἱ ἱρέες λάθρῃ Καμβύσεω· Καμ- 30
βύσης δέ, ὡς λέγουσι Αἰγύπτιοι, αὐτίκα διὰ τοῦτο τὸ ἀδί-
κημα ἐμάνη, ἐὼν οὐδὲ πρότερον φρενήρης. καὶ πρῶτα μὲν
τῶν κακῶν ἐξεργάσατο τὸν ἀδελφεὸν Σμέρδιν ἐόντα πα-

νέας verbunden; II, 115 zurückhalten; aber VIII, 40 draufloshalten, losrichten, wie Hom. Od. 11, 456. — *μετώπῳ*: zu I, 178.

C. 29. *ὑπομαργότερος*, etwas zu sehr rasend; noch III, 145 u. VI, 75, an allen drei Stellen im Comparativ. So ist der Comparativ *νωθέστερος* III, 53 zu fassen; auch *πρεσβύτερος* IV, 150 u. VI, 107. — *ἐπαΐοντες*: Schol. Apollon. Rhod. 2, 195: *ἐπήϊσεν· ἀντὶ τοῦ ᾔσθετο.* Also, fühlen; aber IX, 93 bemerken; daher *ἐπάϊστος* nach Gloss. H. = *φανερός*, nämlich *compertus*, *cognitus* II, 119. III, 15. VI, 74. VII, 146. VIII, 128. — *οὐ χαίροντες*: *non impune*; so noch III, 36. 69. VI, 50. IX, 106; wie Plat. Gorg. p. 510 c: *οὐδεὶς χαίρων ἀδικήσει, nemo impune laedet.* — *γέλωτα ἐμέ*: mich zum Gegenstand des Gelächters; so III, 38. — *τοῖσι ταῦτα πρήσσουσι* = *τούτοις τῶν* (*ὧν*) *τὸ ἔργον ἦν ταῦτα πράττειν.* Zu IV, 84. — *ἐδικαιεῦντο*: wurden gerichtet, gestraft; so I, 100. V, 92, 2.

C. 30. *φρενήρης*: zu III, 25. — *ἐξεργάσατο*: hier *ἐξεργάζεσθαι* zu Grunde richten, umbringen, wie *conficere*; so noch III, 31. IV, 134; vgl. *διεργάζεσθαι* I, 213. — *Σμέρδιν*: derselbe wird von Ctesias (Exc. Pers. 10) *Tany-*

τρὸς καὶ μητρὸς τῆς αὐτῆς, τὸν ἀπέπεμψε ἐς Πέρσας φθόνῳ ἐξ Αἰγύπτου, ὅτι τὸ τόξον μοῦνος Περσέων ὅσον τε ἐπὶ δύο δακτύλους εἴρυσε, τὸ παρὰ τοῦ Αἰθίοπος ἤνεικαν οἱ Ἰχθυοφάγοι· τῶν δὲ ἄλλων Περσέων οὐδεὶς οἷός τε ἐγένετο. ἀποιχομένου ὦν ἐς Πέρσας τοῦ Σμέρδιος ὄψιν εἶδε ὁ Καμβύσης ἐν τῷ ὕπνῳ τοιήνδε· ἔδοξέ οἱ ἄγγελον ἐλθόντα ἐκ Περσέων ἀγγέλλειν ὡς ἐν τῷ θρόνῳ τῷ βασιληίῳ ἱζόμενος Σμέρδις τῇ κεφαλῇ τοῦ οὐρανοῦ ψαύσειε. πρὸς ὦν ταῦτα δείσας περὶ ἑωυτοῦ μή μιν ἀποκτείνας ὁ ἀδελφεὸς ἄρξῃ, πέμπει Πρηξάσπεα ἐς Πέρσας, ὃς οἱ ἦν ἀνὴρ Περσέων πιστότατος, ἀποκτενέοντά μιν. ὁ δὲ ἀναβὰς ἐς Σοῦσα ἀπέκτεινε Σμέρδιν· οἱ μὲν λέγουσι ἐπ' ἄγρην ἐξαγαγόντα, οἱ δὲ ἐς τὴν Ἐρυθρὴν θάλασσαν προσαγαγόντα καταποντῶσαι.

31 Πρῶτον μὲν δὴ λέγουσι Καμβύσῃ τῶν κακῶν ἄρξαι τοῦτο, δεύτερα δὲ ἐξεργάσατο τὴν ἀδελφεὴν ἐπισπομένην οἱ ἐς Αἴγυπτον, τῇ καὶ συνοίκεε καὶ ἦν οἱ ἀπ' ἀμφοτέρων ἀδελφεή. ἔγημε δὲ αὐτὴν ὧδε· οὐδαμῶς γὰρ ἐώθεσαν πρότερον τῇσι ἀδελφεῇσι συνοικέειν Πέρσαι. ἠράσθη μιῆς τῶν ἀδελφεῶν Καμβύσης, καὶ ἔπειτα βουλόμενος αὐτὴν γῆμαι, ὅτι οὐκ ἐωθότα ἐπενόεε ποιήσειν, εἴρετο καλέσας τοὺς βασιληίους δικαστὰς εἴ τις ἔστι κελεύων νόμος τὸν βουλόμενον ἀδελφεῇ συνοικέειν. οἱ δὲ βασιλήιοι δικασταὶ κεκριμένοι ἄνδρες γίνονται Περσέων, ἐς οὗ ἀποθάνωσι ἤ σφι

oxarces, und von Xenophon (Cyrop. 8, 7, 11) *Tanaoxares* genannt. Ueber Smerdis vgl. III, 61 fgg. — *ἐξαγαγόντα* und *προσαγαγόντα:* natürlich auf *Πρηξάσπεα* zu beziehen.

C. 31. *ἐξεργάσατο:* zu III, 30. — *ἐπισπομένην*: zu I, 32. — *ἀπ' ἀμφοτέρων* = *ἐοῦσα πατρὸς καὶ μητρὸς τῆς αὐτῆς*, wie oben C. 30 steht. — *τοὺς βασιλ. δικαστάς:* ein wahrscheinlich aus sieben Magern bestehender Gerichtshof, der darüber wachen sollte, dass das, was der König vornahm, mit den Vorschriften des göttlichen Gesetzes in Uebereinstimmung blieb; diese mögen wohl gemeint sein im Buch Esther I, 13 u. 14. Vgl. III, 14. V, 25. VII, 194. — *Περσέων:* hier lässt sich leicht der Gedanke ergänzen: welche dieses Amt verwalten. — *ἐς οὗ ἀποθάνωσι:* mit dem Conjunctiv ohne *ἄν* finden sich manche der Conjunctionen, die bis heissen, selbst in der mustergültigen Prosa, insofern der Gedanke gar nicht als problematisch vorgestellt wird; bei H. noch

παρευρεθῇ τι ἄδικον, μέχρι τούτου· οὗτοι δὲ τοῖσι Πέρσῃσι δίκας δικάζουσι καὶ ἐξηγηταὶ τῶν πατρίων θεσμῶν γίνονται, καὶ πάντα ἐς τούτους ἀνακέεται. εἰρομένου ὦν τοῦ Καμβύσεω, ὑπεκρίνοντο αὐτῷ οὗτοι καὶ δίκαια καὶ ἀσφαλέα, φάμενοι νόμον οὐδένα ἐξευρίσκειν ὃς κελεύει ἀδελφεῇ συνοικέειν ἀδελφεόν, ἄλλον μέντοι ἐξευρηκέναι νόμον, τῷ βασιλεύοντι Περσέων ἐξεῖναι ποιέειν τὸ ἂν βούληται. οὕτω οὔτε τὸν νόμον ἔλυσαν, δείσαντες Καμβύσεα· ἵνα τε μὴ αὐτοὶ ἀπόλωνται τὸν νόμον περιστέλλοντες, παρεξεῦρον ἄλλον νόμον σύμμαχον τῷ θέλοντι γαμέειν ἀδελφεάς. τότε μὲν δὴ ὁ Καμβύσης ἔγημε τὴν ἐρωμένην, μετὰ μέντοι οὐ πολλὸν χρόνον ἔσχε ἄλλην ἀδελφεήν. τουτέων δῆτα τὴν νεωτέρην ἐπισπομένην οἱ ἐπ' Αἴγυπτον κτείνει. ἀμφὶ δὲ τῷ θανάτῳ αὐτῆς διξός, ὥσπερ περὶ 32
Σμέρδιος, λέγεται λόγος. Ἕλληνες μὲν γὰρ λέγουσι Καμβύσεα συμβαλέειν σκύμνον λέοντος σκύλακι κυνός, θεωρέειν δὲ καὶ τὴν γυναῖκα ταύτην, νικωμένου δὲ τοῦ σκύλακος ἀδελφεὸν αὐτοῦ ἄλλον σκύλακα ἀπορρήξαντα τὸν δεσμὸν παραγενέσθαι οἱ, δύο δὲ γενομένους οὕτω δὴ τοὺς σκύλακας ἐπικρατῆσαι τοῦ σκύμνου. καὶ τὸν μὲν Καμβύσεα ἥδεσθαι θεώμενον, τὴν δὲ παρημένην δακρύειν. Καμβύσεα δὲ μαθόντα τοῦτο ἐπείρεσθαι διότι δακρύοι, τὴν δὲ εἰπεῖν ὡς ἰδοῦσα τὸν σκύλακα τῷ ἀδελφεῷ τιμωρήσαντα δακρύσειε, μνησθεῖσά τε Σμέρδιος καὶ μαθοῦσα ὡς κείνῳ οὐκ εἴη ὁ τιμωρήσων. Ἕλληνες μὲν δὴ διὰ τοῦτο τὸ

ἐς ὅ VIII, 108; ἄχρι οὗ I, 117; μέχρι IV, 119. Dagegen mit ἄν: ἐς οὗ IV, 30. 196; ἐς ὅ I, 93. II, 115. III, 82. IV, 43; ἔστ' ἂν III, 53. IV, 201. VII, 141. 158. VIII, 4. 61. 142. 143. 144. Einmal mit dem Optativ II, 179 μέχρι οὗ ἀπίκοιτο. Vgl. πρίν zu I, 19. — ἐξηγηταί: zu I, 78. — ἀνακέαται: zu I, 97. — φάμενοι . . .: ungeachtet der scheinbaren Beschränkungen also durch die Absonderung der richterlichen Gewalt von der des Herrschers, beweiset gerade der Ausspruch dieses hohen Tribunals, dass die Macht der persischen Fürsten so unbeschränkt gewesen sei, als sie es von irgend einem Despoten des Orients sein konnte. — περιστέλλοντες: zu I, 98. — τὴν ἐρωμένην: war Atossa, wie aus III, 88 erhellt. — ἔσχε: nämlich γυναῖκα, wie I, 60. 146. 173. 205 und sonst steht; ohne diesen Zusatz noch III, 68. 88. V, 116. 118. VI, 57. VII, 73. 165. 205. VIII, 136. — ἄλλην

ἔπος φασὶ αὐτὴν ἀπολέσθαι ὑπὸ Καμβύσεω, Αἰγύπτιοι δὲ ὡς τραπέζῃ περικατημένων λαβοῦσαν θρίδακα τὴν γυναῖκα περιτῖλαι καὶ ἐπανείρεσθαι τὸν ἄνδρα κότερον περιτετιλμένη ἢ δασέα ἡ θρῖδαξ ἐοῦσα εἴη καλλίων, καὶ τὸν φάναι δασέαν, τὴν δ' εἰπεῖν "ταύτην μέντοι κοτὲ σὺ τὴν θρίδακα ἐμιμήσαο, τὸν Κύρου οἶκον ἀποψιλώσας." τὸν δὲ θυμωθέντα ἐμπηδῆσαι αὐτῇ ἐχούσῃ ἐν γαστρί, καί μιν ἐκτρώσασαν ἀποθανεῖν.

33 Ταῦτα μὲν ἐς τοὺς οἰκηίους ὁ Καμβύσης ἐξεμάνη, εἴτε δὴ διὰ τὸν Ἆπιν εἴτε καὶ ἄλλως, οἷα πολλὰ ἔωθε ἀνθρώπους κακὰ καταλαμβάνειν· καὶ γάρ τινα ἐκ γενεῆς νοῦσον μεγάλην λέγεται ἔχειν ὁ Καμβύσης, τὴν ἱρὴν ὀνομάζουσι τινές. οὔ νύν τοι ἀεικὲς οὐδὲν ἦν τοῦ σώματος

34 νοῦσον μεγάλην νοσέοντος μηδὲ τὰς φρένας ὑγιαίνειν. τάδε δ' ἐς τοὺς ἄλλους Πέρσας ἐξεμάνη· λέγεται γὰρ εἰπεῖν αὐτὸν πρὸς Πρηξάσπεα, τὸν ἐτίμα τε μάλιστα, καί οἱ τὰς ἀγγελίας ἐφόρεε οὗτος, τούτου τε ὁ παῖς οἰνοχόος ἦν τῷ Καμβύσῃ, τιμὴ δὲ καὶ αὕτη οὐ σμικρή· εἰπεῖν δὲ λέγεται τάδε. "Πρήξασπες, κοῖόν μέ τινα νομίζουσι Πέρσαι εἶναι ἄνδρα, τίνας τε λόγους περὶ ἐμέο ποιεῦνται;" τὸν δὲ εἰπεῖν "ὦ δέσποτα, τὰ μὲν ἄλλα πάντα μεγάλως ἐπαινέαι, τῇ δὲ φιλοινίῃ σέ φασι πλεόνως προσκέεσθαι." τὸν μὲν δὴ λέγειν ταῦτα περὶ Περσέων, τὸν δὲ θυμωθέντα τοιάδε ἀμείβεσθαι. "νῦν ἄρα μέ φασι Πέρσαι οἴνῳ προσκείμενον παραφρονέειν καὶ οὐκ εἶναι νοήμονα· οὐδ' ἄρα σφέων οἱ πρότεροι λόγοι ἔσαν ἀληθέες." πρότερον γὰρ δὴ ἄρα Περσέων οἱ συνέδρων ἐόντων καὶ Κροίσου εἴρετο Καμβύσης

ἀδελφεήν: soll Meroë geheissen haben.

C. 32. *περικατημένων:* nämlich *αὐτῶν* Kambyses und seine Frau. — *θρίδακα:* Nom. *θρῖδαξ* oder *θρίδαξ* Lattich (*lactuca*). — *περιτῖλαι:* anacoluthisch construirt, als wenn oben *ὡς* nicht stünde; vgl. IV, 137. So bei *ὅτι* I, 207. — *καὶ τόν:* zu I, 86. — *ἐχούσῃ ἐν γαστρί:* noch IV, 30, *gravidam esse*, und ohne *ἐν γαστρί*, V, 41.

C. 33. *ταῦτα* = *τούτῳ τῷ τρόπῳ.* — *ἱρήν:* die Epilepsie. — *οὔ νύν τοι ἀεικὲς οὐδὲν ἦν: itaque non erat dissentaneum;* so noch VI, 98.

C. 34. *προσκέεσθαι:* zu I, 133. — *τελέσαι:* locker verbunden mit *δοκέοι εἶναι*, um eine genauere Be-

κοῖός τις δοκέοι ἀνὴρ εἶναι πρὸς τὸν πατέρα τελέσαι Κῦρον, οἱ δὲ ἀμείβοντο ὡς εἴη ἀμείνων τοῦ πατρός· τά τε γὰρ ἐκείνου πάντα ἔχειν αὐτόν, καὶ προσεκτῆσθαι Αἴγυπτόν τε καὶ τὴν θάλασσαν. Πέρσαι μὲν ταῦτα ἔλεγον, Κροῖσος δὲ παρεών τε καὶ οὐκ ἀρεσκόμενος τῇ κρίσι εἶπε πρὸς τὸν Καμβύσεα τάδε, "ἐμοὶ μέν νυν, ὦ παῖ Κύρου, οὐ δοκέεις ὅμοιος εἶναι τῷ πατέρι· οὐ γάρ κώ τοί ἐστι υἱὸς οἷον σὲ ἐκεῖνος κατελίπετο." ἥσθη τε ταῦτα ἀκούσας ὁ Καμβύσης, καὶ ἐπαίνεε τὴν Κροίσου κρίσιν. τούτων δὴ ἂν ἐπιμνησθέντα ὀργῇ λέγειν πρὸς τὸν Πρηξάσπεα "σύ νυν 35
μάθε εἰ λέγουσι Πέρσαι ἀληθέα, εἴτε αὐτοὶ λέγοντες ταῦτα παραφρονέουσι· εἰ μὲν γὰρ τοῦ παιδὸς τοῦ σοῦ τοῦδε ἑστεῶτος ἐν τοῖσι προθύροισι βαλὼν τύχοιμι μέσης τῆς καρδίης, Πέρσαι φανέονται λέγοντες οὐδέν· ἢν δ' ἁμάρτω, φάναι Πέρσας τε λέγειν ἀληθέα καὶ ἐμὲ μὴ σωφρονέειν." ταῦτα δὲ εἰπόντα καὶ διατείναντα τὸ τόξον βαλέειν τὸν παῖδα, πεσόντος δὲ τοῦ παιδὸς ἀνασχίζειν αὐτὸν κελεύειν καὶ σκέψασθαι τὸ βλῆμα· ὡς δὲ ἐν τῇ καρδίῃ εὑρεθῆναι ἐνεόντα τὸν ὀϊστόν, εἰπεῖν πρὸς τὸν πατέρα τοῦ παιδὸς γελάσαντα καὶ περιχαρέα γενόμενον "Πρήξασπες, ὡς μὲν ἐγώ τε οὐ μαίνομαι Πέρσαι τε παραφρονέουσι, δῆλά τοι γέγονε· νῦν δέ μοι εἰπέ, τίνα εἶδες ἤδη πάντων ἀνθρώπων οὕτως ἐπίσκοπα τοξεύοντα;" Πρηξάσπεα δὲ ὁρέωντα ἄνδρα οὐ φρενήρεα, καὶ περὶ ἑωυτῷ δειμαίνοντα, εἰπεῖν "δέσποτα, οὐδ' ἂν αὐτὸν ἔγωγε δοκέω τὸν θεὸν οὕτω ἂν καλῶς βαλέειν." τότε μὲν ταῦτα ἐξεργάσατο, ἑτέρωθι δὲ Περσέων

stimmung anzureihen, wie II, 79. Uebrigens ist τελέσαι nicht zu fassen wie II, 51, sondern wie Thuc. 4, 78, 5 ἐς Φάρσαλόν τε ἐτέλεσε καὶ ἐστρατοπεδεύσατο (vgl. 2, 97, 2), gelangen, also: *ut ad patrem Cyrum perveniat*, *i. e. eum aequiparet*. — ἐμοὶ μέν: zu I, 131.

C. 35. λέγοντες οὐδέν: Gegensatz λέγειν ἀληθέα. — φάναι: imperativisch, wie Soph. Electr. 9 φάσκειν Μυκήνας τὰς πολυχρύσους ὁρᾶν., und Thuc. 5, 9, 5 σὺ δέ, Κλεαρίδα, ὅταν ἐμὲ ὁρᾷς ἤδη προσκείμενον . . . αἰφνιδίως τὰς πύλας ἀνοίξας ἐπεκθεῖν καὶ ἐπείγεσθαι ὡς τάχιστα ξυμμῖξαι. So noch III, 134: σὺ . . . στρατεύεσθαι. 155 ἐὰν ἔχειν und gleich darauf κελεύειν. IV, 126 σὺ . . . μάχεσθαι. 163 σὺ ἥσυχος εἶναι. VII, 159 σὺ δὲ μὴ βοηθέειν. — ὡς . . . εὑρεθῆναι: zu I, 24. — οὐ φρενήρεα: zu III, 25. — οὐδ'

ὁμοίους τοῖσι πρώτοισι δυώδεκα ἐπ᾽ οὐδεμιῇ αἰτίῃ ἀξιόχρεῳ ἑλὼν ζώοντας ἐπὶ κεφαλὴν κατώρυξε.

36 *Ταῦτα δέ μιν ποιεῦντα ἐδικαίωσε Κροῖσος ὁ Λυδὸς νουθετῆσαι τοισίδε τοῖσι ἔπεσι. "ὦ βασιλεῦ, μὴ πάντα ἡλικίῃ καὶ θυμῷ ἐπίτρεπε, ἀλλ᾽ ἴσχε καὶ καταλάμβανε σεωυτόν· ἀγαθόν τι πρόνοον εἶναι, σοφὸν δὲ ἡ προμηθίη. σὺ δὲ κτείνεις μὲν ἄνδρας σεωυτοῦ πολιήτας ἐπ᾽ οὐδεμιῇ αἰτίῃ ἀξιόχρεῳ ἑλών, κτείνεις δὲ παῖδας. ἢν δὲ πολλὰ τοιαῦτα ποιέῃς, ὅρα ὅκως μή σευ ἀποστήσονται Πέρσαι. ἐμοὶ δὲ πατὴρ ὁ σὸς Κῦρος ἐνετέλλετο πολλὰ κελεύων σε νουθετέειν καὶ ὑποτίθεσθαι ὅ τι ἂν εὑρίσκω ἀγαθόν." ὁ μὲν δὴ εὔνοιαν φαίνων συνεβούλευέ οἱ ταῦτα· ὁ δ᾽ ἀμείβετο τοισίδε. "σὺ καὶ ἐμοὶ τολμᾷς συμβουλεύειν, ὃς χρηστῶς μὲν τὴν σεωυτοῦ πατρίδα ἐπετρόπευσας, εὖ δὲ τῷ πατρὶ τῷ ἐμῷ συνεβούλευσας, κελεύων αὐτὸν Ἀράξεα ποταμὸν διαβάντα ἰέναι ἐπὶ Μασσαγέτας βουλομένων ἐκείνων διαβαίνειν ἐς τὴν ἡμετέρην, καὶ ἀπὸ μὲν σεωυτὸν ὤλεσας τῆς σεωυτοῦ πατρίδος κακῶς προστάς, ἀπὸ δὲ ὤλεσας Κῦρον πειθόμενόν σοι. ἀλλ᾽ οὔτι χαίρων, ἐπεί τοι καὶ πάλαι ἐς σὲ προφάσιός τευ ἐδεόμην ἐπιλαβέσθαι." ταῦτα δὲ εἴπας ἐλάμβανε τὸ τόξον ὡς κατατοξεύσων αὐτόν. Κροῖσος δὲ ἀναδραμὼν ἔθεε ἔξω· ὁ δὲ ἐπείτε τοξεῦσαι οὐκ*

ἂν . . . οὕτω ἄν: wie II, 26. — *ὁμοίους:* diese von vielen Handschriften dargebotene Lesart habe ich statt des gewöhnlichen *ὁμοῖα* mit **Eltz** aufgenommen, welcher vergleicht III, 68 *ὁμοῖος τῷ πρώτῳ Περσέων.*, 142 *δεσπόζων ἀνδρῶν ὁμοίων ἑωυτῷ.* Ebenso muss III, 57 *θησαυρὸς ἐν Δελφοῖσι ἀνακέεται ὁ μ ο ῖ ο ς τοῖσι πλουσιωτάτοισι* gelesen werden. Ganz verschieden sind die Stellen, wo *ὁμοῖα* adverbialisch steht III, 8. VII, 118 *τῶν ἀστῶν ἀνὴρ δόκιμος ὁμοῖα τῷ μάλιστα* = *ὁμοῖα δόκιμος τῷ μάλιστα τοιούτῳ ἐόντι.* VII, 120 *εἰ καὶ ἄριστον προείρητο ὁμοῖα τῷ δείπνῳ παρασκευάζειν, si iussi essent etiam prandium similiter ut coenam (instruxerant) instruere.* — *ἐπὶ κεφαλήν: inverso capite,* wie III, 75 u. VII, 136.

C. 36. *ἡλικίῃ: iuvenili cuidam ardori,* so noch VII, 18. — *καταλάμβανε:* zu I, 46. — *προμηθίη:* zu I, 88. — *ὅρα ὅκως μή: v i d e n e.* — *χρηστῶς μὲν . . εὖ δέ:* ironisch. — *Ἀράξεα:* zu I, 201. — *ἀλλ᾽ οὔτι χαίρων:* nämlich *ἐμοὶ ταῦτα συμβουλεύσειας ἄν.* Zu III, 29. — *προφάσιός τευ ἐπιλαβέσθαι: o c c a s i o n e m a l i q u a m n a n c i s c i.* Gerade so VI, 13. 49; und IX, 99 *δυνάμιος ἐπιλαβομένοισι, s i p o t e s t a t e m n a n c i s c e r e n t u r.* Aehnlich I, 127. V,

εἶχε, ἐνετείλατο τοῖσι θεράπουσι λαβόντας μιν ἀποκτεῖναι. οἱ δὲ θεράποντες ἐπιστάμενοι τὸν τρόπον αὐτοῦ κατακρύπτουσι τὸν Κροῖσον, ἐπὶ τῷδε τῷ λόγῳ ὥστε, εἰ μὲν μεταμελήσει τῷ Καμβύσῃ καὶ ἐπιζητήσει τὸν Κροῖσον, οἱ δὲ ἐκφήναντες αὐτὸν δῶρα λάμψονται ζωάγρια Κροίσου, ἢν δὲ μὴ μεταμελῆται μηδὲ ποθῇ μιν, τότε καταχρᾶσθαι. ἐπόθησέ τε δὴ ὁ Καμβύσης τὸν Κροῖσον οὐ πολλῷ μετέπειτα χρόνῳ ὕστερον, καὶ οἱ θεράποντες μαθόντες τοῦτο ἐπηγγέλλοντο αὐτῷ ὡς περιείη. Καμβύσης δὲ Κροίσῳ μὲν συνήδεσθαι ἔφη περιεόντι, ἐκείνους μέντοι τοὺς περιποιήσαντας οὐ καταπροΐξεσθαι ἀλλ' ἀποκτενέειν· καὶ ἐποίησε ταῦτα.

Ὁ μὲν δὴ τοιαῦτα πολλὰ ἐς Πέρσας τε καὶ τοὺς ξυμ- 37
μάχους ἐξεμαίνετο, μένων ἐν Μέμφι καὶ θήκας τε παλαιὰς ἀνοίγων καὶ σκεπτόμενος τοὺς νεκρούς· ἐν δὲ δὴ καὶ ἐς τοῦ Ἡφαίστου τὸ ἱρὸν ἦλθε καὶ πολλὰ τὤγάλματι κατεγέλασε· ἔστι γὰρ τοῦ Ἡφαίστου τὤγαλμα τοῖσι Φοινικηίοισι Παταΐκοῖσι ἐμφερέστατον, τοὺς οἱ Φοίνικες ἐν τῇσι πρῴρῃσι τῶν τριηρέων περιάγουσι. ὃς δὲ τούτους μὴ ὄπωπε, ἐγὼ δέ οἱ σημανέω· πυγμαίου ἀνδρὸς μίμησίς ἐστι. ἐσῆλθε δὲ καὶ ἐς τῶν Καβείρων τὸ ἱρόν, ἐς τὸ οὐ

23. — *ἐπὶ τῷδε τῷ λόγῳ* = *τοιόνδε λογιζόμενοι.* — *οἱ δέ:* zu I, 112. — *καταχρᾶσθαι:* anacoluthisch construirt, da man des Parallelismus wegen *καταχρήσονται* erwarten würde. Sonst zu I, 82. — *μετέπειτα ὕστερον:* nicht ungewöhnlicher Pleonasmus; so Thuc. 5,64,3 *ἔπειτα δ' ὕστερον καὶ οὗτοι ἦλθον.*, und Hom. Hym. Dem. 205 *ἔπειτα μεθύστερον.* (Werfer Act. Mon. 1 p. 268). — *ἐπηγγέλλοντο:* zu II, 121, 6. — *περιποιήσαντας:* zu I, 110. — *καταπροΐξεσθαι:* nur im Aor. u. Fut. gebräuchlich und stets mit der Negation verbunden, erklärt Gloss. Her.: *προῖκα* (umsonst), *ἀτιμωρητὶ ποιῆσαι.* Beim H. ist es stets mit dem Participium construirt, (denn an unsrer Stelle ist *περιποιήσαντας* doppelt zu deuten, vgl. II, 32.) III, 156. V, 105. VII, 17. — *ἀποκτενέειν:* parallel mit *συνήδεσθαι.*

C. 37. *ἐν δὲ δή:* zu I, 74. — *Παταΐκοῖσι:* phönikische Gottheiten von lächerlicher Zwerggestalt, deren Bildnisse an den Vordertheilen der Schiffe der Phönikier standen. Das Wort soll heissen: schützende Götter. — *ἐγὼ δέ:* zu I, 112. — *τῶν Καβείρων:* auch in Aegypten werden diese ursprünglich auf Samothrake (vgl. II, 51) verehrten Gottheiten gefunden. Ursprünglich nur Diener und Repräsentanten der sogenannten grossen Götter, traten sie im Lauf der Zeit

θεμιτόν ἐστι ἐσιέναι ἄλλον γε ἢ τὸν ἱρέα· ταῦτα δὲ τἀγάλματα καὶ ἐνέπρησε πολλὰ κατασκώψας. ἔστι δὲ καὶ ταῦτα ὁμοῖα τοῖσι τοῦ Ἡφαίστου· τούτου δέ σφεας παῖ-
38 δας λέγουσι εἶναι. πανταχῇ ὦν μοι δῆλά ἐστι ὅτι ἐμάνη μεγάλως ὁ Καμβύσης· οὐ γὰρ ἂν ἱροῖσί τε καὶ νομαίοισι ἐπεχείρησε καταγελᾶν. εἰ γάρ τις προθείη πᾶσι ἀνθρώποισι ἐκλέξασθαι κελεύων νόμους τοὺς καλλίστους ἐκ τῶν πάντων νόμων, διασκεψάμενοι ἂν ἑλοίατο ἕκαστοι τοὺς ἑωυτῶν· οὕτω νομίζουσι πολύ τι καλλίστους τοὺς ἑωυτῶν νόμους ἕκαστοι εἶναι. οὐκ ὦν οἰκός ἐστι ἄλλον γε ἢ μαινόμενον ἄνδρα γέλωτα τὰ τοιαῦτα τίθεσθαι. ὡς δὲ οὕτω νενομίκασι τὰ περὶ τοὺς νόμους πάντες ἄνθρωποι, πολλοῖσι μὲν καὶ ἄλλοισι τεκμηρίοισι πάρεστι σταθμώσασθαι, ἐν δὲ δὴ καὶ τῷδε. Δαρεῖος ἐπὶ τῆς ἑωυτοῦ ἀρχῆς καλέσας Ἑλλήνων τοὺς παρεόντας εἴρετο ἐπὶ κόσῳ ἂν χρήματι βουλοίατο τοὺς πατέρας ἀποθνήσκοντας κατασιτέεσθαι· οἱ δὲ ἐπ᾽ οὐδενὶ ἔφασαν ἕρδειν ἂν τοῦτο. Δαρεῖος δὲ μετὰ ταῦτα καλέσας Ἰνδῶν τοὺς καλεομένους Καλατίας, οἳ τοὺς γονέας κατεσθίουσι, εἴρετο, παρεόντων τῶν Ἑλλήνων καὶ δι᾽ ἑρμηνέος μανθανόντων τὰ λεγόμενα, ἐπὶ τίνι χρήματι δεξαίατ᾽ ἂν τελευτῶντας τοὺς πατέρας κατακαίειν πυρί· οἱ δὲ ἀμβώσαντες μέγα εὐφημέειν μιν ἐκέλευον. οὕτω μέν νυν ταῦτα νενόμισται, καὶ ὀρθῶς μοι δοκέει Πίνδαρος ποιῆσαι, νόμον πάντων βασιλέα φήσας εἶναι.

an deren Stelle als Eigenthümer eines ganz verloschenen Cultus. In Aegypten scheinen sie sieben an der Zahl gewesen zu sein, wozu Hephästos als ihr Präses und Vater hinzukam.

C. 38. *γέλωτα:* wie III, 29. — *σταθμώσασθαι:* zu II, 2. — *ἐν δὲ δή:* zu I, 74. — *ἐπὶ κόσῳ χρήματι:* um welchen Preis. So Xen. Cyr. 3, 1, 43 *καὶ ἐπὶ πόσῳ ἄν, ἔφη, ἐθέλοις τὴν γυναῖκά σου ἀκοῦσαι ὅτι σκευοφορεῖς;* — *Καλατίας:* zu III, 97. — *δεξαίατ᾽ ἄν:* *in se reciperent.* — *ποιῆσαι:* vom Dichter, wie II, 53. 116. IV, 14. 16. 32. 35. V, 95. — *νόμον πάντων βασιλέα:* vollständiger bei Plat. Gorg. 484 b: *νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων· οὗτος δὲ δή, φησίν, ἄγει βιαίως τὸ δικαιότατον ὑπερτάτᾳ χειρί.* Dies Fragment aus einem verloren gegangenen Gedicht stellt Böckh Pind. Opp. II, 2 p. 642 so wieder her:

νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων
ἄγει δικαιῶν τὸ βιαιότατον
ὑπερτάτᾳ χειρί . . .

Καμβύσεω δὲ ἐπ' Αἴγυπτον στρατευομένου ἐποιή- 39
σαντο καὶ Λακεδαιμόνιοι στρατηίην ἐπὶ Σάμον τε καὶ Πο-
λυκράτεα τὸν Αἰάκεος, ὃς ἔσχε Σάμον ἐπαναστάς, καὶ τὰ
μὲν πρῶτα τριχῇ δασάμενος τὴν πόλιν τοῖσι ἀδελφεοῖσι
Πανταγνώτῳ καὶ Συλοσῶντι ἔνειμε, μετὰ δὲ τὸν μὲν αὐ-
τέων ἀποκτείνας τὸν δὲ νεώτερον Συλοσῶντα ἐξελάσας
ἔσχε πᾶσαν Σάμον, ἴσχων δὲ ξεινηίην Ἀμάσι τῷ Αἰγύπτου
βασιλέι συνεθήκατο, πέμπων τε δῶρα καὶ δεκόμενος ἄλλα
παρ' ἐκείνου. ἐν χρόνῳ δὲ ὀλίγῳ αὐτίκα τοῦ Πολυκράτεος
τὰ πρήγματα αὔξετο καὶ ἦν βεβωμένα ἀνά τε τὴν Ἰωνίην
καὶ τὴν ἄλλην Ἑλλάδα· ὅκου γὰρ ἰθύσειε στρατεύεσθαι,
πάντα οἱ ἐχώρεε εὐτυχέως. ἔκτητο δὲ πεντηκοντέρους τε
ἑκατὸν καὶ χιλίους τοξότας. ἔφερε δὲ καὶ ἦγε πάντας, δια-
κρίνων οὐδένα· τῷ γὰρ φίλῳ ἔφη χαριεῖσθαι μᾶλλον ἀπο-
διδοὺς τὰ ἔλαβε ἢ ἀρχὴν μηδὲ λαβών. συχνὰς μὲν δὴ τῶν
νήσων ἀραιρήκεε, πολλὰ δὲ καὶ τῆς ἠπείρου ἄστεα· ἐν δὲ
δὴ καὶ Λεσβίους πανστρατιῇ βοηθέοντας Μιλησίοισι ναυ-
μαχίῃ κρατήσας εἷλε, οἳ τὴν τάφρον περὶ τὸ τεῖχος τὸ ἐν
Σάμῳ πᾶσαν δεδεμένοι ὤρυξαν. καί κως τὸν Ἄμασιν εὐ- 40
τυχέων μεγάλως ὁ Πολυκράτης οὐκ ἐλάνθανε, ἀλλά οἱ
τοῦτ' ἦν ἐπιμελές. πολλῷ δὲ ἔτι πλεῦνός οἱ εὐτυχίης γινο-
μένης γράψας ἐς βιβλίον τάδε ἐπέστειλε ἐς Σάμον. "Ἄμα-
σις Πολυκράτεϊ ὧδε λέγει. ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα
φίλον καὶ ξεῖνον εὖ πρήσσοντα· ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι
εὐτυχίαι οὐκ ἀρέσκουσι, τὸ θεῖον ἐπισταμένῳ ὡς ἔστι φθο-
νερόν· καί κως βούλομαι καὶ αὐτὸς καὶ τῶν ἂν κήδωμαι
τὸ μέν τι εὐτυχέειν τῶν πρηγμάτων τὸ δὲ προσπταίειν, καὶ

Lex omnium domina mortalium et immortalium affert vim maximam, iustam eam efficiens, potentissima manu.

C. 39. *τριχῇ*: zu III, 26. — *δασάμενος*: zu I, 94 und 216. — *ἰθύσειε*: zu I, 204. — *ἐχώρεε*: zu III, 42. — *χιλίους τοξότας*: wohl dieselben, die III, 45 *τοξόται οἰκήϊοι* genannt sind, königliche Trabanten, wie die *δορυφόροι* des Kyros (I, 90) und des Deïoces (I, 98), oder die *κορυνηφόροι* des Peisistratos (1, 59). — *ἐν δὲ δή*: zu I, 74. — *οἵ*: und dies sind diejenigen, welche...

C. 40. *φθονερόν*: zu I, 32. — *τῶν* = *οὗτοι τῶν* (*ὧν*). — *προς-*

οὕτω διαφέρειν τὸν αἰῶνα, ἐναλλὰξ πρήσσων, ἢ εὐτυχέειν τὰ πάντα. οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα. σὺ ὦν νῦν ἐμοὶ πειθόμενος ποίησον πρὸς τὰς εὐτυχίας τοιάδε. φροντίσας τὸ ἂν εὕρῃς ἐόν τοι πλεῖστον ἄξιον, καὶ ἐπ᾽ ᾧ σὺ ἀπολομένῳ μάλιστα τὴν ψυχὴν ἀλγήσεις, τοῦτο ἀπόβαλε οὕτω ὅκως μηκέτι ἥξει ἐς ἀνθρώπους. ἤν τε μὴ ἐναλλὰξ ἤδη τὠπὸ τούτου αἱ εὐτυχίαι τοιαύταισι πάθαισι
41 προσπίπτωσι, τρόπῳ τῷ ἐξ ἐμεῦ ὑποκειμένῳ ἀκέο." ταῦτα
ἐπιλεξάμενος ὁ Πολυκράτης, καὶ νόῳ λαβὼν ὥς οἱ εὖ ὑποτίθοιτο Ἄμασις, ἐδίζητο ἐπ᾽ ᾧ ἂν μάλιστα τὴν ψυχὴν ἀσηθείη ἀπολομένῳ τῶν κειμηλίων, διζήμενος δ᾽ εὕρισκε τόδε. ἦν οἱ σφρηγὶς τὴν ἐφόρεε χρυσόδετος, σμαράγδου μὲν λίθου ἐοῦσα, ἔργον δὲ ἦν Θεοδώρου τοῦ Τηλεκλέος Σαμίου. ἐπεὶ ὦν ταύτην οἱ ἐδόκεε ἀποβαλέειν, ἐποίεε τοιάδε. πεντηκόντερον πληρώσας ἀνδρῶν ἐσέβη ἐς αὐτήν, μετὰ δὲ ἀναγαγεῖν ἐκέλευε ἐς τὸ πέλαγος· ὡς δὲ ἀπὸ τῆς νήσου ἑκὰς ἐγένετο, περιελόμενος τὴν σφρηγῖδα πάντων ὁρεώντων τῶν

πταίειν: zu I, 16. — *διαφέρειν*: zu I, 25. — *ἐναλλὰξ πρήσσων* = *ἐναλλὰξ* (*vicissim*, noch VI, 52) *εὖ πρήσσων καὶ κακῶς πρήσσων*. — *ἢ*: motivirt durch *βούλομαι* (*malo*), was vor *οὕτω* zu repetiren ist. — *οὐδένα γάρ κω λόγῳ οἶδα ἀκ.*: *neminem enim unquam fando cognovi*. — *ἤν τε μὴ . . .* Sinn: wenn von jetzt ab bei Dir ein Glückswechsel eintritt, so brauchst Du mein Mittel nicht; tritt er aber nicht ein, so wende es an. — *τὠπὸ τούτου*: von dieser Zeit ab. — *τοιαύταισι*: ist wohl am einfachsten zu erklären durch Beziehung auf den vorher beschriebenen freiwilligen Verlust des Theuersten. — *προσπίπτωσι*: auf Unglück stösst und dadurch zu Falle kommt, obwohl der Begriff des Fallens wie bei *incidere* nicht besonders urgirt wird; es liegt in *προσπίπτειν*: auf etwas stossen, gerathen, so dass die Hauptsache in dem *πρός* liegt: auf etwas treffen; die Bewegung, durch welche dies geschieht, wird durch *πίπτειν* nur als eine zufällige, unwillkürliche bezeichnet. Aehnlich I, 32 u. VII, 46. Aber I, 134. II, 2. VII, 136 sich Einem zu Füssen werfen. — *ἐξ* = *ὑπό*, wie im Exord. — *ὑποκειμένῳ*: zu II, 123.

C. 41. *ἐπιλεξάμενος*: zu I, 78. — *ἀσηθείη*: ein variirter Ausdruck für das obige *ἀλγήσεις*. Das Substantiv *ἄση*, *molestia* I, 136. — *χρυσόδετος*: K. O. Müller (Handbuch der Archäologie S. 77) behauptet Theodoros habe ihn gewiss nur in Gold gefasst; ob er geschnitten gewesen, sei zweifelhaft. — *Θεοδώρου*: derselbe der schon I, 51 genannt ist, ein Enkel des III, 60 erwähnten Baumeisters Rhöcos. — *περιελόμενος*: der

συμπλόων ῥίπτει ἐς τὸ πέλαγος. τοῦτο δὲ ποιήσας ἀπέπλεε, ἀπικόμενος δὲ ἐς τὰ οἰκία συμφορῇ ἐχρᾶτο. πέμπτῃ 42
δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπὸ τούτων τάδε οἱ συνήνεικε γενέσθαι. ἀνὴρ ἁλιεὺς λαβὼν ἰχθὺν μέγαν τε καὶ καλὸν ἠξίου μιν Πολυκράτεϊ δῶρον δοθῆναι· φέρων δὴ ἐπὶ τὰς θύρας Πολυκράτεϊ ἔφη ἐθέλειν ἐλθεῖν ἐς ὄψιν, χωρήσαντος δέ οἱ τούτου ἔλεγε διδοὺς τὸν ἰχθύν "ὦ βασιλεῦ, ἐγὼ τόνδε ἑλὼν οὐκ ἐδικαίωσα φέρειν ἐς ἀγορήν, καίπερ γε ἐὼν ἀποχειροβίωτος, ἀλλά μοι ἐδόκεε σεῦ τε εἶναι ἄξιος καὶ τῆς σῆς ἀρχῆς· σοὶ δή μιν φέρων δίδωμι." ὁ δὲ ἡσθεὶς τοῖσι ἔπεσι ἀμείβεται τοισίδε. "κάρτα τε εὖ ἐποίησας, καὶ χάρις διπλέη τῶν τε λόγων καὶ τοῦ δώρου· καί σε ἐπὶ δεῖπνον καλέομεν." ὁ μὲν δὴ ἁλιεὺς μέγα ποιεύμενος ταῦτα ἤιε ἐς τὰ οἰκία, τὸν δὲ ἰχθὺν τάμνοντες οἱ θεράποντες εὑρίσκουσι ἐν τῇ νηδύι αὐτοῦ ἐνεοῦσαν τὴν Πολυκράτεος σφρηγῖδα. ὡς δὲ εἶδόν τε καὶ ἔλαβον τάχιστα, ἔφερον κεχαρηκότες παρὰ τὸν Πολυκράτεα, διδόντες δέ οἱ τὴν σφρηγῖδα ἔλεγον ὅτεῳ τρόπῳ εὑρέθη. τὸν δὲ ὡς ἐσῆλθε θεῖον εἶναι τὸ πρῆγμα, γράφει ἐς βιβλίον πάντα τὰ ποιήσαντά μιν οἷα καταλελαβήκεε, γράψας δὲ ἐς Αἴγυπτον ἐπέθηκε. ἐπιλεξά- 43
μενος δὲ ὁ Ἄμασις τὸ βιβλίον τὸ παρὰ τοῦ Πολυκράτεος ἧκον, ἔμαθε ὅτι ἐκκομίσαι τε ἀδύνατον εἴη ἀνθρώπῳ ἄνθρωπον ἐκ τοῦ μέλλοντος γίνεσθαι πρήγματος, καὶ ὅτι

Gegensatz ist περιτιθέναι II, 162, nur mit dem Unterschiede, dass das Activ die Beziehung auf Andere, das Medium die Beziehung auf das Subject ausdrückt, also, etwas, was rings herum anschliesst, abnehmen; so II, 151. III, 96. 128. 159. VI, 46. — συμφορῇ: zu I, 35.

C. 42. συνήνεικε: zu I, 73. — χωρήσαντος = προχωρήσαντος: als ihm dies gelungen war, wofür III, 39 εὐτυχέως steht; aber auch ohne diesen Zusatz, noch V, 49. 89. VII, 10, 2. VIII, 68, 2. — τὸν δὲ ὡς ἐσῆλθε: *cum vero ipsum subisset cogitatio.* — τὰ ποιήσαντά μιν οἷα καταλελαβήκεε: *quae facienti qualia sibi accidissent, i. e. quae et ipse fecisset, et quae sibi inde accidissent.* Aehnlich III, 155. Ueber καταλαμβάνειν: zu II, 66. — ἐπέθηκε: aus γράψας ist als Object τὰ γεγραμμένα oder τὴν ἐπιστολήν zu entnehmen, welches Thuc. I, 129, 2 hinzufügt: καὶ παρὰ Παυσανίαν ἐς Βυζάντιον ἐπιστολὴν ἀντεπετίθει αὐτῷ ὡς τάχιστα διαπέμψαι. Aehnlich V, 95.

C. 43. ἐπιλεξάμενος: zu I, 78. — ὅτι ἐκκομίσαι . . . πρήγματος:

οὐκ εὖ τελευτήσειν μέλλοι Πολυκράτης εὐτυχέων τὰ πάντα,
ὃς καὶ τὰ ἀποβάλλει εὑρίσκει. πέμψας δέ οἱ κήρυκα ἐς
Σάμον διαλύεσθαι ἔφη τὴν ξεινίην. τοῦδε δὲ εἵνεκεν ταῦτα
ἐποίεε, ἵνα μὴ συντυχίης δεινῆς τε καὶ μεγάλης Πολυκρά-
τεα καταλαβούσης αὐτὸς ἀλγήσειε τὴν ψυχὴν ὡς περὶ ξείνου
ἀνδρός.
44 Ἐπὶ τοῦτον δὴ ὦν τὸν Πολυκράτεα εὐτυχέοντα τὰ πάν-
τα ἐστρατεύοντο Λακεδαιμόνιοι ἐπικαλεσαμένων τῶν μετὰ
ταῦτα Κυδωνίην τὴν ἐν Κρήτῃ κτισάντων Σαμίων. Πολυ-
κράτης δὲ πέμψας παρὰ Καμβύσεα τὸν Κύρου, συλλέγοντα
στρατὸν ἐπ᾽ Αἴγυπτον, ἐδεήθη ὅκως ἂν καὶ παρ᾽ ἑωυτὸν
πέμψας ἐς Σάμον δέοιτο στρατοῦ. Καμβύσης δὲ ἀκούσας
τούτων προθύμως ἔπεμπε ἐς Σάμον, δεόμενος Πολυκρά-
τεος στρατὸν ναυτικὸν ἅμα πέμψαι ἑωυτῷ ἐπ᾽ Αἴγυπτον.
ὁ δὲ ἐπιλέξας τῶν ἀστῶν τοὺς ὑπόπτευε μάλιστα ἐς ἐπα-
νάστασιν ἀπέπεμπε τεσσεράκοντα τριήρεσι, ἐντειλάμενος
45 Καμβύσῃ ὀπίσω τούτους μὴ ἀποπέμπειν. οἱ μὲν δὴ λέ-
γουσι τοὺς ἀποπεμφθέντας Σαμίων ὑπὸ Πολυκράτεος οὐκ
ἀπικέσθαι ἐς Αἴγυπτον, ἀλλ᾽ ἐπείτε ἐγένοντο ἐν Καρπάθῳ
πλέοντες, δοῦναι σφίσι λόγον, καί σφι ἁδεῖν τὸ προσω-
τέρω μηκέτι πλέειν· οἱ δὲ λέγουσι ἀπικομένους τε ἐς Αἴ-
γυπτον καὶ φυλασσομένους ἐνθεῦτεν αὐτοὺς ἀποδρῆναι.
καταπλέουσι δὲ ἐς τὴν Σάμον Πολυκράτης νηυσὶ ἀντιάσας
ἐς μάχην κατέστη· νικήσαντες δὲ οἱ κατιόντες ἀπέβησαν
ἐς τὴν νῆσον, πεζομαχήσαντες δὲ ἐν αὐτῇ ἑσσώθησαν, καὶ
οὕτω δὴ ἔπλεον ἐς Λακεδαίμονα. εἰσὶ δὲ οἱ λέγουσι τοὺς

Dieser Gedanke ist zusammenzustellen mit I, 91 τὴν πεπρωμένην μοῖραν ἀδύνατά ἐστι ἀποφυγέειν καὶ θεῷ., und IX, 16 ὅ τι δεῖ γενέσθαι ἐκ τοῦ θεοῦ, ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ.

C. 44. Ἐπὶ τοῦτον δὴ ὦν: Wiederaufnahme der Capitel 39 begonnenen Erzählung. — Κυδωνίην: zu III, 59. — Πολυκράτης δέ: P. nämlich. — ἐδεήθη ὅκως = ἐδεήθη οὕτω ποιῆσαι ὅκως . . .: er bat ihn, er möchte doch, falls er es nöthig hätte (ἄν), auch zu ihm nach Samos schicken und um Beistand bitten. Aehnlich ist das ἄν bei ὡς I, 196. — ἐπιλέξας: zu I, 214. — ἐς ἐπανάστασιν: nämlich ἑτοίμους εἶναι.

C. 45. ἐν Καρπάθῳ: nämlich im karpathischen Meere. Die Insel Karpathus lag in der Mitte zwischen Rhodus und Kreta. — δοῦναι σφί-

ἀπ' Αἰγύπτου νικῆσαι Πολυκράτεα, λέγοντες ἐμοὶ δοκέειν οὐκ ὀρθῶς· οὐδὲν γὰρ ἔδεέ σφεας Λακεδαιμονίους ἐπικαλέεσθαι, εἴ περ αὐτοὶ ἱκανοὶ ἔσαν Πολυκράτεα παραστήσασθαι. πρὸς δὲ τούτοισι οὐδὲ λόγος αἱρέει, τῷ ἐπίκουροί τε μισθωτοὶ καὶ τοξόται οἰκήιοι ἔσαν πλήθεϊ πολλοί, τοῦτον ὑπὸ τῶν κατιόντων Σαμίων ἐόντων ὀλίγων ἑσσωθῆναι. τῶν δ' ὑπ' ἑωυτῷ ἐόντων πολιητέων τὰ τέκνα καὶ τὰς γυναῖκας ὁ Πολυκράτης ἐς τοὺς νεωσοίκους συνειλήσας εἶχε ἑτοίμους, ἢν ἄρα προδιδῶσι οὗτοι πρὸς τοὺς κατιόντας, ὑποπρῆσαι αὐτοῖσι νεωσοίκοισι.

46 Ἐπείτε δὲ οἱ ἐξελαθέντες Σαμίων ὑπὸ Πολυκράτεος ἀπίκοντο ἐς τὴν Σπάρτην, καταστάντες ἐπὶ τοὺς ἄρχοντας ἔλεγον πολλὰ οἷα κάρτα δεόμενοι. οἱ δέ σφι τῇ πρώτῃ καταστάσι ὑπεκρίναντο τὰ μὲν πρῶτα λεχθέντα ἐπιλεληθέναι, τὰ δὲ ὕστερα οὐ συνιέναι. μετὰ δὲ ταῦτα δεύτερα καταστάντες ἄλλο μὲν εἶπον οὐδέν, θύλακον δὲ φέροντες ἔφασαν τὸν θύλακον ἀλφίτων δέεσθαι. οἱ δέ σφι ὑπεκρίναντο τῷ θυλάκῳ περιεργάσθαι· βοηθέειν δ' ὦν ἔδοξε αὐτοῖσι.

47 καὶ ἔπειτα παρασκευασάμενοι ἐστρατεύοντο Λακεδαιμόνιοι ἐπὶ Σάμον, ὡς μὲν Σάμιοι λέγουσι, εὐεργεσίας ἐκτίνοντες, ὅτι σφι πρότεροι αὐτοὶ νηυσὶ ἐβοήθησαν ἐπὶ Μεσσηνίους· ὡς δὲ Λακεδαιμόνιοι λέγουσι, οὐκ οὕτω τιμωρῆσαι δεομένοισι Σαμίοισι ἐστρατεύοντο ὡς τίσασθαι βουλόμενοι τοῦ

σι λόγον: zu II, 162.— ἔδεε: nämlich ἄν, was häufig auch bei χρῆν im hypothetischen Satzgefüge fehlt. So I, 39. III, 80. IV, 118. — παραστήσασθαι: zu I, 23. — λόγος αἱρέει: zu I, 132. — ὑπ' ἑωυτῷ: zu I, 91. — συνειλήσας: zu IV, 67. — αὐτοῖσι νεωσοίκοισιν: zu II, 47.

C. 46. καταστάντες ἐπὶ τούς: solenner Ausdruck für die Einführung der fremden Gesandten vor die Behörde; so noch III, 156. VIII, 79 (vgl. I, 152); daher κατάστασις, — ἔλεγον ... δεόμενοι: ganz so VIII, 59 πολὺς ἦν ὁ Θεμιστοκλέης ἐν τοῖσι λόγοισι, οἷα κάρτα δεόμενος. Ueber οἷα: zu I, 61. — περιεργάσθαι: zu II, 15. Die spartanische Behörde meinte, das ausdrückliche Erwähnen des Sacks mit dem Mehle sei überflüssig gewesen, da das blosse Vorzeigen desselben genügt hätte.

C. 47. οὐκ οὕτω ... ὡς, *non tam ... quam*. So III, 120. VI, 61. 108. und affirmativ οὕτω ... ὡς: *tam ... ut* III, 130. — τιμωρῆσαι: locker verbunden mit ἐστρατεύοντο, um die beabsichtigte Folge auszudrücken, wie I, 176. — τοῦ κρητῆρος:

κρητῆρος τῆς ἁρπαγῆς τὸν ἦγον Κροίσῳ, καὶ τοῦ θώρηκος τὸν αὐτοῖσι Ἄμασις ὁ Αἰγύπτου βασιλεὺς ἔπεμψε δῶρον. καὶ γὰρ θώρηκα ἐληίσαντο τῷ προτέρῳ ἔτεϊ ἢ τὸν κρητῆρα οἱ Σάμιοι, ἐόντα μὲν λίνεον καὶ ζῴων ἐνυφασμένων συχνῶν, κεκοσμημένον δὲ χρυσῷ καὶ εἰρίοισι ἀπὸ ξύλου· τῶν δὲ εἵνεκα θωυμάσαι ἄξιον, ἁρπεδόνη ἑκάστη τοῦ θώρηκος ποιέει· ἐοῦσα γὰρ λεπτὴ ἔχει ἁρπεδόνας ἐν ἑωυτῇ τριηκοσίας καὶ ἑξήκοντα, πάσας φανεράς. τοιοῦτος ἕτερός ἐστι καὶ τὸν ἐν Λίνδῳ ἀνέθηκε τῇ Ἀθηναίῃ Ἄμασις.

48 Συνεπελάβοντο δὲ τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ὥστε γενέσθαι καὶ Κορίνθιοι προθύμως· ὕβρισμα γὰρ καὶ ἐς τούτους εἶχε ἐκ τῶν Σαμίων γενόμενον γενεῇ πρότερον τοῦ στρατεύματος τούτου, κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ κρητῆρος τῇ ἁρπαγῇ γεγονός. Κερκυραίων γὰρ παῖδας τριηκοσίους ἀνδρῶν τῶν πρώτων Περίανδρος ὁ Κυψέλου ἐς Σάρδις ἀπέπεμψε παρ' Ἀλυάττεα ἐπ' ἐκτομῇ· προσσχόντων δὲ ἐς τὴν Σάμον τῶν ἀγόντων τοὺς παῖδας Κορινθίων, πυθόμενοι οἱ Σάμιοι τὸν λόγον ἐπ' οἷσι ἀγοίατο ἐς Σάρδις, πρῶτα μὲν τοὺς παῖδας ἐδίδαξαν ἱροῦ ἅψασθαι

erzählt I, 70. — τοῦ θώρηκος: natürlich auch abhängig von τῆς ἁρπαγῆς. — ζῴων: zu I, 70. — εἰρίοισι ἀπὸ ξύλου: Heeren I, 1 S. 118: "Es wird in den Untersuchungen über die Aegypter gezeigt werden, dass Weberei eine ihrer Hauptbeschäftigungen, und Baumwolle in Aegypten zu Hause war. Auch die Stickereien in Baumwolle und mit Baumwolle waren in Aegypten gewöhnlich, und wurden als Meisterwerke der Kunst betrachtet, wie der mit baumwollenen Fäden (ἁρπεδόναι) gestickte leinene Harnisch zeigt, welchen Amasis dem Polycrates von Samos zum Geschenk machte." — ἄξιον: nämlich ἐστί, *operae pretium est;* so Xen. An. 5, 8, 7. 6, 3, 13 ὅτι οὐκ ἄξιον εἴη διαβαίνειν τοιοῦτον ὄν τὸ νάπος. Hell. 6, 4, 22 διδάσκων ὡς καλοῦ ἔργου γεγενημένου οὐκ ἄξιον αὐτοῖς εἴη διακινδυνεῦσαι. — τοιοῦτος ἕτερος: zu I, 120. — τὸν ἐν Λίνδῳ: schon erwähnt II, 182.

C. 48. εἶχε — γενόμενον: Umschreibung für ἐγένετο. Wie hier ἔχειν mit ἐς *pertinere ad,* so noch II, 53. III, 82. 126. VII, 143. — τῇ ἁρπαγῇ: der Dativ ist motivirt durch τὸν αὐτόν. — γεγονός: pleonast. Wiederholung von γενόμενον, wie II, 13. — ἐπ' ἐκτομῇ: zu I, 41. Heeren I, 1 S. 154: "Es war hier (in Sardes) besonders ein Hauptmarkt des Sklavenhandels, von wo aus die Harems der persischen Grossen mit Verschnittenen versehen wurden; denn das Geschäft des Verstümmelns scheint hier gleichsam fabrikmässig betrieben worden zu sein." Vgl. VIII, 105. — ἐπ' οἷσι:

Ἀρτέμιδος, μετὰ δὲ οὐ περιορέωντες ἀπέλκειν τοὺς ἱκέτας ἐκ τοῦ ἱροῦ, σιτίων δὲ τοὺς παῖδας ἐργόντων Κορινθίων, ἐποιήσαντο οἱ Σάμιοι ὁρτήν, τῇ καὶ νῦν ἔτι χρέωνται κατὰ ταὐτά· νυκτὸς γὰρ ἐπιγενομένης, ὅσον χρόνον ἱκέτευον οἱ παῖδες, ἵστασαν χοροὺς παρθένων τε καὶ ἠιθέων, ἱστάντες δὲ τοὺς χοροὺς τρωκτὰ σησάμου τε καὶ μέλιτος ἐποιήσαντο νόμον φέρεσθαι, ἵνα ἁρπάζοντες οἱ τῶν Κερκυραίων παῖδες ἔχοιεν τροφήν. ἐς τοῦτο δὲ τόδε ἐγίνετο, ἐς ὃ οἱ Κορίνθιοι τῶν παίδων οἱ φύλακοι οἴχοντο ἀπολιπόντες· τοὺς δὲ παῖδας ἀπήγαγον ἐς Κέρκυραν οἱ Σάμιοι. εἰ μέν νυν 49
Περιάνδρου τελευτήσαντος τοῖσι Κορινθίοισι φίλα ἦν πρὸς τοὺς Κερκυραίους, οἱ δὲ οὐκ ἂν συνελάβοντο τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ταύτης εἵνεκεν τῆς αἰτίης. νῦν δὲ αἰεὶ ἐπείτε ἔκτισαν τὴν νῆσον, εἰσὶ ἀλλήλοισι διάφοροι ἐόντες ἑωυτοῖσι. τούτων ὦν εἵνεκεν ἀπεμνησικάκεον τοῖσι Σαμίοισι οἱ Κορίνθιοι. ἀπέπεμπε δὲ ἐς Σάρδις ἐπ᾽ ἐκτομῇ Περίανδρος τῶν πρώτων Κερκυραίων ἐπιλέξας τοὺς παῖδας τιμωρεύμενος· πρότεροι γὰρ οἱ Κερκυραῖοι ἦρξαν ἐς αὐτὸν πρῆγμα ἀτάσθαλον ποιήσαντες· ἐπείτε γὰρ τὴν 50

zu fassen, wie oben ἐπ᾽ ἐκτομῇ. — περιορέωντες: zu I, 24. — τρωκτά: zu II, 37. — ἐς τοῦτο: *tamdiu*: gerade so VII, 181. — τόδε: zu I, 137.

C. 49. τελευτήσαντος: er soll 563 v. Ch. gestorben sein, und die eben erzählte Geschichte zwei Jahre vor seinem Tode sich zugetragen haben. — φίλα ἦν: dass die beiden Staaten in ewiger Fehde standen, ist schon bekannt aus Thuc. I, 13. — οἱ δέ: nämlich die Korinthier. Ueber δέ: zu I, 112. — ἐπείτε ἔκτισαν τὴν νῆσον: seitdem sie eine Colonie auf diese Insel (Kerkyra) geführt haben. Dies scheint um das Jahr 750 v. Ch. geschehen zu sein, unter der Anführung des Chersicrates, welcher δι᾽ ἀτιμίαν seine Vaterstadt verliess. Ueber κτίζειν: zu I, 149. — εἰσὶ ἀλλήλοισι διάφοροι ἐόντες ἑωυτοῖσι: nimmt man, wie Bekker, das von Valckenaer hinter ἑωυτοῖσι conjicirte συγγενέες oder ὁμογενέες nicht auf, so kann der Sinn, indem διάφοροι doppelt gedacht wird (wie II, 32) nur der sein: sie leben miteinander in Zwistigkeiten, während sie auch unter sich uneins sind, d. h. jeder der beiden Staaten hat nicht nur mit dem andern Streit, sondern auch in sich selbst. Eltz S. 326 liest εἰσὶ ἀλλήλοισι διάφοροι, ἐόντες ὦυτοί und übersetzt: *inter se discordant, etsi ex eodem genere sunt;* Kerkyra war ja eine Colonie von Korinth. Er beruft sich auf V, 52 δεύτερός τε καὶ τρίτος ὦυτός, οὐνομαζόμενος, wo auch ὦυτὸς οὐνομαζόμενος brachylogisch steht für τὸ αὐτὸ οὔνομα οὐνομ. — ἐπιλέξας: zu I, 214.

ἑωυτοῦ γυναῖκα Μέλισσαν Περίανδρος ἀπέκτεινε, συμφορὴν
τοιήνδε οἱ ἄλλην συνέβη πρὸς τῇ γεγονυίῃ γενέσθαι. ἔσαν
οἱ ἐκ Μελίσσης δύο παῖδες, ἡλικίην ὁ μὲν ἑπτακαίδεκα ὁ
δὲ ὀκτωκαίδεκα ἔτεα γεγονώς. τούτους ὁ μητροπάτωρ Προ-
κλῆς, ἐὼν Ἐπιδαύρου τύραννος, μεταπεμψάμενος παρ᾽
ἑωυτὸν ἐφιλοφρονέετο, ὡς οἰκὸς ἦν θυγατρὸς ἐόντας τῆς
ἑωυτοῦ παῖδας. ἐπείτε δέ σφεας ἀπεπέμπετο, εἶπε προ-
πέμπων αὐτούς "ἆρα ἴστε, ὦ παῖδες, ὃς ὑμέων τὴν μητέρα
ἀπέκτεινε;" τοῦτο τὸ ἔπος ὁ μὲν πρεσβύτερος αὐτῶν ἐν
οὐδενὶ λόγῳ ἐποιήσατο· ὁ δὲ νεώτερος, τῷ οὔνομα ἦν Λυ-
κόφρων, ἤλγησε ἀκούσας οὕτω ὥστε ἀπικόμενος ἐς τὴν Κό-
ρινθον ἅτε φονέα τῆς μητρὸς τὸν πατέρα οὔτε προσεῖπε,
διαλεγομένῳ τε οὐ προσδιελέγετο, ἱστορέοντί τε λόγον οὐ-
51 δένα ἐδίδου. τέλος δέ μιν περίθυμος ἐχόμενος ὁ Περίαν-
δρος ἐξελαύνει ἐκ τῶν οἰκίων. ἐξελάσας δὲ τοῦτον, ἱστόρεε
τὸν πρεσβύτερον τά σφι ὁ μητροπάτωρ διελέχθη. ὁ δέ οἱ
ἀπηγέετο ὥς σφεας φιλοφρόνως ἐδέξατο· ἐκείνου δὲ τοῦ
ἔπεος τό σφι ὁ Προκλῆς ἀποστέλλων εἶπε, ἅτε οὐ νόῳ λα-
βών, οὐκ ἐμέμνητο. Περίανδρος δὲ οὐδεμίαν μηχανὴν ἔφη
εἶναι μὴ οὔ σφι ἐκεῖνον ὑποθέσθαι τι, ἐλιπάρεέ τε ἱστο-
ρέων· ὁ δὲ ἀναμνησθεὶς εἶπε καὶ τοῦτο. Περίανδρος δὲ
νόῳ λαβὼν καὶ τοῦτο, καὶ μαλακὸν ἐνδιδόναι βουλόμενος
οὐδέν, τῇ ὁ ἐξελαθεὶς ὑπ᾽ αὐτοῦ παῖς δίαιταν ἐποιέετο, ἐς

C. 50. ἀπέκτεινε: Diog. Laert. I, 94 ὑπὸ ὀργῆς βαλὼν ὑποβάθρῳ ἢ λακτίσας τὴν γυναῖκα ἔγκυον οὖσαν ἀπέκτεινε πεισθεὶς διαβολαῖς παλλακίδων, ἃς ὕστερον ἔκαυσε. Dass später Periander die tiefste Trauer darüber empfand, erzählt H. V, 92, 7. Uebrigens fällt hierbei ein das ähnliche Verfahren Nero's gegen die *Poppaea* bei Tac. Ann. 16, 6. — συμφορήν: zu I, 32. — περίθυμος: nach Eltz statt περὶ θυμῷ, da wohl θυμῷ ἔχεσθαι *ira teneri*, schwerlich aber περὶ θυμῷ ἔχεσθαι gesagt werden kann. Ebenso unmöglich ist περιθύμως, was einige Editoren aufgenommen haben, da dann nicht das Passiv, sondern ἔχων stehen müsste, wie II, 162 περιθύμως ἔχοντα. So sagt Soph. Phil. 721 Herm. ἀπόπληκτος ἔχει (2. Pers. Sing.) *attonitus, captus teneris*, was Porson in der Vorrede zur Hecuba p. 37 als das einzig mögliche erklärt, da sonst vor Brunck ἀποπλήκτως gelesen wurde.

C. 51. ἀπηγέετο: zu I, 2. — οὐδεμίαν μ. . . μὴ οὐ: zu I, 209. — ἐνδιδόναι: zu I, 91. — ἐς τούτους: nämlich ἐς τὴν οἰκίαν τούτων, construirt als wenn oben stün-

τούτους πέμπων ἄγγελον ἀπηγόρευε μή μιν δέκεσθαι οἰκίοισι. ὁ δὲ ὅκως ἀπελαυνόμενος ἔλθοι ἐς ἄλλην οἰκίην, ἀπηλαύνετ᾽ ἂν καὶ ἀπὸ ταύτης, ἀπειλέοντός τε τοῦ Περιάνδρου τοῖσι δεξαμένοισι καὶ ἐξέργειν κελεύοντος. ἀπελαυνόμενος δ᾽ ἂν ἤιε ἐπ᾽ ἑτέρην τῶν ἑταίρων· οἱ δὲ ἅτε Περιάνδρου ἐόντα παῖδα, καίπερ δειμαίνοντες, ὅμως ἐδέκοντο. τέλος δὲ ὁ Περίανδρος κήρυγμα ἐποιήσατο, ὃς ἂν 52
ἢ οἰκίοισι ὑποδέξηταί μιν ἢ προσδιαλεχθῇ, ἱρὴν ζημίην τοῦτον τῷ Ἀπόλλωνι ὀφείλειν, ὁσηνδὴ εἴπας. πρὸς ὦν δὴ τοῦτο τὸ κήρυγμα οὔτε τίς οἱ διαλέγεσθαι οὔτε οἰκίοισι δέκεσθαι ἤθελε· πρὸς δὲ οὐδὲ αὐτὸς ἐκεῖνος ἐδικαίευ πειρᾶσθαι ἀπειρημένου, ἀλλὰ διακαρτερέων ἐν τῇσι στοιῇσι ἐκαλινδέετο. τετάρτῃ δ᾽ ἡμέρῃ ἰδών μιν ὁ Περίανδρος ἀλουσίῃσί τε καὶ ἀσιτίῃσι συμπεπτωκότα οἴκτειρε· ὑπεὶς δὲ τῆς ὀργῆς ἤιε ἆσσον καὶ ἔλεγε "ὦ παῖ, κότερα τούτων αἱρετώτερά ἐστι, ταῦτα τὰ νῦν ἔχων πρήσσεις, ἢ τὴν τυραννίδα καὶ ἀγαθὰ τὰ νῦν ἐγὼ ἔχω, ταῦτα ἐόντα τῷ πατρὶ ἐπιτήδεον παραλαμβάνειν; ὃς ἐὼν ἐμός τε παῖς καὶ Κορίνθου τῆς εὐδαίμονος βασιλεὺς ἀλήτην βίον εἵλευ, ἀντιστατέων τε καὶ ὀργῇ χρεώμενος ἐς τόν σε ἥκιστα χρῆν. εἰ

de, nicht τῇ (ᾗ), sondern παρ᾽ οἷσι. — ἀπελαύνετ᾽ ἂν und ἂν ἤιε: zu I, 42. — ἀπελαυνόμενος ... τῶν ἑταίρων: *pulsus igitur ex alia ad aliam sodalium domum confugiebat.* Es könnte auch stehen ἐπ᾽ ἑτέρην καὶ αὖτις ἐπ᾽ ἑτέρην. In ἀπελ. ἂν ἤιε liegt wieder dieselbe Iteration wie vorher. Diese Wiederholung war darum möglich, weil Periander kein allgemeines Verbot gegeben hatte, sondern immer nur ein specielles, wenn die Aufnahme schon stattgefunden hatte; erst durch das allgemeine Verbot Cap. 52 erreicht die Wiederholung ihr Ende.

C. 52. ὑποδέξηται: zu I, 41. — ὁσηνδή: zu I, 157. — πρός: zu I, 38. — ἀπειρημένου: zu I, 152. — συμπεπτωκότα: hier nicht wie I, 82, sondern hineingerathen, *incidere;* gewöhnlicher ist in diesem Sinne περιπίπτειν; vgl. 1, 108. — τῆς ὀργῆς: zu I, 156. — ταῦτα τὰ νῦν ἔχων πρήσσεις: *hic status quo nunc es;* also πρήσσεις wie in der Redeweise εὖ oder κακῶς πράττειν. — ἐόντα τῷ πατρὶ ἐπιτήδεον: *si tu patris animo te accommodes;* ἐόντα ist auf σέ, das zu ergänzende Subject zu παραλαμβάνειν zu beziehen. — εὐδαίμονος: wie οἱ εὐδαίμονες I, 133. ἀφνειός wird Korinth genannt von Hom. Il. 2, 570 (vgl. Thuc. I, 13, 4) und ὀλβία von Pindar Olymp. 13, 4. — ἐς τόν σε ἥκ. ἐχρῆν: nämlich χρᾶσθαι. —

γάρ τις συμφορὴ ἐν αὐτοῖσι ἐγεγόνεε, ἐξ ἧς ὑποψίην ἐς ἐμὲ ἔχεις, ἐμοί τε αὕτη γέγονε, καὶ ἐγὼ αὐτῆς τὸ πλεῦν μέτοχός εἰμι, ὅσῳ αὐτός σφεα ἐξεργασάμην. σὺ δὲ μαθὼν ὅσῳ φθονέεσθαι κρέσσον ἐστὶ ἢ οἰκτείρεσθαι, ἅμα τε ὁκοῖόν τι ἐς τοὺς τοκέας καὶ ἐς τοὺς κρέσσονας τεθυμῶσθαι, ἄπιθι ἐς τὰ οἰκία." Περίανδρος μὲν τούτοισι αὐτὸν κατελάμβανε· ὁ δὲ ἄλλο μὲν οὐδὲν ἀμείβεται τὸν πατέρα, ἔφη δέ μιν ἱρὴν ζημίην ὀφείλειν τῷ θεῷ ἑωυτῷ ἐς λόγους ἀπικόμενον. μαθὼν δὲ ὁ Περίανδρος ὡς ἄπορόν τι τὸ κακὸν εἴη τοῦ παιδὸς καὶ ἀνίκητον, ἐξ ὀφθαλμῶν μιν ἀποπέμπεται στείλας πλοῖον ἐς Κέρκυραν· ἐπεκράτεε γὰρ καὶ ταύτης. ἀποστείλας δὲ τοῦτον ὁ Περίανδρος ἐστρατεύετο ἐπὶ τὸν πενθερὸν Προκλέα ὡς τῶν παρεόντων οἱ πρηγμάτων ἐόντα αἰτιώτατον, καὶ εἷλε μὲν τὴν Ἐπίδαυρον, εἷλε δὲ αὐτὸν Προκλέα καὶ ἐζώγρησε.
53 ἐπεὶ δὲ τοῦ χρόνου προβαίνοντος ὅ τε Περίανδρος παρηβήκεε καὶ συνεγινώσκετο ἑωυτῷ οὐκέτι εἶναι δυνατὸς τὰ πρήγματα ἐπορᾶν τε καὶ διέπειν, πέμψας ἐς τὴν Κέρκυραν ἀπεκάλεε τὸν Λυκόφρονα ἐπὶ τὴν τυραννίδα· ἐν γὰρ δὴ τῷ πρεσβυτέρῳ τῶν παίδων οὐκ ἐνώρα, ἀλλά οἱ κατεφαίνετο εἶναι νωθέστερος. ὁ δὲ Λυκόφρων οὐδὲ ἀποκρίσιος ἠξίωσε τὸν φέροντα τὴν ἀγγελίην. Περίανδρος δὲ περιεχόμενος τοῦ νεηνίεω δεύτερα

ἐν αὐτοῖσι: nämlich *πρήγμασι*. — **ὅσῳ αὐτός σφεα ἐξεργασάμην**: *quo magis ipse ea perfeci.* ὅσῳ ist durch den vorangehenden Comparativ *πλεῦν* motivirt; *σφεα*, was auf *ἐν αὐτοῖσι* zu beziehen ist, habe ich statt *σφε* geschrieben, welches an dieser einzigen Stelle vorkommt und schon deswegen verdächtig ist; denn an den beiden Stellen, wo es sonst gelesen wurde, VII, 170 und III, 53, ist an der ersten *σφέας* an der zweiten *σφεα* von Bekker aufgenommen worden. — **ὅσῳ φθ. . . . οἰκτείρεσθαι**: Pind. Pyth. I, 85 (164) *Κρέσσων οἰκτιρμοῦ φθόνος.* — **ὁκοῖόν τι**: nämlich *ἐστί*. — **κατελάμβανε**: Imperfect des Conats, wie I, 68. Sonst zu I, 46. — **ἐζώγρησε**: nicht wie gewöhnlich *vivum capere*, sondern *vivum in custodia tenere*.

C. 53. **συνεγινώσκετο**: zu I, 45. — **ἐπὶ τὴν τυραννίδα**: *ad suscipiendam t.*; zu III, 14. — **οὐκ ἐνεώρα**: nämlich *οἵῳ τε* (oder *δυνατῷ*) *ἐόντι τὰ πρήγματα ἐπορᾶν τε καὶ διέπειν.* So VIII, 140, 2 *ἐνορέω γὰρ ὑμῖν οὐκ οἵοισί τε ἐσομένοισι τὸν πάντα χρόνον πολεμέειν Ξέρξῃ.* — **νωθέστερος**: zu stumpf; *νωθής* ist das Beiwort des Esels Hom. Il. 11, 559. Der Comparativ ist zu fassen wie *ὑπομαργότερος* III, 29. — **περιεχόμενος**: zu I, 147. —

ἀπέστειλε ἐπ' αὐτὸν τὴν ἀδελφεήν, ἑωυτοῦ δὲ θυγατέρα, δοκέων μιν μάλιστα ταύτῃ ἂν πείθεσθαι. ἀπικομένης δὲ ταύτης καὶ λεγούσης "ὦ παῖ, βούλεαι τήν τε τυραννίδα ἐς ἄλλους πεσέειν καὶ τὸν οἶκον τοῦ πατρὸς διαφορηθέντα μᾶλλον ἢ αὐτός σφεα ἀπελθὼν ἔχειν; ἄπιθι ἐς τὰ οἰκία, παῦσαι σεωυτὸν ζημιῶν. φιλοτιμίη κτῆμα σκαιόν· μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ. πολλοὶ τῶν δικαίων τὰ ἐπιεικέστερα προτιθέασι, πολλοὶ δὲ ἤδη τὰ μητρώια διζήμενοι τὰ πατρώια ἀπέβαλον. τυραννὶς χρῆμα σφαλερόν, πολλοὶ δὲ αὐτῆς ἐρασταί εἰσι, ὁ δὲ γέρων τε ἤδη καὶ παρηβηκώς· μὴ δῷς τὰ σεωυτοῦ ἀγαθὰ ἄλλοισι." ἡ μὲν δὴ τὰ ἐπαγωγότατα διδαχθεῖσα ὑπὸ τοῦ πατρὸς ἔλεγε πρὸς αὐτόν· ὁ δὲ ὑποκρινάμενος ἔφη οὐδαμὰ ἥξειν ἐς Κόρινθον, ἔστ' ἂν πυνθάνηται περιεόντα τὸν πατέρα. ἀπαγγειλάσης δὲ ταύτης ταῦτα, τὸ τρίτον Περίανδρος κήρυκα πέμπει βουλόμενος αὐτὸς μὲν ἐς Κέρκυραν ἥκειν, ἐκεῖνον δὲ ἐκέλευε ἐς Κόρινθον ἀπικόμενον διάδοχον γενέσθαι τῆς τυραννίδος. καταινέσαντος δ' ἐπὶ τούτοισι τοῦ παιδός, ὁ μὲν Περίανδρος ἐστέλλετο ἐς τὴν Κέρκυραν, ὁ δὲ παῖς οἱ ἐς τὴν Κόρινθον· μαθόντες δὲ οἱ Κερκυραῖοι τούτων ἕκαστα, ἵνα μή σφι Περίανδρος ἐς τὴν χώρην ἀπίκηται, κτείνουσι τὸν νεηνίσκον. ἀντὶ τούτων μὲν Περίανδρος Κερκυραίους ἐτιμωρέετο.

Λακεδαιμόνιοι δὲ στόλῳ μεγάλῳ ὡς ἀπίκοντο, 54
ἐπολιόρκεον Σάμον· προσβαλόντες δὲ πρὸς τὸ τεῖχος

ἀπικομένης δὲ ταύτης: hierauf musste nach der Rede der Jungfrau regelmässig folgen: *ἐκεῖνος ὑποκρινάμενος ἔφη*. Statt dessen anacoluthisch: *ἡ μὲν δὴ ... ὁ δὲ ...*; vgl. I, 114. — *διαφορηθέντα*: zu 1, 88. Zu bemerken ist der Uebergang vom Infinitiv *πεσέειν* zum Participium *διαφορηθέντα*. — *σφεα*: auf *τυραννίδα* und *οἶκον* zu beziehen. — *φιλοτιμίη*: Halsstarrigkeit. — *μὴ τῷ κακῷ τ. κ. ἰῶ*: die Redensart ist sprüchwörtlich. Soph. bei Stob. 4, 37 *ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά*. — *τὰ ἐπιεικέστερα*: das Billigere, dem Strenggerechten (*τὰ δίκαια*) entgegengesetzt: vgl. II, 22. — *ὁ δέ*: jener, der Vater, nämlich *ἐστί* aus *εἰσί* zu entnehmen. — *τὰ ἐπαγωγότατα*: *verba ad persuadendum aptissima*. — *ἔστ' ἄν*: zu III, 31. — *ἐστέλλετο*: zu I, 68.

C. 54. *Λακεδαιμόνιοι*: Wiederaufnahme der schon zweimal unterbrochenen Erzählung des lacedämonischen Feldzuges gegen Samos;

τοῦ μὲν πρὸς θαλάσσῃ ἑστεῶτος πύργου κατὰ τὸ προάστειον
τῆς πόλιος ἐπέβησαν, μετὰ δὲ αὐτοῦ βοηθήσαντος Πολυκρά-
τεος χειρὶ πολλῇ ἀπηλάθησαν. κατὰ δὲ τὸν ἐπάνω πύργον
τὸν ἐπὶ τῆς ῥάχιος τοῦ οὔρεος ἐπεόντα ἐπεξῆλθον οἵ τε ἐπί-
κουροι καὶ αὐτῶν Σαμίων συχνοί, δεξάμενοι δὲ τοὺς Λακε-
δαιμονίους ἐπ' ὀλίγον χρόνον ἔφευγον ὀπίσω· οἱ δὲ ἐπισπό-
55 μενοι ἔκτεινον. εἰ μέν νυν οἱ παρεόντες Λακεδαιμονίων
ὅμοιοι ἐγένοντο ταύτην τὴν ἡμέρην Ἀρχίῃ τε καὶ Λυκώπῃ,
αἱρέθη ἂν Σάμος· Ἀρχίης γὰρ καὶ Λυκώπης μοῦνοι συν-
εσπεσόντες φεύγουσι ἐς τὸ τεῖχος τοῖσι Σαμίοισι, καὶ ἀπο-
κλῃσθέντες τῆς ὀπίσω ὁδοῦ, ἀπέθανον ἐν τῇ πόλι τῇ Σα-
μίων: τρίτῳ δὲ ἀπ' Ἀρχίεω τούτου γεγονότι ἄλλῳ Ἀρχίῃ
τῷ Σαμίου τοῦ Ἀρχίεω αὐτὸς ἐν Πιτάνῃ συνεγενόμην (δήμου
γὰρ τούτου ἦν), ὃς ξείνων πάντων μάλιστα ἐτίμα τε Σα-
μίους, καί οἱ τῷ πατρὶ ἔφη Σάμιον τοὔνομα τεθῆναι, ὅτι
οἱ ὁ πατὴρ Ἀρχίης ἐν Σάμῳ ἀριστεύσας ἐτελεύτησε. τιμᾶν
δὲ Σαμίους ἔφη, διότι ταφῆναί οἱ τὸν πάππον δημοσίῃ
56 ὑπὸ Σαμίων. Λακεδαιμόνιοι δέ, ὥς σφι τεσσεράκοντα ἐγε-
γόνεσαν ἡμέραι πολιορκέουσι Σάμον, ἐς τὸ πρόσω τε οὐδὲν
προεκόπτετο τῶν πρηγμάτων, ἀπαλλάσσοντο ἐς Πελο-
πόννησον. ὡς δὲ ὁ ματαιότερος λόγος ὥρμηται, λέγεται
Πολυκράτεα ἐπιχώριον νόμισμα κόψαντα πολλὸν μολύβδου

schliesst sich an Cap. 48 an. — *τοῦ μὲν . . . πύργου:* hängt von *ἐπέβησαν* ab. — *ἐπάνω:* findet seine Erklärung in *ἐπὶ τῆς ῥάχιος τοῦ οὔρεος.* — *ἐπισπόμενοι:* zu I, 32.

C. 55. *φεύγουσι:* Part. Dat. Pl. — *τῷ Σαμίου:* dem Sohne des Samios. — *ἐν Πιτάνῃ:* ein westlich von Sparta gelegner Ort, dessen Bürger auch Sparta's Bürger waren, und der so bedeutend war, dass er nach IX, 53 einen eigenen *λόχος Πιτανήτης* stellte; es scheint eine der *κῶμαι* gewesen zu sein, aus welchen nach Thuc. I, 10 die Stadt Sparta bestand, und die um die eigentliche *πόλις* nach allen Seiten herumlagen, aber von einander durch Zwischenräume getrennt waren, bis man sie später, wohl zur Zeit, da Sparta in makedonischer Periode ummauert wurde, zusammenzog und vereinigte. Vgl. K. O. Müller, Dorier II, S. 50. — *διότι ταφῆναί οἱ τὸν π.:* in obliquer Rede findet sich der Infinitiv nicht blos nach Relativen und Zeitconjunctionen (zu I, 24), nicht blos nach *εἰ* (zu I, 129), sondern auch nach Causalpartikeln; auch diese letzte Structur ist den Attikern fremd. — *δημοσίῃ:* zu I, 14.

C. 56. *ὥς σφι . . . πολιορκέουσι:* zu II, 145. — *προεκόπτετο:* zu I, 190. — *ὡς . . . λόγος ὥρμηται:*

καταχρυσώσαντά δοῦναί σφι, τοὺς δὲ δεξαμένους οὕτω δὴ ἀπαλλάσσεσθαι. ταύτην πρώτην στρατηίην ἐς τὴν Ἀσίην Λακεδαιμόνιοι Δωριέες ἐποιήσαντο.

57 Οἱ δ' ἐπὶ τὸν Πολυκράτεα στρατευσάμενοι Σαμίων, ἐπεὶ οἱ Λακεδαιμόνιοι αὐτοὺς ἀπολείπειν ἔμελλον, καὶ αὐτοὶ ἀπέπλεον ἐς Σίφνον. χρημάτων γὰρ ἐδέοντο, τὰ δὲ τῶν Σιφνίων πρήγματα ἤκμαζε τοῦτον τὸν χρόνον, καὶ νησιωτέων μάλιστα ἐπλούτεον ἅτε ἐόντων αὐτοῖσι ἐν τῇ νήσῳ χρυσέων καὶ ἀργυρέων μετάλλων, οὕτω ὥστε ἀπὸ τῆς δεκάτης τῶν γινομένων αὐτόθεν χρημάτων θησαυρὸς ἐν Δελφοῖσι ἀνακέεται ὁμοῖος τοῖσι πλουσιωτάτοισι· αὐτοὶ δὲ τὰ γινόμενα τῷ ἐνιαυτῷ ἑκάστῳ χρήματα διενέμοντο. ὅτε ὦν ἐποιεῦντο τὸν θησαυρόν, ἐχρέωντο τῷ χρηστηρίῳ εἰ αὐτοῖσι τὰ παρεόντα ἀγαθὰ οἷά τέ ἐστι πολλὸν χρόνον παραμένειν· ἡ δὲ Πυθίη ἔχρησέ σφι τάδε.

ἀλλ' ὅταν ἐν Σίφνῳ πρυτανήια λευκὰ γένηται
λεύκοφρύς τ' ἀγορή, τότε δὴ δεῖ φράδμονος ἀνδρός
φράσσασθαι ξύλινόν τε λόχον κήρυκά τ' ἐρυθρόν.

τοῖσι δὲ Σιφνίοισι ἦν τότε ἡ ἀγορὴ καὶ τὸ πρυτανήιον Παρίῳ λίθῳ ἠσκημένα. τοῦτον τὸν χρησμὸν οὐκ οἷοί τε ἔσαν 58 γνῶναι, οὔτε τότε ἰθὺς οὔτε τῶν Σαμίων ἀπιγμένων. ἐπείτε γὰρ τάχιστα πρὸς τὴν Σίφνον προσέσχον οἱ Σάμιοι, ἔπεμπον τῶν νεῶν μίαν πρέσβεας ἄγουσαν ἐς τὴν πόλιν. τὸ δὲ παλαιὸν ἅπασαι αἱ νέες ἔσαν μιλτηλιφέες· καὶ ἦν τοῦτο τὸ ἡ Πυθίη προηγόρευε τοῖσι Σιφνίοισι, φυλάξασθαι τὸν ξύλινον λόχον κελεύουσα καὶ κήρυκα ἐρυθρόν. ἀπικόμενοι

so VII, 189. *ὡς φάτις ὥρμηται.* — *πρώτην στρατηΐην:* sie hatten sich zwar schon nach I, 152 in die asiatischen Angelegenheiten eingemischt, aber ein förmlicher Feldzug war noch nicht von ihnen unternommen worden.

C. 57. *ἐς Σίφνον:* eine der cycladischen Inseln. — *διενέμοντο:* s i e t h e i l t e n u n t e r s i c h. — *φράσσασθαι:* wird im folg. C. erklärt durch *φυλάξασθαι.* Vgl. III, 154. — *τότε:* nämlich zu der Zeit, wo die Samier ankamen. — *ἠσκημένα:* zu II, 130.

C. 58. *μιλτηλιφέες* = *μιλτοπάρῃοι* Hom. Il. 2, 637. Od. 9, 125 oder *φοινικοπάρῃοι* Od. 11, 124. 23, 271. — *ξύλινον λόχον:* hieran mag sich Themistocles erinnert haben, als er das *ξύλινον τεῖχος* des Orakels seinen Mitbürgern erklärte.

δ᾽ ὧν οἱ ἄγγελοι ἐδέοντο τῶν Σιφνίων δέκα τάλαντά σφι
χρῆσαι· οὐ φασκόντων δὲ χρήσειν τῶν Σιφνίων αὐτοῖσι, οἱ
Σάμιοι τοὺς χώρους αὐτῶν ἐπόρθεον. πυθόμενοι δ᾽ ἰθὺς
ἧκον οἱ Σίφνιοι βοηθέοντες, καὶ συμβαλόντες αὐτοῖσι ἑσ-
σώθησαν, καὶ αὐτῶν πολλοὶ ἀπεκληίσθησαν τοῦ ἄστεος
ὑπὸ τῶν Σαμίων· καὶ αὐτοὺς μετὰ ταῦτα ἑκατὸν τάλαντα
59 ἔπρηξαν. παρὰ δὲ Ἑρμιονέων νῆσον ἀντὶ χρημάτων παρέ-
λαβον, Ὑδρέην τὴν ἐπὶ Πελοποννήσῳ, καὶ αὐτὴν Τροιζη-
νίοισι παρακατέθεντο· αὐτοὶ δὲ Κυδωνίην τὴν ἐν Κρήτῃ
ἔκτισαν, οὐκ ἐπὶ τοῦτο πλέοντες, ἀλλὰ Ζακυνθίους ἐξε-
λῶντες ἐκ τῆς νήσου. ἔμειναν δ᾽ ἐν ταύτῃ καὶ εὐδαιμόνησαν
ἐπ᾽ ἔτεα πέντε, ὥστε τὰ ἱρὰ τὰ ἐν Κυδωνίῃ ἐόντα νῦν οὗτοί
εἰσι οἱ ποιήσαντες, καὶ τὸν τῆς Δικτύνης νηόν. ἕκτῳ δὲ
ἔτεϊ Αἰγινῆται αὐτοὺς ναυμαχίῃ νικήσαντες ἠνδραποδί-
σαντο μετὰ Κρητῶν, καὶ τῶν νεῶν καπρίους ἐχουσέων τὰς
πρῴρας ἠκρωτηρίασαν καὶ ἀνέθεσαν ἐς τὸ ἱρὸν τῆς Ἀθη-
ναίης ἐν Αἰγίνῃ. ταῦτα δὲ ἐποίησαν ἔγκοτον ἔχοντες Σα-
μίοισι Αἰγινῆται· πρότεροι γὰρ Σάμιοι ἐπ᾽ Ἀμφικράτεος
βασιλεύοντος ἐν Σάμῳ στρατευσάμενοι ἐπ᾽ Αἴγιναν με-
γάλα κακὰ ἐποίησαν Αἰγινήτας καὶ ἔπαθον ὑπ᾽ ἐκείνων.
60 ἡ μὲν αἰτίη αὕτη, ἐμήκυνα δὲ περὶ Σαμίων μᾶλλον, ὅτι
σφι τρία ἐστὶ μέγιστα ἁπάντων Ἑλλήνων ἐξεργασμένα, οὔ-
ρεός τε ὑψηλοῦ ἐς πεντήκοντα καὶ ἑκατὸν ὀργυιάς, τούτου

— *χρῆσαι* und *χρήσειν*: von *κιχράναι* leihen; noch VI, 89. — *ἔπρηξαν*: nämlich *οἱ Σάμιοι*; über die Bedeutung, zu III, 1.

C. 59. *ἀντὶ χρημάτων παρέλαβον*: sie kauften. — *Ὑδρέην*: in der Bucht von Hermione bei Argolis. — *Κυδωνίην*: grosse Stadt auf der nordwestlichen Küste von Kreta, in der Nähe des jetzigen Kanea. — *ἔκτισαν*: nicht so zu verstehen, als wenn die Samier sie gegründet hätten, denn sie führte ihren Ursprung auf die Zeiten des Minos zurück, sondern von der Vergrösserung und Verschönerung der Stadt; also wie I, 167. — *ἐπὶ τοῦτο*: zu III, 14. — *καὶ τόν*: namentlich; zu I, 52. — *Δικτύνης*: sonst mit zwei *ν* geschrieben, Beiname der Artemis vom Berge Dicte, soll dieselbe sein als die Britomartis, die Mondgöttin der Kreter. — *τῶν νεῶν*: gen. part. diejenigen von den Schiffen.

C. 60. *ἐμήκυνα*: II, 35 steht noch dabei das Object *τὸν λόγον*. — *τούτου*: nämlich *τοῦ οὔρεος*, pleonastisch, wie II, 13. — *κάτω-*

ὄρυγμα κάτωθεν ἀρξάμενον, ἀμφίστομον. τὸ μὲν μῆκος τοῦ ὀρύγματος ἑπτὰ στάδιοί εἰσι, τὸ δὲ ὕψος καὶ εὖρος ὀκτὼ ἑκάτερον πόδες. διὰ παντὸς δὲ αὐτοῦ ἄλλο ὄρυγμα εἰκοσίπηχυ βάθος ὀρώρυκται, τρίπουν δὲ τὸ εὖρος, δι' οὗ τὸ ὕδωρ ὀχετευόμενον διὰ σωλήνων παραγίνεται ἐς τὴν πόλιν ἀγόμενον ἀπὸ μεγάλης πηγῆς. ἀρχιτέκτων δὲ τοῦ ὀρύγματος τούτου ἐγένετο Μεγαρεὺς Εὐπαλῖνος Ναυστρόφου. τοῦτο μὲν δὴ ἓν τῶν τριῶν ἐστί, δεύτερον δὲ περὶ λιμένα χῶμα ἐν θαλάσσῃ, βάθος κατὰ εἴκοσι ὀργυιέων· μῆκος δὲ τοῦ χώματος μέζον δύο σταδίων. τρίτον δέ σφι ἐξέργασται νηὸς μέγιστος πάντων νηῶν τῶν ἡμεῖς ἴδμεν· τοῦ ἀρχι-

θεν ἀρξάμενον: am Fusse des Berges anfangend, und allmälig bis zu der auf der andern Seite des Berges befindlichen Quelle aufsteigend. — *ἀμφίστομον:* also ein Tunnel, so dass die eine Mündung auf dieser, die andere auf jener Seite des Berges war. Der Zweck des ganzen Werkes war offenbar, das Wasser der auf dem der Stadt entgegengesetzten Abhange des Berges entspringenden Quelle mitten durch den Berg hindurch und sodann nach der Stadt hinüberzuleiten. — *διὰ παντὸς δὲ αὐτοῦ:* mitten durch den ganzen Tunnel hindurch. Vermuthlich war der erste Graben oder der Tunnel, der acht Fuss an Breite und Höhe hatte, lediglich dazu da, damit die in dem zur Wasserleitung dienenden zweiten Graben nöthig gewordenen Reparaturen vorgenommen werden konnten. Wurden diese nöthig, so stieg man vom Tunnel in den drei Fuss breiten, zur gewöhnlichen Zeit vielleicht mit Bohlen zugedeckten zweiten Graben vermittelst Leitern hinunter. Warum derselbe zwanzig Ellen tief gewesen, ist wegen der Dürftigkeit der Angaben mit Sicherheit nicht zu ermitteln, und darüber können verschiedene mehr oder minder wahrscheinliche Hypothesen aufgestellt werden. — *πηγῆς:* der Name der Quelle war Gigartho oder Leucothea. — *χῶμα:* eine Mole. — *κατὰ εἴκοσι ὀργυιέων:* da *κατά* vor Zahlen, ungefähr, stets den Accusativ regiert (so II, 145 *κατὰ ἑξακόσια ἔτεα καὶ χίλια.* VI, 117 *ἀπέθανον τῶν βαρβάρων κατὰ ἑξακισχιλίους καὶ τετρακοσίους ἄνδρας.* VII, 173 *ἐνθαῦτα ἐστρατοπεδεύοντο τῶν Ἑλλήνων κατὰ μυρίους ὁπλῖται συλλεγέντες*), so vermuthet Eltz vielleicht nicht mit Unrecht, dass *καί* statt *κατά* gelesen werden müsse, und führt an II, 175 *πλόον καὶ εἴκοσι ἡμερέων.* IV, 81 *μεγάθεϊ καὶ ἑξαπλήσιον.* VII, 41 *διελέλειπτο καὶ δύο σταδίους.* VIII, 24 *ἔσαν δὲ καὶ δύο μυριάδες.* — *νηὸς μέγιστος:* das Heräon, welches bei Gelegenheit des ägyptischen Labyrinths schon II, 148 zugleich mit dem Tempel der ephesischen Artemis erwähnt worden ist; nach K. O. Müller p. 57 hatte es eine Länge von 372 Fuss, auf eine Breite von 189. — *πρῶτος:* so zu verstehen, dass Rhöcus den Plan gemacht, und den Bau begonnen, nach ihm aber Andere, oder wenigstens ein Anderer ihn fortge-

τέκτων πρῶτος ἐγένετο Ῥοῖκος Φίλεω ἐπιχώριος. τούτων εἵνεκεν μᾶλλόν τι περὶ Σαμίων ἐμήκυνα.

61 Καμβύσῃ δὲ τῷ Κύρου χρονίζοντι περὶ Αἴγυπτον καὶ παραφρονήσαντι ἐπανιστέαται ἄνδρες Μάγοι δύο ἀδελφεοί, τῶν τὸν ἕτερον καταλελοίπεε τῶν οἰκίων μελεδωνὸν ὁ Καμβύσης· οὗτος δὴ ὦν οἱ ἐπανέστη μαθών τε τὸν Σμέρδιος θάνατον ὡς κρύπτοιτο γενόμενος, καὶ ὡς ὀλίγοι ἔσαν οἱ ἐπιστάμενοι αὐτὸν Περσέων, οἱ δὲ πολλοὶ περιεόντα μιν εἰδείησαν. πρὸς ταῦτα βουλεύσας τάδε ἐπεχείρησε τοῖσι βασιληίοισι. ἦν οἱ ἀδελφεός, τὸν εἶπά οἱ συνεπαναστῆναι, οἰκὼς μάλιστα τὸ εἶδος Σμέρδι τῷ Κύρου, τὸν ὁ Καμβύσης ἐόντα ἑωυτοῦ ἀδελφεὸν ἀπέκτεινε. ἦν τε δὴ ὁμοῖος εἶδος τῷ Σμέρδι, καὶ δὴ καὶ οὔνομα τὠυτὸ εἶχε Σμέρδιν. τοῦτον τὸν ἄνδρα ἀναγνώσας ὁ Μάγος Πατιζείθης ὡς οἱ αὐτὸς πάντα διαπρήξει, εἷσε ἄγων ἐς τὸν βασιλήιον θρόνον. ποιήσας δὲ τοῦτο κήρυκας τῇ τε ἄλλῃ διέπεμπε καὶ δὴ καὶ ἐς Αἴγυπτον προερέοντα τῷ στρατῷ ὡς Σμέρδιος τοῦ Κύρου ἀκουστέα εἴη τοῦ λοιποῦ ἀλλ' οὐ Καμ-
62 βύσεω. οἵ τε δὴ ὦν ἄλλοι κήρυκες προηγόρευον ταῦτα, καὶ δὴ καὶ ὁ ἐπ' Αἴγυπτον ταχθείς, εὕρισκε γὰρ Καμβύσεα καὶ τὸν στρατὸν ἐόντα τῆς Συρίης ἐν Ἀγβατάνοισι, προη-

setzt und vollendet. — Ῥοῖκος: zu III, 41; er lebte um Olymp. 35, und war am Lemnischen Labyrinth thätig; Erfinder des Erzgusses. — ἐπιχώριος: also ein geborener Samier.

C. 61. μελεδωνόν: zu II, 65; dafür steht III, 63 u. 65 ἐπίτροπος. "Man betrachtet diese Empörung gewöhnlich als einen Versuch der Magier sich der höchsten Gewalt zu bemächtigen, weil der Usurpator zu dieser Priesterkaste gehörte. Allein sie hatte nach dem ausdrücklichen Zeugniss der glaubwürdigsten Schriftsteller einen höheren Zweck, nämlich die Wiederherstellung der medischen Herrschaft. Vgl. Herod. III, 65 u. 73." Heeren I, 1 S. 412. — πρὸς ταῦτα β. . . τοῖσι βασιλ.: darauf gründete er folgenden Anschlag und trachtete nach der Königswürde. — ἀναγνώσας: zu I, 68. — εἷσεν: zu I, 66. Vgl. Hom. Od. 1, 130 αὐτὴν δ' ἐς θρόνον εἷσεν ἄγων. — προερέοντα: als ob voranstünde: καὶ δὴ καὶ ἐς Αἴγ. ἔπεμπε κήρυκα.

C. 62. ἐν Ἀγβατάνοισι: Steph. Byz. p. 13, 14 (ed. Meineke) Ἄγβάτανα, πολίχνιον Συρίας, Ἡρόδοτος τρίτῳ. οἱ δὲ νῦν Βατάνειαν αὐτὴν καλοῦσι. Δημήτριος δέ φησιν Ἀγβάτανα διττά, τὰ μὲν τῆς Μηδίας τὰ δὲ τῆς Συρίας. —

γόρευε στὰς ἐς μέσον τὰ ἐντεταλμένα ἐκ τοῦ Μάγου. Καμβύσης δὲ ἀκούσας ταῦτα ἐκ τοῦ κήρυκος, καὶ ἐλπίσας μιν λέγειν ἀληθέα αὐτός τε προδεδόσθαι ἐκ Πρηξάσπεος (πεμφθέντα γὰρ αὐτὸν ὡς ἀποκτενέοντα Σμέρδιν οὐ ποιῆσαι ταῦτα), βλέψας ἐς τὸν Πρηξάσπεα εἶπε "Πρήξασπες, οὕτω μοι διεπρήξαο τό τοι προσέθηκα πρῆγμα;" ὁ δὲ εἶπε "ὦ δέσποτα, οὐκ ἔστι ταῦτα ἀληθέα, ὅκως κοτὲ σοι Σμέρδις ἀδελφεὸς ὁ σὸς ἐπανέστηκε, οὐδὲ ὅκως τι ἐξ ἐκείνου τοῦ ἀνδρὸς νεῖκός τοι ἔσται ἢ μέγα ἢ σμικρόν· ἐγὼ γὰρ αὐτός, ποιήσας τὰ σύ με ἐκέλευες, ἔθαψά μιν χερσὶ τῇσι ἐμεωυτοῦ. εἰ μέν νυν οἱ τεθνεῶτες ἀνεστέασι, προσδέκεό τοι καὶ Ἀστυάγεα τὸν Μῆδον ἐπαναστήσεσθαι· εἰ δ' ἔστι ὥσπερ πρὸ τοῦ, οὐ μή τί τοι ἔκ γε ἐκείνου νεώτερον ἀναβλαστήσει. νῦν ὦν μοι δοκέει μεταδιώξαντας τὸν κήρυκα ἐξετάζειν εἰρωτῶντας παρ' ὅτευ ἥκων προαγορεύει ἡμῖν Σμέρδιος βασιλέος ἀκούειν." ταῦτα εἴπαντος Πρηξάσπεος (ἤρεσε γὰρ 63
Καμβύσῃ) αὐτίκα μεταδιωκτὸς γενόμενος ὁ κῆρυξ ἧκε. ἀπιγμένον δέ μιν εἴρετο ὁ Πρηξάσπης τάδε. "ὤνθρωπε, φῂς γὰρ ἥκειν παρὰ Σμέρδιος τοῦ Κύρου ἄγγελος· νῦν ὦν εἴπας τὴν ἀληθείην ἄπιθι χαίρων, κότερα αὐτός τοι Σμέρδις φαινόμενος ἐς ὄψιν ἐνετέλλετο ταῦτα, ἢ τῶν τις ἐκείνου ὑπηρετέων." ὁ δὲ εἶπε "ἐγὼ Σμέρδιν μὲν τὸν Κύρου, ἐξ ὅτευ βασιλεὺς Καμβύσης ἤλασε ἐς Αἴγυπτον, οὔκω ὄπωπα· ὁ δέ μοι Μάγος τὸν Καμβύσης ἐπίτροπον τῶν οἰκίων ἀπέδεξε, οὗτος ταῦτα ἐνετείλατο, φὰς Σμέρδιν τὸν Κύρου εἶναι τὸν ταῦτα ἐπιθέμενον εἶπαι πρὸς ὑμέας." ὁ μὲν δή σφι ἔλεγε οὐδὲν ἐπικατεψευσμένος, Καμβύσης δὲ εἶπε "Πρήξασπες, σὺ μέν, οἷα ἀνὴρ ἀγαθός, ποιήσας τὸ κελευόμενον αἰτίην ἐκπέφευγας· ἐμοὶ δὲ τίς ἂν εἴη Περσέων ὁ ἐπανεστεὼς ἐπιβατεύων τοῦ Σμέρδιος οὐνόματος;" ὁ δὲ

ἐκ τοῦ Μ. = *ὑπὸ τ. Μ.*; zu Exord. — *ἐλπίσας*: da er meinte. — *ἢ μέγα ἢ σμικρόν*: wie V, 106, nämlich *nihil prorsus*. — *οὐ μή τι*: zu I, 199. — *μεταδιώξαντας*: auf ein zu ergänzendes *ἡμέας*, Subject zu *ἐξετάζειν* zu beziehen.

C. 63. *ἐπιθέμενον*: zu I, 111. — *ἐπιβατεύων*: fussend, sich stützend; so noch III, 67. VI,

εἶπε "ἐγώ μοι δοκέω συνιέναι τὸ γεγονὸς τοῦτο, ὦ βασιλεῦ· οἱ Μάγοι εἰσί τοι οἱ ἐπανεστεῶτες, τόν τε ἔλιπες μελεδωνὸν τῶν οἰκίων, Πατιζείθης, καὶ ὁ τούτου ἀδελφεὸς Σμέρ-
64 δις." ἐνθαῦτα ἀκούσαντα Καμβύσεα τὸ Σμέρδιος οὔνομα ἔτυψε ἡ ἀληθείη τῶν τε λόγων καὶ τοῦ ἐνυπνίου· ὃς ἐδόκεε ἐν τῷ ὕπνῳ ἀπαγγεῖλαί τινά οἱ ὡς Σμέρδις ἱζόμενος ἐς τὸν βασιλήιον θρόνον ψαύσειε τῇ κεφαλῇ τοῦ οὐρανοῦ. μαθὼν δὲ ὡς μάτην ἀπολωλεκὼς εἴη τὸν ἀδελφεόν, ἀπέκλαιε Σμέρδιν. ἀποκλαύσας δὲ καὶ περιημεκτήσας τῇ ἁπάσῃ συμφορῇ ἀναθρώσκει ἐπὶ τὸν ἵππον, ἐν νόῳ ἔχων τὴν ταχίστην ἐς Σοῦσα στρατεύεσθαι ἐπὶ τὸν Μάγον. καί οἱ ἀναθρώσκοντι ἐπὶ τὸν ἵππον τοῦ κουλεοῦ τοῦ ξίφεος ὁ μύκης ἀποπίπτει, γυμνωθὲν δὲ τὸ ξίφος παίει τὸν μηρόν. τρωματισθεὶς δὲ κατὰ τοῦτο τῇ αὐτὸς πρότερον τὸν τῶν Αἰγυπτίων θεὸν Ἆπιν ἔπληξε, ὥς οἱ καιρίῃ ἔδοξε τετύφθαι, εἴρετο ὁ Καμβύσης ὅ τι τῇ πόλι οὔνομα εἴη. οἱ δὲ εἶπαν ὅτι Ἀγβάτανα. τῷ δὲ ἔτι πρότερον ἐκέχρηστο ἐκ Βουτοῦς πόλιος ἐν Ἀγβατάνοισι τελευτήσειν τὸν βίον. ὁ μὲν δὴ ἐν τοῖσι Μηδικοῖσι Ἀγβατάνοισι ἐδόκεε τελευτήσειν γηραιός, ἐν τοῖσί οἱ ἦν πάντα τὰ πρήγματα· τὸ δὲ χρηστήριον τοῖσι ἐν Συρίῃ Ἀγβατάνοισι ἔλεγε ἄρα. καὶ δὴ ὡς τότε ἐπειρόμενος ἐπύθετο τῆς πόλιος τὸ οὔνομα, ὑπὸ τῆς συμφορῆς τῆς τε ἐκ τοῦ Μάγου ἐκπεπληγμένος καὶ τοῦ τρώματος ἐσωφρόνησε, συλλαβὼν δὲ τὸ θεοπρόπιον εἶπε "ἐνθαῦτα Καμβύσεα τὸν Κύρου ἐστὶ πεπρωμένον τελευ-
65 τᾶν." τότε μὲν τοσαῦτα, ἡμέρῃσι δὲ ὕστερον ὡς εἴκοσι μεταπεμψάμενος Περσέων τῶν παρεόντων τοὺς λογιμωτάτους

65. IX, 95; sonst ein *ἐπιβάτης* sein, als Seesoldat dienen. — *μελεδωνόν*: zu II, 65.

C. 64. *τοῦ ἐνυπνίου*: erzählt III, 30. — *περιημεκτήσας*: zu I, 44. — *ὁ μύκης*: Etym. M. p. 594: *τὸ καταχλεῖον τὴν θήκην τοῦ ξίφους*, also der Deckel am Ende der Degenscheide, das Ortband. — *κατὰ τοῦτο* (= *ταύτῃ*) *τῇ*: so III, 86 *κατὰ τοῦτο, ἵνα*. 125 *ἐς τοῦτο, τῇ*. — *καιρίῃ*: man pflegt *πληγῇ* hinzuzudenken, *lethali vulnere*; vgl. Hom. Il. 4, 185. 8, 84. 326. 11, 439. — *ἄρα*: zu IV, 64. Aehnlich im folgenden Cap. *οὐκ ἐνῆν ἄρα*. — *τοῦ τρώματος*: parallel mit *τῆς συμφορῆς*. — *συλλαβών*: zu I, 63.

ἔλεγέ σφι τάδε. "ὦ Πέρσαι, καταλελάβηκέ με, τὸ πάντων μάλιστα ἔκρυπτον πρηγμάτων, τοῦτο ἐς ὑμέας ἐκφῆναι. ἐγὼ γὰρ ἐὼν ἐν Αἰγύπτῳ εἶδον ὄψιν ἐν τῷ ὕπνῳ, τὴν μηδαμὰ ὤφελόν ἰδεῖν· ἐδόκεον δέ μοι ἄγγελον ἐλθόντα ἐξ οἴκου ἀγγέλλειν ὡς Σμέρδις ἱζόμενος ἐς τὸν βασιλήιον θρόνον ψαύσειε τῇ κεφαλῇ τοῦ οὐρανοῦ. δείσας δὲ μὴ ἀπαιρεθέω τὴν ἀρχὴν πρὸς τοῦ ἀδελφεοῦ, ἐποίησα ταχύτερα ἢ σοφώτερα· ἐν τῇ γὰρ ἀνθρωπηίῃ φύσι οὐκ ἐνῆν ἄρα τὸ μέλλον γίνεσθαι ἀποτρέπειν, ἐγὼ δὲ ὁ μάταιος Πρηξάσπεα ἀποπέμπω ἐς Σοῦσα ἀποκτενέοντα Σμέρδιν. ἐξεργασθέντος δὲ κακοῦ τοσούτου ἀδεῶς διαιτώμην, οὐδαμὰ ἐπιλεξάμενος μή κοτέ τις μοι Σμέρδιος ὑπαραιρημένου ἄλλος ἐπαναστάίη ἀνθρώπων. παντὸς δὲ τοῦ μέλλοντος ἔσεσθαι ἁμαρτὼν ἀδελφεοκτόνος τε οὐδὲν δέον γέγονα καὶ τῆς βασιληίης οὐδὲν ἔσσον ἐστέρημαι· Σμέρδις γὰρ δὴ ἦν ὁ Μάγος τόν μοι ὁ δαίμων προέφαινε ἐν τῇ ὄψι ἐπαναστήσεσθαι. τὸ μὲν δὴ ἔργον ἐξέργασταί μοι, καὶ Σμέρδιν τὸν Κύρου μηκέτι ὑμῖν ἐόντα λογίζεσθε· οἱ δὲ ὑμῖν Μάγοι κρατέουσι τῶν βασιληίων, τόν τε ἔλιπον ἐπίτροπον τῶν οἰκίων, καὶ ὁ ἐκείνου ἀδελφεὸς Σμέρδις. τὸν μέν νυν μάλιστα χρῆν ἐμεῦ αἰσχρὰ πρὸς τῶν Μάγων πεπονθότος τιμωρέειν ἐμοί οὗτος μὲν ἀνοσίῳ μόρῳ τετελεύτηκε ὑπὸ τῶν ἑωυτοῦ οἰκηιοτάτων· τούτου δὲ μηκέτι ἐόντος, δεύτερα τῶν λοιπῶν ὑμῖν ὦ Πέρσαι γίνεταί μοι ἀναγκαιότατον ἐντέλλεσθαι τὰ θέλω μοι γενέσθαι τελευτῶν τὸν βίον· καὶ δὴ ὑμῖν τάδε ἐπισκήπτω θεοὺς τοὺς βασιληίους ἐπικαλέων, καὶ πᾶσι ὑμῖν καὶ μάλιστα Ἀχαιμενιδέων τοῖσι παρεοῦσι, μὴ περιιδεῖν τὴν ἡγεμονίην αὖτις ἐς Μήδους περιελθοῦσαν, ἀλλ'

C. 65. *καταλελάβηκέ με:* sonst steht dabei als Subject *ἀναγκαίη*, z. B. II, 152. III, 75, die Noth hat mich ergriffen, zwingt mich. Zu I, 46 u. II, 66. — *οὐκ ἐνῆν ἄρα:* zu III, 64. — *ἐπιλεξάμενος:* zu I, 78; wegen des hier hinzukommenden Begriffs der Furcht, folgt *μή*. — *οὐδὲν δέον:* zu I, 129. — *τὸν μὲν . . . οὗτος μέν:* zu I, 113. — *δεύτερα τῶν λοιπῶν:* an zweiter Stelle unter den Uebrigen muss ich mich an Euch wenden. Unter *τῶν λοιπῶν* sind alle Perser nach Abrechnung des Smerdis zu verstehen. — *ἐπισκήπτω:* zu III, 73. — *περιιδεῖν:* zu I, 24. — *περιελθοῦ-*

εἴτε δόλῳ ἔχουσι αὐτὴν κτησάμενοι, δόλῳ ἀπαιρεθῆναι
ὑπ' ὑμέων, εἴτε καὶ σθένεϊ τεῳ κατεργασάμενοι, σθένεϊ
κατὰ τὸ καρτερὸν ἀνασώσασθαι. καὶ ταῦτα μὲν ποιεῦσι
ὑμῖν γῆ τε καρπὸν ἐκφέροι καὶ γυναῖκές τε καὶ ποίμναι
τίκτοιεν, ἐοῦσι ἐς τὸν ἅπαντα χρόνον ἐλευθέροισι· μὴ
ἀνασωσαμένοισι δὲ τὴν ἀρχὴν μηδ' ἐπιχειρήσασι ἀνασώ-
ζειν τὰ ἐναντία τούτοισι ἀρῶμαι ὑμῖν γενέσθαι, καὶ πρὸς
ἔτι τούτοισι τὸ τέλος Περσέων ἑκάστῳ ἐπιγενέσθαι οἷον
ἐμοὶ ἐπιγέγονε." ἅμα τε εἴπας ταῦτα ὁ Καμβύσης ἀπέκλαιε
66 πᾶσαν τὴν ἑωυτοῦ πρῆξιν. Πέρσαι δ' ὡς τὸν βασιλέα
εἶδον ἀνακλαύσαντα, πάντες τά τε ἐσθῆτος ἐχόμενα εἶχον,
ταῦτα κατηρείκοντο, καὶ οἰμωγῇ ἀφθόνῳ διεχρέωντο. μετὰ
δὲ ταῦτα, ὡς ἐσφακέλισέ τε τὸ ὀστέον καὶ ὁ μηρὸς τά-
χιστα ἐσάπη, ἀπήνεικε Καμβύσεα τὸν Κύρου, βασιλεύ-
σαντα μὲν τὰ πάντα ἑπτὰ ἔτεα καὶ μῆνας πέντε, ἄπαιδα
δὲ τὸ παράπαν ἐόντα ἔρσενος καὶ θήλεος γόνου.

Περσέων δὲ τοῖσι παρεοῦσι ἀπιστίη πολλὴ ὑπεκέχυτο
τοὺς Μάγους ἔχειν τὰ πρήγματα, ἀλλ' ἐπιστέατο ἐπὶ δια-
βολῇ εἰπεῖν Καμβύσεα τὰ εἶπε περὶ τοῦ Σμέρδιος θανά-
του, ἵνα οἱ ἐκπολεμωθῇ πᾶν τὸ Περσικόν. οὗτοι μέν νυν
ἐπιστέατο Σμέρδιν τὸν Κύρου βασιλέα ἐνεστεῶτα· δεινῶς
γὰρ καὶ ὁ Πρηξάσπης ἔξαρνος ἦν μὴ μὲν ἀποκτεῖναι Σμέρ-
διν· οὐ γὰρ ἦν οἱ ἀσφαλὲς Καμβύσεω τετελευτηκότος φά-
67 ναι τὸν Κύρου υἱὸν ἀπολωλεκέναι αὐτοχειρίῃ. ὁ δὲ δὴ

σαν: zu I, 7. — *κατὰ τὸ καρτερόν* = *κατὰ κράτος*. Noch I, 212, mit *μάχῃ* verbunden, *iusto proelio et bellica virtute*. Vgl. *κατὰ τὸ ἰσχυρόν* IV, 201. Zu bemerken ist der Wechsel der Subjecte in den beiden Parallelverben *ἀπαιρεθῆναι* u. *ἀνασώσασθαι*. — *ἐς τὸν ἅπαντα χρόνον*: zu III, 72. — *τὰ ἐναντία*: zu IV, 157.

C. 66. *ἐσθῆτος ἐχόμενα*: zu I, 120. — *κατηρείκοντο* = *κατεσχίζοντο* Hesych. II, p. 202. — *ἀπήνεικε*: in einer ähnlichen Stelle VI, 27 hat das Verbum zum Subject *λοιμός*. Hier kann leicht aus dem Zusammenhang *ἡ νοῦσος* oder *τὸ κακὸν* ergänzt werden. — *ἐπιστέατο*: zu I, 122. — *ἐπὶ διαβολῇ*: wie I, 41. — *εἰπεῖν τὰ εἶπε*: zu I, 91. — *ἵνα οἱ ἐκπολεμωθῇ*: *ut ad bellum adversus illum concitaretur*. So *ἐκπολεμοῦν* noch IV, 120 und im Passiv V, 73. — *ἐνεστεῶτα*: auf dem Throne sässe, wie im folgenden Capitel *ἐνιστάμενος ἐς τὴν ἀρχήν*. — *μὴ μέν*: zu I, 68.

Μάγος τελευτήσαντος Καμβύσεω ἀδεῶς ἐβασίλευσε, ἐπιβατεύων τοῦ ὁμωνύμου Σμέρδιος τοῦ Κύρου, μῆνας ἑπτὰ τοὺς ἐπιλοίπους Καμβύσῃ ἐς τὰ ὀκτὼ ἔτεα τῆς πληρώσιος· ἐν τοῖσι ἀπεδέξατο ἐς τοὺς ὑπηκόους πάντας εὐεργεσίας μεγάλας, ὥστε ἀποθανόντος αὐτοῦ πόθον ἔχειν πάντας τοὺς ἐν τῇ Ἀσίῃ, πάρεξ αὐτῶν Περσέων. διαπέμψας γὰρ ὁ Μάγος ἐς πᾶν ἔθνος τῶν ἦρχε, προεῖπε ἀτελίην εἶναι στρατηίης καὶ φόρου ἐπ᾽ ἔτεα τρία. προεῖπε μὲν δὴ ταῦτα αὐτίκα ἐνιστάμενος ἐς τὴν ἀρχήν, ὀγδόῳ δὲ μηνὶ ἐγένετο 68
κατάδηλος τρόπῳ τοιῷδε. Ὀτάνης ἦν Φαρνάσπεω μὲν παῖς, γένεϊ δὲ καὶ χρήμασι ὅμοιος τῷ πρώτῳ Περσέων. οὗτος ὁ Ὀτάνης πρῶτος ὑπόπτευσε τὸν Μάγον ὡς οὐκ εἴη ὁ Κύρου Σμέρδις ἀλλ᾽ ὅσπερ ἦν, τῇδε συμβαλλόμενος, ὅτι τε οὐκ ἐξεφοίτα ἐκ τῆς ἀκροπόλιος καὶ ὅτι οὐκ ἐκάλεε ἐς ὄψιν ἑωυτῷ οὐδένα τῶν λογίμων Περσέων. ὑποπτεύσας δέ μιν ἐποίεε τάδε. ἔσχε αὐτοῦ ὁ Καμβύσης θυγατέρα, τῇ οὔνομα ἦν Φαιδύμη· τὴν αὐτὴν δὴ ταύτην εἶχε τότε ὁ Μάγος, καὶ ταύτῃ τε συνοίκεε καὶ τῇσι ἄλλῃσι πάσῃσι τῇσι τοῦ Καμβύσεω γυναιξί. πέμπων δὴ ὦν ὁ Ὀτάνης παρὰ ταύτην τὴν θυγατέρα ἐπυνθάνετο παρ᾽ ὅτεῳ ἀνθρώπων κοιμῷτο, εἴτε μετὰ Σμέρδιος τοῦ Κύρου εἴτε μετ᾽ ἄλλου τευ. ἡ δέ οἱ ἀντέπεμπε φαμένη οὐ γινώσκειν· οὔτε γὰρ τὸν Κύρου Σμέρδιν ἰδέσθαι οὐδαμά, οὔτε ὅστις εἴη ὁ συνοικέων αὐτῇ εἰδέναι. ἔπεμπε δεύτερα ὁ Ὀτάνης λέγων "εἰ μὴ αὐτὴ Σμέρδιν τὸν Κύρου γινώσκεις, σὺ δὲ παρ᾽ Ἀτόσσης πύθευ ὅτεῳ τούτῳ συνοικέει αὐτή τε ἐκείνη καὶ σύ· πάντως γὰρ δή κου τόν γε ἑωυτῆς ἀδελφεὸν γινώσκει." ἀντιπέμπει πρὸς ταῦτα ἡ θυγάτηρ "οὔτε Ἀτόσσῃ δύναμαι

C. 67. ἐπιβατεύων: zu III, 63. — ἐς τὰ ὀκτὼ ἔτεα τῆς πλ.: zur Vervollständigung der acht Jahre.

C. 68. τῷ πρώτῳ Π.: also aus dem Stamme der Achämeniden, worüber I, 125. — συμβαλλόμενος: zu I. 68. — ἐκ τῆς ἀκροπόλιος: dass hier der königliche Pallast in Susa gemeint sei, ist aus dem III, 70 u. 71 Erzählten wahrscheinlich. — ἔσχε und εἶχε: zu III, 31. — εἰ μέν: das diesem μέν entsprechende δέ ist nicht ausgedrückt, sondern durch einen zweiten mit εἰ δέ eingeleiteten hypothetischen Satz in Gedanken zu ersetzen. — σὺ δέ: zu I, 13 u. 112.

ἐς λόγους ἐλθεῖν οὔτε ἄλλην οὐδεμίαν ἰδέσθαι τῶν συγκατημένων γυναικῶν· ἐπείτε γὰρ τάχιστα οὗτος ὤνθρωπος, ὅστις κοτέ ἐστι, παρέλαβε τὴν βασιληίην, διέσπειρε ἡμέας
69 ἄλλην ἄλλῃ τάξας." ἀκούοντι δὲ ταῦτα τῷ Ὀτάνῃ μᾶλλον κατεφαίνετο τὸ πρῆγμα. τρίτην δὲ ἀγγελίην ἐσπέμπει παρ' αὐτὴν λέγουσαν ταῦτα. "ὦ θύγατερ, δεῖ σε γεγονυῖαν εὖ κίνδυνον ἀναλαβέσθαι τὸν ἂν ὁ πατὴρ ὑποδύνειν κελεύῃ. εἰ γὰρ δὴ μή ἐστι ὁ Κύρου Σμέρδις ἀλλὰ τὸν καταδοκέω ἐγώ, οὔτοι μιν σοί τε συγκοιμώμενον καὶ τὸ Περσέων κράτος ἔχοντα δεῖ χαίροντα ἀπαλλάσσειν, ἀλλὰ δοῦναι δίκην. νῦν ὦν ποίησον τάδε. ἐπεάν σοι συνεύδῃ καὶ μάθῃς αὐτὸν κατυπνωμένον, ἄφασον αὐτοῦ τὰ ὦτα· καὶ ἢν μὲν φαίνηται ἔχων ὦτα, νόμιζε σεωυτὴν Σμέρδι τῷ Κύρου συνοικέειν, ἢν δὲ μὴ ἔχων, σὺ δὲ τῷ Μάγῳ Σμέρδι." ἀντιπέμπει πρὸς ταῦτα ἡ Φαιδύμη φαμένη κινδυνεύσειν μεγάλως, ἢν ποιῇ ταῦτα· εἰ γὰρ δὴ μὴ τυγχάνει τὰ ὦτα ἔχων, ἐπίλαμπτος δὲ ἀφάσσουσα ἔσται, εὖ εἰδέναι ὡς αἰστώσει μιν· ὅμως μέντοι ποιήσειν ταῦτα. ἡ μὲν δὴ ὑπεδέξατο ταῦτα τῷ πατρὶ κατεργάσεσθαι, τοῦ δὲ Μάγου τούτου τοῦ Σμέρδιος Κῦρος ὁ Καμβύσεω ἄρχων τὰ ὦτα ἀπέταμε ἐπ' αἰτίῃ δή τινι οὐ σμικρῇ. ἡ ὦν δὴ Φαιδύμη αὕτη, ἡ τοῦ Ὀτάνεω θυγάτηρ, πάντα ἐπιτελέουσα τὰ ὑπεδέξατο τῷ πατρί, ἐπείτε αὐτῆς μέρος ἐγίνετο τῆς ἀπίξιος παρὰ τὸν Μάγον (ἐν περιτροπῇ γὰρ δὴ αἱ γυναῖκες φοιτῶσι τοῖσι Πέρσῃσι), ἐλθοῦσα παρ' αὐτὸν εὗδε, ὑπνωμένου δὲ καρτερῶς τοῦ Μάγου ἤφασε τὰ ὦτα. μαθοῦσα δὲ οὐ χαλεπῶς

— *τῶν συγκατημένων*: der zugleich mit mir im Harem wohnenden. — *ὅστις κοτέ*: zu I, 157.

C. 69. *καταδοκέω*: zu I, 22. — *χαίροντα*: zu III, 29. — *ἀπαλλάσσειν*: intrans., davonkommen; so noch I, 16 u. IX, 106; und ganz ähnlich V, 63 und VIII, 68, 1. — *ἄφασον*: Suidas I, p. 391 *ἀφάσσων· ψηλαφῶν*. — *σεωυτήν*: als Subject wie *ἑωυτάν* I, 34. — *σὺ δέ*: zu I, 13 u. 112. — *αἰστώσει*: schon bekannt ist das Wort aus Hom. Od. 10, 259 *οἱ δ' ἅμ' αἰστώθησαν ἀολλέες, οὐδέ τις αὐτῶν ἐξεφάνη*. Vgl. 20, 79. Noch III, 127. — *ὑπεδέξατο*: zu I, 24. — *ἐπείτε αὐτῆς μέρος ἐγ.*: als die Reihe an sie kam. Vgl. Esther II, 12. — *ἐν περιτροπῇ*: zu II, 168.

ἀλλ᾽ εὐπετέως οὐκ ἔχοντα τὸν ἄνδρα ὦτα, ὡς ἡμέρη τάχιστα ἐγεγόνεε, πέμψασα ἐσήμηνε τῷ πατρὶ τὰ γενόμενα.

Ὁ δὲ Ὀτάνης παραλαβὼν Ἀσπαθίνην καὶ Γωβρύην 70
Περσέων τε πρώτους ἐόντας καὶ ἑωυτῷ ἐπιτηδεωτάτους ἐς πίστιν, ἀπηγήσατο πᾶν τὸ πρῆγμα· οἱ δὲ καὶ αὐτοὶ ἄρα ὑπόπτευον οὕτω τοῦτο ἔχειν, ἀνενείκαντος δὲ τοῦ Ὀτάνεω τοὺς λόγους ἐδέξαντο. καὶ ἔδοξέ σφι ἕκαστον ἄνδρα Περσέων προσεταιρίσασθαι τοῦτον τῷ πιστεύει μάλιστα. Ὀτάνης μέν νυν ἐσάγεται Ἰνταφέρνεα, Γωβρύης δὲ Μεγάβυζον, Ἀσπαθίνης δὲ Ὑδάρνεα. γεγονότων δὲ τούτων ἓξ παραγίνεται ἐς τὰ Σοῦσα Δαρεῖος ὁ Ὑστάσπεος ἐκ Περσέων ἥκων· τούτων γὰρ δὴ ἦν οἱ ὁ πατὴρ ὕπαρχος. ἐπεὶ ὦν οὗτος ἀπίκετο, τοῖσι ἓξ τῶν Περσέων ἔδοξε καὶ Δαρεῖον
προσεταιρίσασθαι. συνελθόντες δὲ οὗτοι ἐόντες ἑπτὰ ἐδί- 71
δοσάν σφισι λόγους καὶ πίστις. ἐπείτε δὲ ἐς Δαρεῖον ἀπίκετο γνώμην ἀποφαίνεσθαι, ἔλεγέ σφι τάδε. "ἐγὼ ταῦτα ἐδόκεον μὲν αὐτὸς μοῦνος ἐπίστασθαι, ὅτι τε ὁ Μάγος εἴη ὁ βασιλεύων καὶ Σμέρδις ὁ Κύρου τετελεύτηκε· καὶ αὐτοῦ τούτου εἵνεκεν ἥκω σπουδῇ ὡς συστήσων ἐπὶ τῷ Μάγῳ θάνατον. ἐπείτε δὲ συνήνεικε ὥστε καὶ ὑμέας εἰδέναι καὶ μὴ μοῦνον ἐμέ, ποιέειν αὐτίκα μοι δοκέει καὶ μὴ ὑπερβάλλεσθαι· οὐ γὰρ ἄμεινον." εἶπε πρὸς ταῦτα ὁ Ὀτάνης "ὦ παῖ Ὑστάσπεος, εἷς τε πατρὸς ἀγαθοῦ καὶ ἐκφαίνειν ἔοικας σεωυτὸν ἐόντα τοῦ πατρὸς οὐδὲν ἕσσω· τὴν μέντοι ἐπιχείρησιν ταύτην μὴ οὕτω συντάχυνε ἀβούλως, ἀλλ᾽ ἐπὶ τὸ σωφρονέστερον αὐτὴν λάμβανε· δεῖ γὰρ πλεῦνας γενομένους οὕτω ἐπιχειρέειν." λέγει πρὸς ταῦτα Δαρεῖος "ἄν-

C. 70. *ἀπηγήσατο*: zu I, 2. — *ἀνενείκαντος . . . ἐδέξαντο*: *quum iis O. rationes suas exposuisset, adsentati sunt ambo.* — *ἐκ Περσέων ἥκων*: **Susa nämlich, obgleich gewöhnliche Winterresidenz der persischen Könige, lag nicht im Lande der Perser, sondern im Lande der Cissier, eines, wenn auch nicht eigentlich persischen, aber doch verwandten Stammes, der persische Sitten und Tracht angenommen hatte. Susiana lag in der Mitte zwischen Persien und Babylonien.** — *ὕπαρχος*: **zu III, 120.**

C. 71. *αὐτοῦ τούτου εἵν.*: **wie** *αὐτοῦ ταύτῃ* **I, 189.** — *συστήσων*: **zu I, 103.** — *συνήνεικε*: **zu I, 73.** — *οὐ γὰρ ἄμεινον*: **zu I, 187.** — *συντάχυνε*: **zu II, 133.** — *ἐπὶ τὸ σωφρονέστερον*: **Gegensatz zu**

*δρες οἱ παρεόντες, τρόπῳ τῷ εἰρημένῳ ἐξ Ὀτάνεω εἰ χρή-
σεσθε, ἐπίστασθε ὅτι ἀπολέεσθε κάκιστα· ἐξοίσει γάρ
τις πρὸς τὸν Μάγον, ἰδίῃ περιβαλλόμενος ἑωυτῷ κέρδεα.
μάλιστα μέν νυν ὠφείλετε ἐπ' ὑμέων αὐτῶν βαλόμενοι
ποιέειν ταῦτα· ἐπείτε δὲ ὑμῖν ἀναφέρειν ἐς πλεῦνας ἐδόκεε
καὶ ἐμοὶ ὑπερέθεσθε, ἢ ποιέωμεν σήμερον, ἢ ἴστε ὑμῖν
ὅτι ἢν ὑπερπέσῃ ἡ νῦν ἡμέρη, ὡς οὐκ ἄλλος φθὰς ἐμεῦ κατ-
ήγορος ἔσται, ἀλλά σφεα αὐτὸς ἐγὼ κατερέω πρὸς τὸν*
72 *Μάγον." λέγει πρὸς ταῦτα Ὀτάνης, ἐπειδὴ ὥρα σπερχό-
μενον Δαρεῖον, "ἐπείτε ἡμέας συνταχύνειν ἀναγκάζεις
καὶ ὑπερβάλλεσθαι οὐκ ἐᾷς, ἴθι ἐξηγέο αὐτὸς ὅτεῳ τρόπῳ
πάριμεν ἐς τὰ βασιλήια καὶ ἐπιχειρήσομεν αὐτοῖσι. φυλα-
κὰς γὰρ δὴ διεστεώσας οἶδάς κου καὶ αὐτός, εἰ μὴ ἰδών,
ἀλλ' ἀκούσας· τὰς τέῳ τρόπῳ περήσομεν;" ἀμείβεται
Δαρεῖος τοισίδε. "Ὀτάνη, ἦ πολλά ἐστι τὰ λόγῳ μὲν οὐκ
οἷά τε δηλῶσαι, ἔργῳ δέ· ἄλλα δ' ἐστὶ τὰ λόγῳ μὲν οἷά
τε, ἔργον δὲ οὐδὲν ἀπ' αὐτῶν λαμπρὸν γίνεται. ὑμεῖς δὲ
ἴστε φυλακὰς τὰς κατεστεώσας ἐούσας οὐδὲν χαλεπὰς παρ-
ελθεῖν. τοῦτο μὲν γὰρ ἡμέων ἐόντων τοιῶνδε οὐδεὶς ὅστις*

ἀβούλως, wie Thuc. I, 32, 3. — *ἐξ Ὀτ.* = *ὑπό*. Zu Exord. — *περιβαλλόμενος*: dies Verbum, welches sonst vom Anlegen der Kleider oder der Waffen I, 152. 195. III, 139. IV, 189. VII, 75. IX, 109, oder vom Errichten von Befestigungswerken I, 141. 163. 186. VI, 46. VII, 191. IX, 96. 97 gebraucht wird, heisst hier in übertragenem Sinne sich zueignen, in seine Gewalt bringen; so noch VI, 25. VII, 190. VIII, 8. IX, 39, und in demselben Sinne, aber im Activ, also einem Andern zueignen I, 129. Das Passiv nur II, 91 *ἐν τῷ περιβεβλημένῳ τούτῳ*, in diesem Umkreis. Vgl. noch VI, 44. — *ὠφείλετε*: *debebatis*. — *ἐπ' ὑμέων αὐτῶν βαλόμενοι*: *re inter vos deliberata*; doch enthält diese Redeweise noch den Nebenbegriff, dass Andere von der Berathung ausgeschlossen sind; so noch III, 155. IV, 160. V, 73. 106. VIII, 109; dadurch verschieden von der ähnlichen *ἐς θυμὸν βάλλεσθαι* I, 84. VII, 51. VIII, 68, 3. — *ἀναφέρειν*: zu I, 157. — *ὑπερέθεσθε*: zu I, 8. — *ὑμῖν*: am natürlichsten mit *ἴστε* zu verbinden, *hoc vobis scitote*, wisset das zu eurem eigenen Heile. — *ὡς*: nimmt *ὅτι* auf; der Pleonasmus ist motivirt durch den eingeschobenen hypothetischen Satz; zu II, 13. — *ἐμεῦ*: als ich, nämlich von *ἄλλος* abhängig. — *κατερέω*: zu I, 20.

C. 72. *συνταχύνειν*: zu II, 133. — *ἐπιχ. αὐτοῖσι*: nämlich *τοῖσι μάγοισι*, wie am Anfang des C. 76 steht. — *διεστεώσας*: zu II, 66. — *τοιῶνδε*: da wir einem so hohen Stande angehören. —

οὐ παρήσει, τὰ μέν κου καταιδεόμενος ἡμέας, τὰ δέ κου καὶ δειμαίνων· τοῦτο δὲ ἔχω αὐτὸς σκῆψιν εὐπρεπεστάτην τῇ πάριμεν, φὰς ἄρτι τε ἥκειν ἐκ Περσέων καὶ βούλεσθαι τι ἔπος παρὰ τοῦ πατρὸς σημῆναι τῷ βασιλέι. ἔνθα γάρ τι δεῖ ψεῦδος λέγεσθαι, λεγέσθω. τοῦ γὰρ αὐτοῦ γλιχόμεθα οἵ τε ψευδόμενοι καὶ οἱ τῇ ἀληθείῃ διαχρεώμενοι· οἱ μέν γε ψεύδονται τότε ἐπεάν τι μέλλωσι τοῖσι ψεύδεσι πείσαντες κερδήσεσθαι, οἱ δ᾽ ἀληθίζονται ἵνα τι τῇ ἀληθείῃ ἐπισπάσωνται κέρδος καί τι μᾶλλόν σφι ἐπιτράπηται. οὕτω οὐ ταὐτὰ ἀσκέοντες τὠυτοῦ περιεχόμεθα. εἰ δὲ μηδὲν κερδήσεσθαι μέλλοιεν, ὁμοίως ἂν ὅ τε ἀληθιζόμενος ψευδὴς εἴη καὶ ὁ ψευδόμενος ἀληθής. ὃς ἂν μέν νυν τῶν πυλουρῶν ἑκὼν παρίῃ, αὐτῷ οἱ ἄμεινον ἐς χρόνον ἔσται· ὃς δ᾽ ἂν ἀντιβαίνειν πειρᾶται, δεικνύσθω ἐνθαῦτα ἐὼν πολέμιος, καὶ ἔπειτα ὠσάμενοι ἔσω ἔργου ἐχώμεθα."

Λέγει Γωβρύης μετὰ ταῦτα "ἄνδρες φίλοι, ἡμῖν κότε 73
κάλλιον παρέξει ἀνασώσασθαι τὴν ἀρχήν, ἢ εἴ γε μὴ οἷοί τε ἐσόμεθα αὐτὴν ἀναλαβέειν ἀποθανέειν; ὅτε γε ἀρχό-

παρήσει: zu I, 14. — *σκῆψιν*: zu I, 147. — *ἔνθα γάρ*: relativisch zu fassen. Dieser und die folgenden Grundsätze sind im Munde eines Persers auffallend, und stimmen mit dem I, 138 ausgesprochenen (*αἴσχιστον δὲ αὐτοῖσι* [den Persern] *τὸ ψεύδεσθαι νενόμισται*) nicht überein. Vielmehr scheint dies Urtheil aus einer hellenischen Denkweise hervorgegangen zu sein. So fragt bei Soph. Phil. 108 Neoptolemos den Odysseus: *οὐκ αἰσχρὸν ἡγεῖ δῆτα τὰ ψευδῆ λέγειν;*, und dieser antwortet *οὔκ, εἰ τὸ σωθῆναί γε τὸ ψεῦδος φέρει*. Es scheint also hier H. seine eigene Ansicht auszudrücken, wenigstens findet diese Vermuthung ihre Bestätigung darin, dass er V, 50 den Aristagoras tadelt, die Wahrheit gesagt zu haben: *χρεὼν γάρ μιν μὴ λέγειν τὸ ἐόν*. — *περιεχόμεθα*: ein variirter Ausdruck für das obige *γλιχόμεθα*. Zu I, 147. — *παρίῃ*: zu I, 14. — *ἄμεινον*: zu II, 46. — *ἐς χρόνον*: *in posterum*; so VII, 29. IX, 89. Vgl. III, 65 *ἐς τὸν ἅπαντα χρόνον* in alle Zeit. Vgl. noch *ἀνὰ χρόνον* I, 173.

C. 73. *ἡμῖν κότε ... ἀρχήν, ἢ ... ἀποθανέειν*: wann wird es uns besser anstehen, die Herrschaft wieder zu erringen, oder ... zu sterben. Ueber *παρέξει*: zu I, 9. — *ἀρχόμεθα μέν*: diesem *μέν* scheint nichts anderes zu entsprechen als das folgende *ὅσοι τε ... παρεγένοντο*. Gobryas wollte eigentlich so sagen: *ὅτε γε ἀρχόμεθα μὲν ἐόντες Πέρσαι ὑπὸ Μήδου ἀνδρός, προσήκει δὲ ἡμῖν ποιέειν τὰ ἐπέσκηψε τοῖσι Πέρσῃσι ὁ Καμβύσης*. Diese beiden Gründe zum Handeln stehen im Gegensatz; aber den zweiten verwandelt Gobryas in eine Erinnerung an

μεθα μὲν ἐόντες Πέρσαι ὑπὸ Μήδου ἀνδρὸς Μάγου, καὶ τούτου ὦτα οὐκ ἔχοντος. ὅσοι τε ὑμέων Καμβύσῃ νοσέοντι παρεγένοντο, πάντως κου μέμνησθε τὰ ἐπέσκηψε Πέρσῃσι τελευτῶν τὸν βίον μὴ πειρωμένοισι ἀνακτᾶσθαι τὴν ἀρχήν· τὰ τότε οὐκ ἐνεδεκόμεθα, ἀλλ' ἐπὶ διαβολῇ ἐδοκέομεν εἰπεῖν Καμβύσεα. νῦν ὦν τίθεμαι ψῆφον πείθεσθαι Δαρείῳ καὶ μὴ διαλύεσθαι ἐκ τοῦ συλλόγου τοῦδε ἄλλοθι ἰόντας ἢ ἐπὶ τὸν Μάγον ἰθέως." ταῦτα εἶπε Γωβρύης, καὶ πάντες ταῦτα αἴνεον.

74 Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἐβουλεύοντο, ἐγίνετο κατὰ συντυχίην τάδε. τοῖσι Μάγοισι ἔδοξε βουλευομένοισι Πρηξάσπεα φίλον προσθέσθαι, ὅτι τε ἐπεπόνθεε πρὸς Καμβύσεω ἀνάρσια, ὅς οἱ τὸν παῖδα τοξεύσας ἀπολωλέκεε, καὶ διότι μοῦνος ἠπίστατο τὸν Σμέρδιος τοῦ Κύρου θάνατον αὐτοχειρίῃ μιν ἀπολέσας, πρὸς δ' ἔτι ἐόντα ἐν αἴνῃ μεγίστῃ τὸν Πρηξάσπεα ἐν Πέρσῃσι. τούτων δή μιν εἵνεκεν καλέσαντες φίλον προσεκτῶντο πίστι τε λαβόντες καὶ ὁρκίοισι, ἦ μὲν ἕξειν παρ' ἑωυτῷ μηδ' ἐξοίσειν μηδενὶ ἀνθρώπων τὴν ἀπὸ σφέων ἀπάτην ἐς Πέρσας γεγονυῖαν, ὑπισχνεύμενοι τὰ πάντα οἱ μυρία δώσειν. ὑποδεκομένου δὲ τοῦ Πρηξάσπεω ποιήσειν ταῦτα, ὡς ἀνέπεισάν μιν οἱ Μάγοι, δεύτερα προσέφερον, αὐτοὶ μὲν φάμενοι Πέρσας πάντας συγκαλέσειν ὑπὸ τὸ βασιλήιον τεῖχος, κεῖνον δ' ἐκέλευον ἀναβάντα ἐπὶ πύργον ἀγορεῦσαι ὡς ὑπὸ τοῦ Κύρου Σμέρδιος ἄρχονται καὶ ὑπ' οὐδενὸς ἄλλου. ταῦτα

das früher Geschehene; dies schiebt er erst vor, und dadurch wird es unmöglich, den Gegensatz festzuhalten und auszudrücken. — *καὶ τούτου*: und zwar; zu I, 147. — *ἐπέσκηψε*: hier in prägnantem Sinne: was er dem P. aufgetragen und angewünscht hat, wenn sie nicht ...; hierher gehört also Hesychius *ἐπισκήπτω· ἐπαρῶμαι.* Ohne diesen Nebenbegriff noch III, 65. IV, 33. VII, 158 Einen mit Bitten beauftragen. Vgl. *ἐνσκήπτειν* I, 105. — *ἐπὶ διαβολῇ*: zu I, 41.

C. 74. *ἀνάρσια*: zu III, 10. — *ὅς οἱ ... ἀπολ.*: erzählt III, 35, — *ἀπολέσας*: erzählt III, 30. — *ἐόντα*: enthält den dritten Grund, warum sich die Mager den Pr. zum Freunde machen. — *αἴνῃ*: (noch VIII, 112 u. IX, 16) = *αἶνος*, was H. nur einmal VII, 107 hat. — *πίστι τε λαβόντες*: *eum obstringentes;* in demselben Zusammenhange steht IX, 106 *κατα-*

δὲ οὕτω ἐνετέλλοντο ὡς πιστοτάτου δῆθεν ἐόντος αὐτοῦ ἐν Πέρσῃσι, καὶ πολλάκις ἀποδεξαμένου γνώμην ὡς περιείη ὁ Κύρου Σμέρδις, καὶ ἐξαρνησαμένου τὸν φόνον αὐτοῦ. φαμένου δὲ καὶ ταῦτα ἑτοίμου εἶναι ποιέειν τοῦ Πρηξά- 75
σπεω, συγκαλέσαντες Πέρσας οἱ Μάγοι ἀνεβίβασαν αὐτὸν ἐπὶ πύργον καὶ ἀγορεύειν ἐκέλευον. ὁ δέ, τῶν μὲν δὴ ἐκεῖνοι προσεδέοντο αὐτοῦ, τούτων μὲν ἑκὼν ἐπελήθετο, ἀρξάμενος δὲ ἀπ᾽ Ἀχαιμένεος ἐγενεηλόγησε τὴν πατριὴν τὴν Κύρου, μετὰ δὲ ὡς ἐς τοῦτον κατέβη, τελευτῶν ἔλεγε ὅσα ἀγαθὰ Κῦρος Πέρσας πεποιήκοι, διεξελθὼν δὲ ταῦτα ἐξέφαινε τὴν ἀληθείην, φάμενος πρότερον μὲν κρύπτειν (οὐ γάρ οἱ εἶναι ἀσφαλὲς λέγειν τὰ γενόμενα), ἐν δὲ τῷ παρεόντι ἀναγκαίην μιν καταλαμβάνειν φαίνειν· καὶ δὴ ἔλεγε τὸν μὲν Κύρου Σμέρδιν ὡς αὐτὸς ὑπὸ Καμβύσεω ἀναγκαζόμενος ἀποκτείνειε, τοὺς Μάγους δὲ βασιλεύειν. Πέρσῃσι δὲ πολλὰ ἐπαρησάμενος εἰ μὴ ἀνακτησαίατο ὀπίσω τὴν ἀρχὴν καὶ τοὺς Μάγους τισαίατο, ἀπῆκε ἑωυτὸν ἐπὶ κεφαλὴν φέρεσθαι ἀπὸ τοῦ πύργου κάτω. Πρηξάσπης μέν νυν ἐὼν τὸν πάντα χρόνον ἀνὴρ δόκιμος οὕτω ἐτελεύτησε.

Οἱ δὲ δὴ ἑπτὰ τῶν Περσέων ὡς ἐβουλεύσαντο αὐτίκα 76
ἐπιχειρέειν τοῖσι Μάγοισι καὶ μὴ ὑπερβάλλεσθαι, ἤισαν εὐξάμενοι τοῖσι θεοῖσι, τῶν περὶ Πρηξάσπεα πρηχθέντων εἰδότες οὐδέν. ἔν τε δὴ τῇ ὁδῷ μέσῃ στείχοντες ἐγίνοντο

λαβόντες. — τὰ πάντα: zu I, 163. — ὑποδεχομένου: zu I, 24. — δῆθεν: zu I, 59.

C. 75. τῶν μὲν δή: habe ich nach Bekker's Conjectur aufgenommen, statt μέντοι, was unmöglich zu sein scheint. Ueber das verdoppelte μέν, zu I, 113. — προσεδέοντο: zu I, 36. — ἑκὼν ἐπελήθετο: zu IV, 43. — τὴν πατριήν: zu I, 200. — καταλαμβάνειν: zu I, 46. — φαίνειν: nämlich τὴν ἀληθείην. — ἀνακτησαίατο ὀπίσω: zu III, 16. — ἐπὶ κεφαλήν: zu III, 35. — φέρεσθαι: zu I, 176.

C. 76. ἔν τε δὴ . . . καὶ . . .: zwei coordinirte Sätze, die wir lieber in das Verhältniss der Subordination bringen würden; in einem solchen Zusammenhange ist καί durch als übersetzbar. So IV, 181 u. 199; Thuc. 1, 50, 5 ἤδη δὲ ἦν ὀψὲ καὶ οἱ Κορίνθιοι ἐξαπίνης πρύμναν ἐκρούοντο. Doch geht einem solchen καί meist τέ oder ἤδη, namentlich aber ἅμα voran, wie I, 112 ἅμα δὲ ταῦτα ἔλεγε καὶ ἐπεδείκνυε. Aehnlich ist Virg. Aen. 3, 9 *vix prima inceperat aestas, et pater Anchises dare fatis vela iubebat*. Vgl. noch Her. IV, 53. 135.

καὶ τὰ περὶ Πρηξάσπεα γεγονότα ἐπυνθάνοντο. ἐνθαῦτα ἐκστάντες τῆς ὁδοῦ ἐδίδοσαν αὖτις σφίσι λόγους, οἱ μὲν ἀμφὶ τὸν Ὀτάνην πάγχυ κελεύοντες ὑπερβάλλεσθαι μηδὲ οἰδεόντων τῶν πρηγμάτων ἐπιτίθεσθαι, οἱ δὲ ἀμφὶ τὸν Δαρεῖον αὐτίκα τε ἰέναι καὶ τὰ δεδογμένα ποιέειν μηδ᾽ ὑπερβάλλεσθαι. ὠθιζομένων δ᾽ αὐτῶν ἐφάνη ἰρήκων ἑπτὰ ζεύγεα δύο αἰγυπιῶν ζεύγεα διώκοντα καὶ τίλλοντά τε καὶ ἀμύσσοντα. ἰδόντες δὲ ταῦτα οἱ ἑπτὰ τήν τε Δαρείου πάντες αἴνεον γνώμην, καὶ ἔπειτα ἤισαν ἐπὶ τὰ βασιλήια τεθαρσηκό-
77 τες τοῖσι ὄρνισι. ἐπιστᾶσι δὲ ἐπὶ τὰς πύλας ἐγίνετο οἷόν τι Δαρείῳ ἡ γνώμη ἔφερε· καταιδεόμενοι γὰρ οἱ φύλακοι ἄνδρας τοὺς Περσέων πρώτους, καὶ οὐδὲν τοιοῦτον ὑποπτεύοντες ἐξ αὐτῶν ἔσεσθαι, παρίεσαν θείῃ πομπῇ χρεωμένους, οὐδ᾽ ἐπειρώτα οὐδείς. ἐπείτε δὲ καὶ παρῆλθον ἐς τὴν αὐλήν, ἐνέκυρσαν τοῖσι τὰς ἀγγελίας ἐσφέρουσι εὐνούχοισι, οἵ σφεας ἱστόρεον ὅ τι θέλοντες ἥκοιεν· καὶ ἅμα ἱστορέοντες τούτους τοῖσι πυλουροῖσι ἀπείλεον ὅτι σφέας παρῆκαν, ἴσχόν τε βουλομένους τοὺς ἑπτὰ ἐς τὸ πρόσω παριέναι. οἱ δὲ διακελευσάμενοι, καὶ σπασάμενοι τὰ ἐγχειρίδια, τούτους μὲν τοὺς ἴσχοντας αὐτοῦ ταύτῃ συγκεν-
78 τέουσι, αὐτοὶ δὲ ἤισαν δρόμῳ ἐς τὸν ἀνδρεῶνα. οἱ δὲ Μάγοι ἔτυχον ἀμφότεροι τηνικαῦτα ἐόντες τε ἔσω καὶ τὰ ἀπὸ Πρηξάσπεω γενόμενα ἐν βουλῇ ἔχοντες. ἐπεὶ ὦν εἶδον

150. V, 86. VII, 12. 217. VIII, 56. 64. 83. — *ἐδίδοσαν σφίσι λόγ.*: zu II, 162. — *οἰδεόντων τῶν πρ.*: noch III, 127; wie Tacit. Hist. 2, 32 *quoniam Galliae tumeant.*, und Cic. ad Att. 14, 4 *tument negotia.* — *ἐπιτίθεσθαι*: zu I, 26. — *ὠθιζομένων δ᾽ αὐτῶν*: *dum inter se altercantur.* In demselben Sinne das Substantiv *ὠθισμός* VIII, 78 u. IX, 26; aber im eigentlichen VII, 225 u. IX, 62 das Schlachtgedränge. — *ζεύγεα*: *ζεῦγος*, was sonst von einem Paar Rinder gebraucht wird, zeigt hier überhaupt ein Paar an; so noch III, 109. 130. VII, 35. — *ἀμύσσοντα*: Gloss. Herod. *ἀμύσσειν· ἕλκουν, ξέειν.* Noch III, 108, und *καταμύσσεσθαι* IV, 71.

C. 77. *ἐγίνετο . . . ἔφερε*: *accidit tale quid, quale Darii sententia iudicaverat.* Die Redeweise ist der I, 120 bemerkten ähnlich. Noch V, 118. VI, 110. VIII, 100. — *παρίεσαν*: zu I, 14. — *θείῃ πομπῇ χρεωμένους*: zu I, 62. — *ἐνέκυρσαν*: zu II, 82. — *παρῆκαν*: zu I, 14. — *διακελευσάμενοι*: zu I, 1. — *αὐτοῦ ταύτῃ*: zu I, 189.

τοὺς εὐνούχους τεθορυβημένους τε καὶ βοῶντας, ἀνά τε ἔδραμον πάλιν ἀμφότεροι, καὶ ὡς ἔμαθον τὸ ποιεύμενον, πρὸς ἀλκὴν ἐτράποντο. ὁ μὲν δὴ αὐτέων φθάνει τὰ τόξα κατελόμενος, ὁ δὲ πρὸς τὴν αἰχμὴν ἐτράπετο. ἐνθαῦτα δὲ συνέμισγον ἀλλήλοισι. τῷ μὲν δὴ τὰ τόξα ἀναλαβόντι αὐτέων, ἐόντων τε ἀγχοῦ τῶν πολεμίων καὶ προσκειμένων, ἦν χρηστὰ οὐδέν· ὁ δ' ἕτερος τῇ αἰχμῇ ἠμύνετο, καὶ τοῦτο μὲν Ἀσπαθίνην παίει ἐς τὸν μηρόν, τοῦτο δὲ Ἰνταφέρνεα ἐς τὸν ὀφθαλμόν· καὶ ἐστερήθη μὲν τοῦ ὀφθαλμοῦ ἐκ τοῦ τρώματος ὁ Ἰνταφέρνης, οὐ μέντοι ἀπέθανέ γε. τῶν μὲν δὴ Μάγων οὕτερος τρωματίζει τούτους· ὁ δὲ ἕτερος, ἐπείτε οἱ τὰ τόξα οὐδὲν χρηστὰ ἐγίνετο, ἦν γὰρ δὴ θάλαμος ἐσέχων ἐς τὸν ἀνδρεῶνα, ἐς τοῦτον καταφεύγει, θέλων αὐτοῦ προσθεῖναι τὰς θύρας· καί οἱ συνεσπίπτουσι τῶν ἑπτὰ δύο, Δαρεῖός τε καὶ Γωβρύης. συμπλακέντος δὲ Γωβρύεω τῷ Μάγῳ ὁ Δαρεῖος ἐπεστεὼς ἠπόρει οἷα ἐν σκότεϊ, προμηθεόμενος μὴ πλήξῃ τὸν Γωβρύην. ὁρέων δέ μιν ἀργὸν ἐπεστεῶτα ὁ Γωβρύης εἴρετο ὅ τι οὐ χρᾶται τῇ χερί· ὁ δὲ εἶπε "προμηθεόμενος σέο, μὴ πλήξω." Γωβρύης δὲ ἀμείβετο "ὦθει καὶ δι' ἀμφοτέρων τὸ ξίφος." Δαρεῖος δὲ πειθόμενος ὦσέ τε τὸ ἐγχειρίδιον καὶ ἔτυχέ κως τοῦ Μάγου. ἀποκτείναντες δὲ τοὺς Μάγους καὶ ἀποταμόντες αὐ- 79
τέων τὰς κεφαλάς, τοὺς μὲν τρωματίας ἑωυτῶν αὐτοῦ λείπουσι καὶ ἀδυνασίης εἵνεκεν καὶ φυλακῆς τῆς ἀκροπόλιος, οἱ δὲ πέντε αὐτέων ἔχοντες τῶν Μάγων τὰς κεφαλὰς ἔθεον ἔξω, βοῇ τε καὶ πατάγῳ χρεώμενοι, καὶ Πέρσας τοὺς ἄλλους ἐπεκαλέοντο, ἐξηγεόμενοί τε τὸ πρῆγμα καὶ δεικνύοντες τὰς κεφαλάς· καὶ ἅμα ἔκτεινον πάντα τινὰ τῶν Μά-

C. 78. ἀνά τε ἔδραμον πάλιν: *vicissim et ipsi exsiluerunt.* — κατελόμενος: zu I, 4. — προσκειμένων: zu I, 123. — ἦν χρηστά: nämlich τὰ τόξα. — ἐσέχων: zu II, 11. — προσθεῖναι: Bekk. Anecd. I, p. 111 προσθεῖναι ἀντὶ τοῦ ἐπικλεῖσαι. In demselben Sinne sagt Hom. ἐπιθεῖναι Il. 14, 169. Od. 22, 157 und öfters. Gegensatz ἀνακλῖναι. — προμηθεόμενος σέο: zu II, 172.

C. 79. καὶ ἀδυνασίης εἵνεκεν: *quum infirmitatis causa.* — βοῇ τε καὶ πατάγῳ χρεώμενοι: noch so VII, 211 vom Schlachtgeschrei, wie Hom. Il. 3, 2 Τρῶες μὲν κλαγγῇ τ' ἐνοπῇ τ' ἴσαν. —

γων τὸν ἐν ποσὶ γινόμενον. οἱ δὲ Πέρσαι μαθόντες τό τε γεγονὸς ἐκ τῶν ἑπτὰ καὶ τῶν Μάγων τὴν ἀπάτην, ἐδικαίευν καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιέειν, σπασάμενοι δὲ τὰ ἐγχειρίδια ἔκτεινον ὅκου τινὰ Μάγον εὕρισκον· εἰ δὲ μὴ νὺξ ἐπελθοῦσα ἔσχε, ἔλιπον ἂν οὐδένα Μάγον. ταύτην τὴν ἡμέρην θεραπεύουσι Πέρσαι κοινῇ μάλιστα τῶν ἡμερέων, καὶ ἐν αὐτῇ ὁρτὴν μεγάλην ἀνάγουσι, ἣ κέκληται ὑπὸ Περσέων μαγοφόνια· ἐν τῇ Μάγον οὐδένα ἔξεστι φανῆναι ἐς τὸ φῶς, ἀλλὰ κατ' οἴκους ἑωυτοὺς οἱ Μάγοι ἔχουσι τὴν ἡμέρην ταύτην.

80 Ἐπείτε δὲ κατέστη ὁ θόρυβος καὶ ἐντὸς πέντε ἡμερέων ἐγένετο, ἐβουλεύοντο οἱ ἐπαναστάντες τοῖσι Μά-

τὸν ἐν ποσὶ γινόμενον: zu II, 76. — *ἕτερα τοιαῦτα*: zu I, 120. — *ἔσχε*: zu I, 158.

C. 80. *κατέστη*: sich gelegt hatte. — *καὶ ἐντὸς πέντε ἡμερέων ἐγένετο*: und fünf Tage noch nicht verflossen waren. — *λόγοι ἄπιστοι*: Heeren I, 1 S. 413: "Die Geschichte der Verschwörung hat für den Forscher der persischen Verfassung eben so viel Befremdendes als Merkwürdiges. Die Berathschlagung, welche die Verschworenen nach vollbrachter That über die künftige Verfassung anstellten, ist eine so fremde Erscheinung in Asien, dass mehrere Griechen bereits zu Herodots Zeiten sie ableugneten. Dennoch aber behauptet er ausdrücklich, sie sei gehalten worden, und diese bestimmte Behauptung macht es unmöglich anzunehmen, dass es eine blosse Fiction von ihm sei. Vielmehr hat sie gewiss einen historischen Grund. Dass sie aber nicht so gehalten worden, sondern dass die Wahrheit vielmehr in ein griechisches Gewand gehüllt ward, wird für jeden, der nur einige Kenntniss des Orients hat, eine ausgemachte Sache bleiben. Hätte der Geschichtschreiber hier seine Quelle genannt, so könnten wir vielleicht bestimmter urtheilen. So ist es aber blos eine wahrscheinliche Vermuthung, die sich nach der Analogie anderer Völker, die eine ähnliche Verfassung mit den Persern hatten, aufstellen lässt. Unter solchen Völkern sind Zusammenkünfte und Berathschlagungen zwischen den Stamm- und Familienhäuptern über die Ernennung eines Nachfolgers eine nicht ungewöhnliche Erscheinung. Nach Allem aber, was wir von den sieben Verschworenen wissen, scheinen sie entweder solche Häupter der Stämme, die die persische Nation ausmachten, oder auch der Familie der Pasargaden gewesen zu sein. War aber dies der Fall, so klärt es sich leicht auf, wie eine Aristocratie dieser Art, die aus den Häuptern der Stämme bestand, vorgeschlagen werden konnte. Der Entwurf zu einer Democratie scheint aber alsdann nach eben diesen Grundsätzen nichts Anderes als einen Vorrang des herrschenden Stammes, wie der goldenen Horde bei den Mongolen, zu bezeichnen. Diese Vorstellungsart, wenn es auch unmöglich bleibt sie streng zu erweisen, scheint wenig-

γοισι περὶ τῶν πρηγμάτων πάντων, καὶ ἐλέχθησαν λόγοι ἄπιστοι μὲν ἐνίοισι Ἑλλήνων, ἐλέχθησαν δ' ὦν. Ὀτάνης μὲν ἐκέλευε ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα, λέγων τάδε. "ἐμοὶ δοκέει ἕνα μὲν ἡμέων μούναρχον μηκέτι γενέσθαι· οὔτε γὰρ ἡδὺ οὔτε ἀγαθόν. εἴδετε μὲν γὰρ τὴν Καμβύσεω ὕβριν ἐπ' ὅσον ἐξῆλθε, μετεσχήκατε δὲ καὶ τῆς τοῦ Μάγου ὕβριος. κῶς δ' ἂν εἴη χρῆμα κατηρτημένον μουναρχίη, τῇ ἔξεστι ἀνευθύνῳ ποιέειν τὰ βούλεται; καὶ γὰρ ἂν τὸν ἄριστον ἀνδρῶν πάντων στάντα ἐς ταύτην τὴν ἀρχὴν ἐκτὸς τῶν ἐωθότων νοημάτων στήσειε. ἐγγίνεται μὲν γάρ οἱ ὕβρις ὑπὸ τῶν παρεόντων ἀγαθῶν, φθόνος δὲ ἀρχῆθεν ἐμφύεται ἀνθρώπῳ. δύο δ' ἔχων ταῦτα ἔχει πᾶσαν κακότητα· τὰ μὲν γὰρ ὕβρι κεκορημένος ἔρδει πολλὰ καὶ ἀτάσθαλα, τὰ δὲ φθόνῳ. καίτοι ἄνδρα γε τύραννον ἄφθονον ἔδει εἶναι, ἔχοντά γε πάντα τὰ ἀγαθά. τὸ δ' ὑπεναντίον τούτου ἐς τοὺς πολιήτας πέφυκε· φθονέει γὰρ τοῖσι ἀρίστοισι περιεοῦσί τε καὶ ζώουσι, χαίρει δὲ τοῖσι κακίστοισι τῶν ἀστῶν, διαβολὰς δὲ ἄριστος ἐνδέκεσθαι. ἀναρ-

stens die einzige, welche dem Geist des Orients angemessen ist." — *ἐλέχθησαν δ' ὦν:* sie wurden nun aber einmal gesagt. Gerade so ὦν IV, 5. 187. VI, 82; und ähnlich VIII, 109 u. 133. — *ἕνα μέν:* diesem *μέν* entspricht *πλῆθος δὲ ἄρχον* gegen Ende des Cap. Otanes hatte folgenden Gegensatz im Sinne: *ἕνα μὲν ἡμέων μούναρχον μηκέτι γενέσθαι, ἀλλὰ τὸ πλῆθος ἄρχειν* oder *τὸ δὲ πλῆθος ἄρχειν.*; aber ehe er ihn ganz ausspricht, begründet er erst ausführlich das erste Glied, die Verwerfung der Monarchie, und wo er auf den Gegensatz kommt, kann er nicht mehr an das *ἐμοὶ δοκέει* anknüpfen, sondern er kehrt da die Ordnung um, begründet erst die Democratie (*πλῆθος δὲ ἄρχον*...), und schliesst mit seiner Abstimmung dafür: *τίθεμαι ὦν γνώμην* ... Im Ganzen also entspricht zwar diesem *μέν* das *δέ* hinter *πλῆθος*; aber wegen der Umkehrung und weil nicht an *ἐμοὶ δοκέει* angeknüpft werden kann, ist es nicht der genaue Gegensatz selbst, sondern nur im Allgemeinen das Uebergehen zu ihm. — *μετεσχήκατε:* *expertiestis.* — *κατηρτημένον:* (wofür vielleicht *κατηρτισμένον* zu schreiben) *bene compositum, bene ordinatum.* — *ἀνευθύνῳ:* unverantwortlich; Gegensatz *ὑπεύθυνος.* — *στήσειε:* Subject *ἡ μουναρχίη.* — *καίτοι:* *quamquam*, und doch. — *ἄφθονον:* Thom. M. s. v. *ἄφθονος· ὁ μὴ φθονῶν.* Nur hier in diesem Sinne; sonst, reichlich. — *ἔδει:* nämlich *ἄν*; zu III, 45. — *τούτου*: nämlich *τοῦ ἄφθονον εἶναι.* — *πέφυκε*: als Subject ist wohl *ὁ μούναρχος* zu verstehen; *τὸ ὑπεναντίον* ist dagegen Prädikat. — *ἀναρμ. δὲ πάντων· ἤν τε*

μοστότατον δὲ πάντων· ἤν τε γὰρ αὐτὸν μετρίως θωυμάζῃς, ἄχθεται ὅτι οὐ κάρτα θεραπεύεται, ἤν τε θεραπεύῃ τις κάρτα, ἄχθεται ἅτε θωπί. τὰ δὲ δὴ μέγιστα ἔρχομαι ἐρέων· νόμαιά τε κινεῖ πάτρια καὶ βιᾶται γυναῖκας κτείνει τε ἀκρίτους. πλῆθος δὲ ἄρχον πρῶτα μὲν οὔνομα πάντων κάλλιστον ἔχει, ἰσονομίην, δεύτερα δὲ τούτων τῶν ὁ μούναρχος, ποιέει οὐδέν· πάλῳ μὲν ἀρχὰς ἄρχει, ὑπεύθυνον δὲ ἀρχὴν ἔχει, βουλεύματα δὲ πάντα ἐς τὸ κοινὸν ἀναφέρει. τίθεμαι ὦν γνώμην μετέντας ἡμέας μουναρχίην τὸ πλῆθος ἀέξειν· ἐν γὰρ τῷ πολλῷ ἔνι τὰ πάντα." Ὀτάνης μὲν δὴ
81 ταύτην γνώμην ἐσέφερε, Μεγάβυζος δὲ ὀλιγαρχίῃ ἐκέλευε ἐπιτράπειν, λέγων τάδε. "τὰ μὲν Ὀτάνης εἶπε τυραννίδα παύων, λελέχθω κἀμοὶ ταῦτα, τὰ δ᾽ ἐς τὸ πλῆθος ἄνωγε φέρειν τὸ κράτος, γνώμης τῆς ἀρίστης ἡμάρτηκε· ὁμίλου γὰρ ἀχρηίου οὐδέν ἐστι ἀξυνετώτερον οὐδὲ ὑβριστότερον. καίτοι τυράννου ὕβριν φεύγοντας ἄνδρας ἐς δήμου ἀκολάστου ὕβριν πεσέειν ἐστὶ οὐδαμῶς ἀνασχετόν. ὁ μὲν γὰρ εἴ τι ποιέει, γινώσκων ποιέει, τῷ δὲ οὐδὲ γινώσκειν ἔνι· κῶς γὰρ ἂν γινώσκοι ὃς οὔτ᾽ ἐδιδάχθη οὔτε οἶδε καλὸν οὐδὲν οὐδ᾽ οἰκήϊον, ὠθέει τε ἐμπεσὼν τὰ πρήγματα ἄνευ νόου, χειμάρρῳ ποταμῷ ἴκελος; δήμῳ μέν νυν, οἳ Πέρσῃσι κακὸν νοέουσι, οὗτοι χράσθων, ἡμεῖς δὲ ἀνδρῶν τῶν ἀρί-

γὰρ . . . : = ὅ τι δὲ ἀναρμοστότατον πάντων ἐστί, ἔστι τοῦτο ὅτι, ἤν τε αὐτὸν μ. θ., ἄχθεται. . . So erklärend findet sich γάρ auch nach dem Superl. Isocr. Pac. d. 170 b ὃ δὲ πάντων σχετλιώτατον· οὓς γὰρ ὁμολογήσαιμεν ἂν πονηροτάτους εἶναι . . . — ἔρχομαι ἐρέων: zu I, 19. — βιᾶται: zu I, 19. — ἀρχὰς ἄρχει: sie setzt die Obrigkeiten ein. — ἀναφέρει: zu I, 157. — τίθεμαι ὦν γνώμην: wie oben 73 νῦν ὦν τίθεμαι ψῆφον. Auch VIII, 123. — ἐν γὰρ τῷ πολλῷ ἔνι τὰ πάντα: "i. e. ἐν γὰρ τῷ τοὺς πολλοὺς ἄρχειν ἔνεστι πάντα τὰ ἀγαθὰ ἅ τις ἂν ἀρχῇ οἷά τ᾽ ᾖ παρέχειν." Steger.

C. 81. ἐπιτράπειν: nämlich τὰ πρήγματα, was VI, 26 dabei steht. — τὰ δ᾽ ἐς τὸ . . . : was aber das betrifft, dass er . . . ; so, oft *quod*; Caesar B. G. I, 13 *quod improviso unum pagum adortus esset* . . . — οἰκήιον = καθῆκον, πρέπον (*honestum, conveniens*). — ὠθέει τε ἐμπ. . . νόου: "*qui deproperet negotia cum impetu sine mente irruens, de plebe quae in res publicas tractandas si inciderit, omnia propere transigi temereque confici velit. Hic enim cogitandum de temeritate concionum graecarum et oratorum impetu temerario, ut dudum monuit Valcken.*"

στων ἐπιλέξαντες ὁμιλίην τούτοισι περιθέωμεν τὸ κράτος·
ἐν γὰρ δὴ τούτοισι καὶ αὐτοὶ ἐνεσόμεθα, ἀρίστων τε ἀν-
δρῶν οἰκὸς ἄριστα βουλεύματα γίνεσθαι." Μεγάβυζος μὲν
δὴ ταύτην γνώμην ἐσέφερε, τρίτος δὲ Δαρεῖος ἀπεδείκνυτο 82
γνώμην, λέγων "ἐμοὶ δὲ τὰ μὲν εἶπε Μεγάβυζος ἐς τὸ πλῆ-
θος ἔχοντα δοκέει ὀρθῶς λέξαι, τὰ δ᾽ ἐς ὀλιγαρχίην οὐκ ὀρ-
θῶς. τριῶν γὰρ προκειμένων, καὶ πάντων τῶν λέγω ἀρίστων
ἐόντων, δήμου τε ἀρίστου καὶ ὀλιγαρχίης καὶ μουνάρχου,
πολλῷ τοῦτο προέχειν λέγω. ἀνδρὸς γὰρ ἑνὸς τοῦ ἀρίστου
οὐδὲν ἄμεινον ἂν φανείη· γνώμῃ γὰρ τοιαύτῃ χρεώμενος
ἐπιτροπεύοι ἂν ἀμωμήτως τοῦ πλήθεος, σιγῷτό τε ἂν βου-
λεύματα ἐπὶ δυσμενέας ἄνδρας οὕτω μάλιστα. ἐν δὲ ὀλι-
γαρχίῃ πολλοῖσι ἀρετὴν ἐπασκέουσι ἐς τὸ κοινὸν ἔχθεα ἴδια
ἰσχυρὰ φιλέει ἐγγίνεσθαι· αὐτὸς γὰρ ἕκαστος βουλόμενος
κορυφαῖος εἶναι γνώμῃσί τε νικᾶν ἐς ἔχθεα μεγάλα ἀλλή-
λοισι ἀπικνέονται, ἐξ ὧν στάσιες ἐγγίνονται, ἐκ δὲ τῶν
στασίων φόνος· ἐκ δὲ τοῦ φόνου ἀπέβη ἐς μουναρχίην, καὶ
ἐν τούτῳ διέδεξε ὅσῳ ἐστὶ τοῦτο ἄριστον. δήμου τε αὖ
ἄρχοντος ἀδύνατα μὴ οὐ κακότητα ἐγγίνεσθαι· κακότητος
τοίνυν ἐγγινομένης ἐς τὰ κοινὰ ἔχθεα μὲν οὐκ ἐγγίνεται
τοῖσι κακοῖσι, φιλίαι δὲ ἰσχυραί· οἱ γὰρ κακοῦντες τὰ
κοινὰ συγκύψαντες ποιεῦσι. τοῦτο δὲ τοιοῦτο γίνεται ἐς
ὃ ἂν προστάς τις τοῦ δήμου τοὺς τοιούτους παύσῃ. ἐκ δὲ
αὐτῶν θωυμάζεται οὗτος δὴ ὑπὸ τοῦ δήμου, θωυμαζόμενος

Baehr. — *ἐπιλέξαντες*: zu I, 214. — *περιθέωμεν*: zu I, 129.

C. 82. *ἐς τὸ πλ. ἔχοντα*: zu III, 48. — *καὶ πάντων*: **und zwar**; zu I, 52. — *πολλῷ τοῦτο*: *hoc postremum*, *τὸ μούναρχον εἶναι*. Gerade so weiter unten *ὅσῳ ἐστὶ τοῦτο ἄριστον*. — *πολλοῖσι ἀρ. ἐπασκέουσι ἐς τὸ κ.*: Apposition und weitere Ausführung von *ἐν ὀλιγαρχίῃ*, **wo viele ihre Tüchtigkeit für das Gemeinwohl geltend machen wollen**. — *αὐτὸς γὰρ ἕκαστος*: *unusquisque ipse s. solus*; so V, 78. VII, 19. VIII, 10. 123. — *γνώμῃσί τε νικᾶν*: zu I, 61. — *ἀπέβη* und *διέδεξε*: Aorist des Pflegens; zu I, 194. Ueber *διέδεξε*: zu II, 134. — *ἀδύνατα μὴ οὐ*: *non potest fieri quin*. — *συγκύψαντες*: **unter Einer Decke steckend**; noch VII, 145. — *ἐς ὃ ἄν*: zu III, 81. — *τοῦ δήμου*: hängt von *προστάς* ab. — *τοὺς τοιούτους*: nämlich *τοὺς τὰ κοινὰ κακοῦντας*. — *ἐκ δὲ αὐτῶν*:

δὲ ἂν ὢν ἐφάνη μούναρχος ἐών· καὶ ἐν τούτῳ δηλοῖ καὶ οὗτος ὡς ἡ μουναρχίη κράτιστον. ἑνὶ δὲ ἔπεϊ πάντα συλλαβόντα εἰπεῖν, κόθεν ἡμῖν ἡ ἐλευθερίη ἐγένετο καὶ τεῦ δόντος; κότερα παρὰ δήμου ἢ ὀλιγαρχίης ἢ μουνάρχου; ἔχω τοίνυν γνώμην ἡμέας ἐλευθερωθέντας διʼ ἕνα ἄνδρα τὸ τοιοῦτο περιστέλλειν, χωρίς τε τούτου πατρίους νόμους μὴ λύειν ἔχοντας εὖ· οὐ γὰρ ἄμεινον."

83 *Γνῶμαι μὲν δὴ τρεῖς αὗται προεκέατο, οἱ δὲ τέσσερες τῶν ἑπτὰ ἀνδρῶν προσέθεντο ταύτῃ. ὡς δὲ ἑσσώθη τῇ γνώμῃ ὁ Ὀτάνης Πέρσῃσι ἰσονομίην σπεύδων ποιῆσαι, ἔλεξε ἐς μέσον αὐτοῖσι τάδε. "ἄνδρες στασιῶται, δῆλα γὰρ δὴ ὅτι δεῖ ἕνα γέ τινα ἡμέων βασιλέα γενέσθαι, ἤτοι κλήρῳ γε λαχόντα, ἢ ἐπιτρεψάντων τῷ Περσέων πλήθεϊ τὸν ἂν ἐκεῖνο ἕληται, ἢ ἄλλῃ τινὶ μηχανῇ· ἐγὼ μέν νυν ὑμῖν οὐκ ἐναγωνιεῦμαι· οὔτε γὰρ ἄρχειν οὔτε ἄρχεσθαι ἐθέλω· ἐπὶ τούτῳ δὲ ὑπεξίσταμαι τῆς ἀρχῆς, ἐπʼ ᾧ τε ὑπʼ οὐδενὸς ὑμέων ἄρξομαι, οὔτε αὐτὸς ἐγὼ οὔτε οἱ ἀπʼ ἐμεῦ αἰεὶ γινόμενοι." τούτου εἴπαντος ταῦτα ὡς συνεχώρεον οἱ ἓξ ἐπὶ τούτοισι, οὗτος μὲν δή σφι οὐκ ἐνηγωνίζετο ἀλλʼ ἐκ τοῦ μέσου κατῆστο, καὶ νῦν αὕτη ἡ οἰκίη διατελέει μούνη ἐλευθέρη ἐοῦσα Περσέων, καὶ ἄρχεται τοσαῦτα ὅσα αὐτὴ θέλει,*
84 *νόμους οὐκ ὑπερβαίνουσα τοὺς Περσέων. οἱ δὲ λοιποὶ τῶν ἑπτὰ ἐβουλεύοντο ὡς βασιλέα δικαιότατα στήσονται· καί σφι ἔδοξε Ὀτάνῃ μὲν καὶ τοῖσι ἀπʼ Ὀτάνεω αἰεὶ γινομένοισι, ἢν ἐς ἄλλον τινὰ τῶν ἑπτὰ ἔλθῃ ἡ βασιληίη, ἐξαίρετα δίδοσθαι ἐσθῆτά τε Μηδικὴν ἔτεος ἑκάστου καὶ τὴν*

in Folge dessen. — *τὸ τοιοῦτο*: auf *ἕνα ἄνδρα* zu beziehen, also *τὸ ἕνα ἄνδρα τὸ κράτος ἔχειν*. — *περιστέλλειν*: zu I, 98. — *οὐ γὰρ ἄμεινον*: zu I, 187.

C. 83. *στασιῶται* = *ἐκ τῆς αὐτῆς στάσεως*. — *ἤτοι*: zu I, 11. — *κλήρῳ*: zu I, 76. — *ἐπιτρεψάντων*: nämlich *ἡμέων*. — *ἄρξομαι* = *ἀρχθήσομαι* — *ἐκ τοῦ μέσου κατῆστο*: *e medio secessit*; wodurch angedeutet wird, dass man sich nicht mehr um die Sache kümmert; so IV, 118. VIII, 22. 73.

C. 84. *ἐσθῆτα Μηδικήν*: Heeren I, 1 S. 214: "Die persischen Kleidungen sind doppelter Art. Einige tragen ein weites und vollständiges Gewand; andere hingegen eine leichtere und eng anschliessende Kleidung. Ich halte die ersten für diejenigen, welche bereits das Medische Kleid vom Könige zum Geschenk bekommen

πᾶσαν δωρεὴν ἣ γίνεται ἐν Πέρσῃσι τιμιωτάτη. τοῦδε δὲ εἵνεκεν ἐβουλεύσαντό οἱ δίδοσθαι ταῦτα, ὅτι ἐβούλευσέ τε πρῶτος τὸ πρῆγμα καὶ συνέστησε αὐτούς. ταῦτα μὲν δὴ Ὀτάνῃ ἐξαίρετα, τάδε δὲ ἐς τὸ κοινὸν ἐβούλευσαν, παριέναι ἐς τὰ βασιλήια πάντα τὸν βουλόμενον τῶν ἑπτὰ ἄνευ ἐσαγγελέος, ἢν μὴ τυγχάνῃ εὕδων μετὰ γυναικὸς βασιλεύς, γαμέειν δὲ μὴ ἐξεῖναι ἄλλοθεν τῷ βασιλέι ἢ ἐκ τῶν συνεπαναστάντων. περὶ δὲ τῆς βασιληίης ἐβουλεύσαντο τοιόνδε· ὅτευ ἂν ὁ ἵππος ἡλίου ἐπαναιέλλοντος πρῶτος φθέγξηται ἐν τῷ προαστείῳ αὐτῶν ἐπιβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην.

Δαρείῳ δὲ ἦν ἱπποκόμος ἀνὴρ σοφός, τῷ οὔνομα ἦν 85
Οἰβάρης. πρὸς τοῦτον τὸν ἄνδρα, ἐπείτε διελύθησαν, ἔλεξε Δαρεῖος τάδε. "Οἴβαρες, ἡμῖν δέδοκται περὶ τῆς βασιληίης ποιέειν κατὰ τάδε· ὅτευ ἂν ὁ ἵππος πρῶτος φθέγξηται ἅμα τῷ ἡλίῳ ἀνιόντι αὐτῶν ἐπαναβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην. νῦν ὦν εἴ τινα ἔχεις σοφίην, μηχανῶ ὡς ἂν ἡμεῖς σχῶμεν τοῦτο τὸ γέρας καὶ μὴ ἄλλος τις." ἀμείβεται

haben; oder auch vielleicht nach dem Verhältniss ihres Standes, es tragen durften; die andern für die, welchen dieser Vorzug noch nicht zu Theil ward, und die daher in der altpersischen Kleidung erschienen. Alles was von der medischen Kleidung gesagt wird, passt auf die ersten. Es war ein weites und langes bis auf die Füsse herabgehendes Gewand, welches den Körper so einhüllte, dass man die Mängel desselben nicht wahrnehmen konnte. Es ist aber eine falsche Meinung, wenn man glaubt, dass **alle** Perser sogleich diese Art Gewänder von den Medern angenommen hätten. Es war vielmehr Kleidung des Hofes, nämlich des Königs, und aller Derer, denen er dieselbe als ein Ehrengeschenk gab (Xen. Cyr. 8, 1, 40. 3, 1). Es blieb auch noch in der Folge das gewöhnliche Ehrengeschenk, als der Gebrauch desselben schon allgemein geworden war; allein die Kleider, welche der König gab, pflegten sich dann durch ihre Feinheit und die Schöne der Farben zu unterscheiden. Die andere Kleidung halte ich für die altpersische Tracht. Diese war von Leder und schloss eng an. Ihr werdet gegen ein Volk fechten, sagt Sandanes zum Crösus (Her. I, 71), das lederne Kleider und Beinkleider trägt." Dass Xerxes die Akanthier mit medischer Kleidung beschenkte, erzählt H. VII, 116. — *ἡ . . . τιμιωτάτη*: noch erwähnt III, 160 u. VII, 8, 4. — *συνέστησε*: zu I, 103. — *παριέναι*: (von *πάρειμι*) **den freien Zutritt**. — *ἡλίου ἐπαν.*: bekanntlich verehrten die Perser die Sonne. Ueber *ἐπανατέλλειν*: zu III, 104.

C. 85. *γέρας*: zu III, 142. —

Οἰβάρης τοισίδε. "εἰ μὲν δὴ ὦ δέσποτα ἐν τούτῳ τοί ἐστι
ἢ βασιλέα εἶναι ἢ μή, θάρσεε τούτου εἵνεκεν καὶ θυμὸν ἔχε
ἀγαθόν, ὡς βασιλεὺς οὐδεὶς ἄλλος πρὸ σεῦ ἔσται· τοιαῦτα
ἔχω φάρμακα." λέγει Δαρεῖος. "εἰ τοίνυν τι τοιοῦτον ἔχεις
σόφισμα, ὥρη μηχανᾶσθαι καὶ μὴ ἀναβάλλεσθαι, ὡς τῆς
ἐπιούσης ἡμέρης ὁ ἀγὼν ἡμῖν ἐστί." ἀκούσας ταῦτα ὁ Οἰ-
βάρης ποιέει τοιόνδε. ὡς ἐγίνετο ἡ νύξ, τῶν θηλέων ἵππων
μίαν, τὴν ὁ Δαρείου ἵππος ἔστεργε μάλιστα, ταύτην ἀγα-
γὼν ἐς τὸ προάστειον κατέδησε καὶ ἐπήγαγε τὸν Δαρείου
ἵππον, καὶ τὰ μὲν πολλὰ περιῆγε ἀγχοῦ τῇ ἵππῳ, ἐγχρίμ-
86 *πτων τῇ θηλέῃ, τέλος δὲ ἐπῆκε ὀχεῦσαι τὴν ἵππον. ἅμ'*
ἡμέρῃ δὲ διαφωσκούσῃ οἱ ἕξ, κατὰ συνεθήκαντο, παρῆσαν
ἐπὶ τῶν ἵππων· διεξελαυνόντων δὲ κατὰ τὸ προάστειον,
ὡς κατὰ τοῦτο τὸ χωρίον ἐγίνοντο ἵνα τῆς παροιχομένης
νυκτὸς κατεδέδετο ἡ θήλεα ἵππος, ἐνθαῦτα ὁ Δαρείου ἵπ-
πος προσδραμὼν ἐχρεμέτισε· ἅμα δὲ τῷ ἵππῳ τοῦτο ποι-
ήσαντι ἀστραπὴ ἐξ αἰθρίης καὶ βροντὴ ἐγένετο. ἐπιγενό-
μενα δὲ ταῦτα τῷ Δαρείῳ ἐτελέωσέ μιν ὥσπερ ἐκ συνθέτου
τευ γενόμενα· οἱ δὲ καταθορόντες ἀπὸ τῶν ἵππων προσε-
κύνεον τὸν Δαρεῖον.

87 *Οἱ μὲν δή φασι τὸν Οἰβάρεα ταῦτα μηχανήσασθαι, οἱ δὲ τοιάδε (καὶ γὰρ ἐπ' ἀμφότερα λέγεται ὑπὸ Περσέων), ὡς τῆς ἵππου ταύτης τῶν ἄρθρων ἐπιψαύσας τῇ χειρὶ ἔχοι αὐτὴν κρύψας ἐν τῇσι ἀναξυρίσι· ὡς δὲ ἅμα τῷ ἡλίῳ ἀνιόντι ἀπίεσθαι μέλλειν τοὺς ἵππους, τὸν Οἰβάρεα τοῦτον ἐξείραντα τὴν χεῖρα πρὸς τοῦ Δαρείου ἵππου τοὺς μυκτῆ-*

ἐν τούτῳ τοί ἐστι: gerade so VI, 109 *ἐν σοὶ νῦν Καλλίμαχέ ἐστι*, wofür weiter unten steht *ἐκ σέο ἤρτηται*. Zu I, 125. — *πολλά*: *saepius*; nicht mit *τὰ μέν* zu verbinden, denn diesem entspricht ja *τέλος δέ*. — *ἐγχρίμπτων*: zu II, 60.

C. 86. *κατὰ τοῦτο . . . ἵνα*: zu I, 76 u. III, 64. — *ἐτελέωσε*: nämlich *βασιλέα εἶναι*. Zu I, 120. — *ἐκ συνθέτου τευ*: aus einer gewissen Bestimmung.

C. 87. *τῶν ἄρθρων*: *genitalia*; so noch IV, 2; aber III, 129 die Gelenke. — *αὐτήν*: nämlich *τὴν χεῖρα*. — *ὡς . . . μέλλειν*: zu I, 24. — *ἀπίεσθαι*: eig. *dimitti* = *in locum certaminis procedere*. — *τοὺς ἵππους*: nämlich *τῶν ἕξ στασιωτέων*. — *ἐξείραντα*: *exserentem*. — *φρι-*

ρας προσενεῖκαι, τὸν δὲ αἰσθόμενον φριμάξασθαί τε καὶ χρεμετίσαι.

Δαρεῖός τε δὴ ὁ Ὑστάσπεος βασιλεὺς ἀπεδέδεκτο, καί 88
οἱ ἔσαν ἐν τῇ Ἀσίῃ πάντες κατήκοοι πλὴν Ἀραβίων, Κύρου τε καταστρεψαμένου καὶ ὕστερον αὖτις Καμβύσεω. Ἀράβιοι δὲ οὐδαμὰ κατήκουσαν ἐπὶ δουλοσύνῃ Πέρσῃσι, ἀλλὰ ξεῖνοι ἐγένοντο παρέντες Καμβύσεα ἐπ' Αἴγυπτον· ἀεκόντων γὰρ Ἀραβίων οὐκ ἂν ἐσβάλοιεν Πέρσαι ἐς Αἴγυπτον. γάμους τε τοὺς πρώτους ἐγάμεε Πέρσῃσι ὁ Δαρεῖος, Κύρου μὲν δύο θυγατέρας Ἄτοσσάν τε καὶ Ἀρτυστώνην, τὴν μὲν Ἄτοσσαν προσυνοικήσασαν Καμβύσῃ τε τῷ ἀδελφεῷ καὶ αὖτις τῷ Μάγῳ, τὴν δὲ Ἀρτυστώνην παρθένον. ἑτέρην δὲ Σμέρδιος τοῦ Κύρου θυγατέρα ἔγημε, τῇ οὔνομα ἦν Πάρμυς· ἔσχε δὲ καὶ τὴν τοῦ Ὀτάνεω θυγατέρα, ἣ τὸν Μάγον κατάδηλον ἐποίησε. δυνάμιός τε πάντα οἱ ἐπιπλέατο. πρῶτον μέν νυν τύπον ποιησάμενος λίθινον ἔστησε· ζῷον δέ οἱ ἐνῆν ἀνὴρ ἱππεύς, ἐπέγραψε δὲ γράμματα λέγοντα τάδε,

μάξασθαι: Gloss. Her. *φριμάξασθαι· φρυάξασθαι, φυσῆσαι.*
C. 88. *κατήκοοι*: zu I, 141. — *οὐδαμὰ κατήκουσαν*: Ritter Erdk. II, S. 191: "Wenn auch nicht immer die Bewohner von Iemen (*Ἀράβιοι*) so ganz unabhängig waren, wie es Herodot von ihnen zu Darius' Zeit rühmt, und nach ihm es öfter behauptet worden, dass sie nie fremden Befehlen gehorchen mussten: so geschah dies doch immer nur auf sehr kurze Zeit, und alle Eroberungsprojecte scheiterten bald wieder an Iemens eigenthümlicher Insulirung." — *ἐπὶ δουλοσύνῃ* = *δοῦλοι ὄντες.* – *παρέντες*: zu I, 14. — *ἀεκόντων γὰρ Ἀραβίων*: erzählt ist die Sache III, 7 u. 9. — *ἐγάμεε Πέρσῃσι*: der Dativ ist *dativus ethicus*, oder wie Buttm. sagt, ein leiserer *dat. commodi.* D. heirathet für die Perser, indem er dabei Rücksicht auf diese nimmt; denn er will ihnen Könige zeugen, die ihnen auch zugleich durch ihre Abkunft zusagen, und dem im Cap. 84 erwähnten Gesetze entsprechen sollen. — *ἑτέρην δὲ . . . ἔγημε*: *praeterea uxorem duxit.* — *ἔσχε*: zu III, 31. — *τὴν τοῦ Ὀτάνεω θ.*: nämlich Phädyme, nach III, 68. Ausser den vier hier erwähnten Frauen hatte Darius, schon ehe er König wurde, die Tochter des Gobryas geheirathet, wie aus VII, 2 erhellt. — *δυνάμιός τε . . . ἐπιπλέατο* (*ἐπίμπλαντο*): *omnia ei potentia complebantur*, i. e. *potentia eius omni ex parte stabiliebatur*, *sive*, *ubique potentiae eius vestigia comparebant.* Ueber den Plural im Verbum vgl. IV, 149. — *πρῶτον μέν*: dem entspricht *ποιήσας δὲ ταῦτα* = *μετὰ δὲ ταῦτα.* — *τύπον*: ein Denkmahl. — *ζῷον*:

"*Δαρεῖος ὁ Ὑστάσπεος σύν τε τοῦ ἵππου τῇ ἀρετῇ" τὸ οὔνομα λέγων "καὶ Οἰβάρεος τοῦ ἱπποκόμου ἐκτήσατο τὴν*
89 *Περσέων βασιληίην." ποιήσας δὲ ταῦτα ἐν Πέρσῃσι ἀρχὰς κατεστήσατο εἴκοσι, τὰς αὐτοὶ καλέουσι σατραπηίας· καταστήσας δὲ τὰς ἀρχὰς καὶ ἄρχοντας ἐπιστήσας ἐτάξατο φόρους οἱ προσιέναι κατ᾽ ἔθνεά τε καὶ πρὸς τοῖσι ἔθνεσι τοὺς πλησιοχώρους προστάσσων, καὶ ὑπερβαίνων τοὺς προσεχέας, τὰ ἑκαστέρω ἄλλοισι ἄλλα ἔθνεα νέμων. ἀρχὰς δὲ καὶ φόρων πρόσοδον τὴν ἐπέτεον κατὰ τάδε διεῖλε. τοῖσι μὲν αὐτέων ἀργύριον ἀπαγινέουσι εἴρητο Βαβυλώνιον*

zu I, 70. — *τὸ οὔνομα λ.:* hier stand nämlich der Name des Pferdes.

C. 89. *ἐτάξατο*: er legte Abgaben auf, um sie für sich (Med.) einzutreiben. So II, 65 *ζημίην τάξασθαι*. Anders III, 13. — *προσιέναι:* das entsprechende Substantiv ist das bald darauf folgende *πρόσοδος*. — *κατὰ ἔθνεά τε καὶ . . . προστάσσων*: die Verbindung durch *τὲ καί* hat darum etwas Anstössiges, weil die beiden durch *τὲ καί* verbundenen Satzglieder nicht homogen sind. H. hätte allenfalls sagen können: *κατὰ ἔθνεά τε καὶ κατὰ χώρας*, nach den Volksstämmen und nach dem Lokal, wenn in der lokalen Eintheilung auch verschiedene Stämme vereinigt waren. Da sich nun dies zweite Glied nicht in eine genau entsprechende Form bringen liess, so nahm H. eine Umschreibung durch das Participium, behielt aber gleichwohl die Coordination durch *τὲ καί* bei, weil sie dem Sinne nach wirklich vorhanden ist. Aehnlich Xen. Cyrop. 1, 3, 1 *ἔρχεται δ᾽ αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα, καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα = αὐτή τε ἡ Μανδάνη καὶ ὁ Κῦρος*. Der Sinn unserer Stelle ist also: Darius bildete die Satrapien theils nach den Volksstämmen, theils nach dem Lokal, indem er einem Hauptstamme als dem Hauptbestandtheile einer Satrapie noch die nächsten Nachbaren zuordnete (*προστάσσων*, wofür im folgenden Satze der Varietät wegen *νέμων* steht), oder selbst indem er über die nächsten Nachbarn noch hinausging und entferntere Völker hinzufügte, *ἄλλοισιν ἄλλα*, dem einen Hauptstamme diese Völker, dem andern jene. (Ein frappantes Beispiel vom letzteren Falle ist die 14. Satrapie). Ritter Erdk. 8. Theil. 3. Buch. 6. Band 1. Abtheilg. S. 85: "Das Herodoteische Satrapienverzeichniss ist offenbar ein administratives Aktenstück, eine Steuerrolle, darin die jährlichen Tribute und die Völker, die sie brachten, angegeben waren. Man sieht dies schon daraus, dass Völker zusammengestellt werden, die weder in Civilsachen, noch in Militairangelegenheiten denselben beständigen Satrapen haben konnten. Die kleineren Völker waren den grössern beigesellt, um gerade Summen der Steuerquoten herauszubringen, denn es sind immer Tribute, deren Summen in zehn aufgehen." — *διεῖλε*: zu I, 94. — *τοῖσι μὲν αὐτέων . . . Εὐβοεικόν:* da die Tribute theils in Silber, theils in Gold festgestellt waren,

σταθμὸν τάλαντον ἀπαγινέειν, τοῖσι δὲ χρύσιον ἀπαγινέουσι Εὐβοϊκόν· τὸ δὲ Βαβυλώνιον τάλαντον δύναται Εὐβοΐδας ἑβδομήκοντα μνέας. ἐπὶ γὰρ Κύρου ἄρχοντος καὶ αὖτις Καμβύσεω ἦν κατεστηκὸς οὐδὲν φόρου πέρι, ἀλλὰ δῶρα ἀγίνεον· διὰ δὲ ταύτην τὴν ἐπίταξιν τοῦ φόρου καὶ παραπλήσια ταύτῃ ἄλλα λέγουσι Πέρσαι ὡς Δαρεῖος μὲν ἦν κάπηλος, Καμβύσης δὲ δεσπότης, Κῦρος δὲ πατήρ, ὁ μὲν ὅτι ἐκαπήλευε πάντα τὰ πρήγματα, ὁ δὲ ὅτι χαλεπός τε ἦν καὶ ὀλίγωρος, ὁ δὲ ὅτι ἤπιός τε καὶ ἀγαθά σφι πάντα ἐμηχανήσατο. ἀπὸ μὲν δὴ Ἰώνων καὶ Μαγνήτων τῶν ἐν τῇ 90
Ἀσίῃ καὶ Αἰολέων καὶ Καρῶν καὶ Λυκίων καὶ Μιλυέων

so wurde für jenes als Gewicht das babylonische Talent, für dieses das euböische bestimmt. — *σταθμόν*: zu I, 14. — *Εὐβοΐδας ἑβδομήκοντα μνέας*: oder 72 attische Minen, d. h. nicht des gewöhnlichen solonischen Talentes, sondern des vorsolonischen *talentum atticum magnum*; es war der genaue Werth dieses Talents 8333⅓ solonische Drachmen, die Mine desselben 138⁸⁄₉ solonische Drachmen. (Die Hellenen rechneten bekanntlich das Talent zu 60 Minen, die Mine zu 100 Drachmen, die Drachme zu 6 Obolen. Die Drachme ist nach unserm Gelde ohngefähr 7½ Sgr.) Das babylonische Talent ist 72 solcher Minen, also 10000 solonische Drachmen; vgl. Böckh Metrolog. Untersuch. S. 48. Nach diesem Gelehrten hat wahrscheinlich H. dieses vorsolonische Talent unter dem euböischen gemeint, wobei freilich seine Angabe von 70 solcher Minen auf das babylonische Talent nicht genau ist, indem er ein zu rundes Verhältniss, blos nach Zehnern (60 : 70) angegeben haben könnte, oder, da seine Berechnung der Tribute mit jenem Ansatze durchaus nicht stimmt (vgl. c. 95), die Leseart *ἑβδομήκοντα* für unrichtig gehalten werden kann. — *δῶρα ἀγίνεον*: Heeren I, 1 S. 404: "Die von den Einwohnern eingetriebenen Summen heissen Geschenke, und es ist gewiss eine falsche Vorstellung, wenn man darin einen Beweis von der Milde und Gelindigkeit des Siegers finden will. Die hartnäckige Gegenwehr der mehrsten griechischen Städte in Vorderasien gegen die Feldherrn des Cyrus, und ihre Verzweiflung, welche sie zu dem Entschluss einer gänzlichen Auswanderung aus ihrem Vaterlande brachte, den einige wirklich ausführten (I, 164), sind wohl hinreichende Beweise vom Gegentheil. Allerdings aber hängt bei unbestimmten und blos willkührlich erhobenen Abgaben alles von dem Charakter des Herrschers ab, und die dem Cyrus beigelegte Milde erklärt sich leicht durch die Härte und den Druck seines Nachfolgers." — *ὀλίγωρος*: rücksichtslos. In demselben Sinne werden verbunden VI, 137 *ὕβρις* und *ὀλιγωρίη*.

C. 90. *Μαγνήτων τῶν ἐν τῇ Ἀσίῃ*: zum Unterschiede von jenen in Macedonien (VII, 176. 183. 193) wohnenden. Diese wohnten am Mäander und beim Berge Sipylus. — *Μιλυέων*: vgl. I, 173. Es scheint, dass sie, ehemals Bewohner von ganz Lykien, durch Einwanderung

καὶ Παμφύλων (εἷς γὰρ ἦν οἱ τεταγμένος φόρος οὗτος) προσήιε τετρακόσια τάλαντα ἀργυρίου. ὁ μὲν δὴ πρῶτος οὗτός οἱ νομὸς κατεστήκεε, ἀπὸ δὲ Μυσῶν καὶ Λυδῶν καὶ Λασονίων καὶ Καβαλίων καὶ Ὑγεννέων πεντακόσια τάλαντα· νομὸς δεύτερος οὗτος. ἀπὸ δὲ Ἑλλησποντίων τῶν ἐπὶ δεξιὰ ἐσπλέοντι καὶ Φρυγῶν καὶ Θρηίκων τῶν ἐν τῇ Ἀσίῃ καὶ Παφλαγόνων καὶ Μαριανδυνῶν καὶ Συρίων ἑξήκοντα καὶ τριηκόσια ἦν τάλαντα φόρος· νομὸς τρίτος οὗτος. ἀπὸ δὲ Κιλίκων ἵπποι τε λευκοὶ ἑξήκοντα καὶ τριηκόσιοι, ἑκάστης ἡμέρης εἷς γινόμενος, καὶ τάλαντα ἀργυρίου πεντακόσια· τούτων δὲ τεσσεράκοντα μὲν καὶ ἑκατὸν ἐς τὴν φρουρέουσαν ἵππον τὴν Κιλικίην χώρην ἀναισιμοῦτο, τὰ δὲ τριηκόσια καὶ ἑξήκοντα Δαρείῳ ἐφοίτα· νομὸς τέταρτος
91 *οὗτος. ἀπὸ δὲ Ποσειδηίου πόλιος, τὴν Ἀμφίλοχος ὁ Ἀμ-*

der Lykier ins Innere zurückgedrängt wurden. — *εἷς γὰρ ἦν* . . . : denn diesen wurde ein gemeinschaftlich zu entrichtender Tribut von ihm (Darius) auferlegt. — *πρῶτος οὗτός οἱ νομός*: diese Satrapie umfasste also beinahe die ganze westliche und südliche Küste von Kleinasien. — *καὶ Λασονίων καὶ Καβαλίων καὶ Ὑγεννέων*: von diesen Völkern wissen wir fast gar nichts; es ist nur wahrscheinlich, dass die ersteren beiden ein und dasselbe sind (H. sagt nämlich VII, 77 *Καβηλέες οἱ Μηίονες, Λασόνιοι δὲ καλεύμενοι*), und dass ihr Wohnsitz in Lydien nach Lykien zu gelegen habe, da die Lasonier mit den Milyern unter demselben Anführer standen im Heere des Xerxes. — *νομὸς δεύτερος*: dieser Satrapie, die verhältnissmässig klein war gegen die erste, war doch ein grösserer Tribut auferlegt, wahrscheinlich weil sie die reichen Lyder (*πολυαργυρώτατοι* V, 49) in sich fasste. — *τῶν ἐπὶ δεξιὰ ἐσπλέοντι*: zur Rechten der Einfahrt; über den Dativ, zu I, 14. — *Θρηίκων τῶν ἐν τῇ Ἀσίῃ*: mit dem Beinamen *Βιθυνοί*. — *Συρίων*: sind nach I, 72 dieselben als die Kappadokier. — *ἀπὸ δὲ Κιλίκων*: dass H's. Kilikien bedeutend grösser war als die später sogenannte Landschaft, beweisen mehrere Stellen. Gegen Norden und Nordosten erstreckte es sich bis über den Halys und bis nach Armenien hin; denn dieser Strom floss *ἐξ Ἀρμενίου οὔρεος διὰ Κιλίκων* (I, 72); gegen Osten reichte es bis an den Euphrat (V, 52), und gegen Süden höchst wahrscheinlich bis Posideion in Syrien; denn diese Stadt sei auf den Gränzen der Kilikier und Syrer erbaut worden (III, 91). — *ἀναισιμοῦτο*: zu I, 179.

C. 91. *Ἀμφίλοχος*: Sohn des Amphiaraos und der Eriphyle, ein Seher aus Argos, nahm an dem Zuge der Epigonen und nach Ilium Theil. Er gründete auch noch die Stadt Mallos in Kilikien und errichtete daselbst ein berühmtes Orakel. Noch ist er VII, 91 erwähnt mit dem Kalchas zusammen als Anfüh-

φιάρεω οἴκισε ἐπ' οὔροισι τοῖσι Κιλίκων τε καὶ Σύρων, ἀρξάμενον ἀπὸ ταύτης μέχρι Αἰγύπτου, πλὴν μοίρης τῆς Ἀραβίων (ταῦτα γὰρ ἦν ἀτελέα), πεντήκοντα καὶ τριηκόσια τάλαντα φόρος ἦν· ἔστι δὲ ἐν τῷ νομῷ τούτῳ Φοινίκη τε πᾶσα καὶ Συρίη ἡ Παλαιστίνη καλεομένη καὶ Κύπρος· νομὸς πέμπτος οὗτος. ἀπ' Αἰγύπτου δὲ καὶ Λιβύων τῶν προσεχέων Αἰγύπτῳ καὶ Κυρήνης τε καὶ Βάρκης (ἐς γὰρ τὸν Αἰγύπτιον νομὸν αὗται ἐκεκοσμέατο) ἑπτακόσια προσήιε τάλαντα, πάρεξ τοῦ ἐκ τῆς Μοίριος λίμνης γινομένου ἀργυρίου, τὸ ἐγίνετο ἐκ τῶν ἰχθύων· τούτου τε δὴ χωρὶς τοῦ ἀργυρίου καὶ τοῦ ἐπιμετρουμένου σίτου προσήιε ἑπτακόσια τάλαντα· σίτου γὰρ δυοκαίδεκα μυριάδας Περσέων τε τοῖσι ἐν τῷ Λευκῷ τείχεϊ τῷ ἐν Μέμφι κατοικημένοισι καταμετρέουσι καὶ τοῖσι τούτων ἐπικούροισι· νομὸς ἕκτος οὗτος. Σατταγύδαι δὲ καὶ Γανδάριοι καὶ Δαδίκαι τε καὶ Ἀπαρύται ἐς τὠυτὸ τεταγμένοι ἑβδομήκοντα καὶ ἑκατὸν τάλαντα προσέφερον· νομὸς οὗτος ἕβδομος. ἀπὸ Σούσων δὲ καὶ τῆς ἄλλης Κισσίων χώρης τριηκόσια· νομὸς ὄγδοος
οὗτος. ἀπὸ Βαβυλῶνος δὲ καὶ τῆς λοιπῆς Ἀσσυρίης χίλιά 92
οἱ προσήιε τάλαντα ἀργυρίου καὶ παῖδες ἐκτομίαι πεντακόσιοι· νομὸς εἴνατος οὗτος. ἀπὸ δὲ Ἀγβατάνων καὶ τῆς λοιπῆς Μηδικῆς καὶ Παρικανίων καὶ Ὀρθοκορυβαντίων

rer derjenigen Griechen, von denen die Pamphylier abstammen; vgl. noch Hom. Od. 15, 248. — *ἀρξάμενον*: nämlich *τινά*, wenn man anfängt, als *acc. abs.* zu fassen, wie die I, 129 erwähnten Participien. *ἀρξάμενον ἀπὸ ταύτης* ist eine pleonastische Wiederholung von *ἀπὸ Ποσ. πόλιος*, durch den dazwischen geschobenen Relativsatz motivirt, wie II, 13. — *ταῦτα*: *κατὰ σύνεσιν* auf *μοίρης* zu beziehen. — *Συρίη ἡ Π.*: zu I, 105. — *ἐκ τῶν ἰχθύων*; vgl. II, 149. — *μυριάδας*: nämlich *μεδίμνων*. — *Λευκῷ τείχεϊ*: der Eine der drei Theile der Stadt Memphis hiess *Λευκὸν τεῖχος*, und zwar *λευκόν* nach dem Scholiasten zu Thuc. I, 104 deswegen genannt, weil er von Steinen, nicht von Ziegeln erbaut war. — *νομὸς ἕκτος*: "*monet Maltebrun* (Nouv. Annal. d. voyag. II, p. 337) *sex praefecturas antea commemoratas a Persis nomine earum designatas fuisse, quae trans aquam* i. e. *Euphratem* (*occidentem versus*) *sitae sint.*" Bähr. — *ἕβδομος*: nach Ritter S. 101 in den Landschaften Margiana und Paropamisus zu suchen. — *Σούσων*: zu III, 70.

C. 92. *Παρικανίων καὶ Ὀρθοκορ.*: Ritter a. a. O. S. 88: "Diese beiden Völker sind verschiedene Stämme, die wohl nicht zu den Me-

πεντήκοντά τε καὶ τετρακόσια τάλαντα· νομὸς δέκατος οὗτος. Κάσπιοι δὲ καὶ Παυσοὶ καὶ Παντίμαθοί τε καὶ Δαρεῖται ἐς τὠυτὸ συμφέροντες διηκόσια τάλαντα ἀπαγίνεον· νομὸς ἑνδέκατος οὗτος. ἀπὸ Βακτριανῶν δὲ μέχρι Αἰγλῶν ἑξήκοντα καὶ τριηκόσια τά-
93 *λαντα φόρος ἦν· νομὸς δυωδέκατος οὗτος. ἀπὸ Πακτυϊκῆς δὲ καὶ Ἀρμενίων καὶ τῶν προσεχέων μέχρι τοῦ πόντου τοῦ Εὐξείνου τετρακόσια τάλαντα· νομὸς τρίτος καὶ δέκατος οὗτος. ἀπὸ δὲ Σαγαρτίων καὶ Σαραγγέων καὶ Θαμαναίων καὶ Οὐτίων καὶ Μύκων καὶ τῶν ἐν τῇσι νήσοισι οἰκεόντων τῶν ἐν τῇ Ἐρυθρῇ θαλάσσῃ, ἐν τῇσι*

dern gehörten, sondern nur in der Steuerrolle zu ihnen geschlagen waren. Die Parikanier werden in der 17. Satrapie mit den Aethiopen in Asien (d. i. den Gedrosiern) noch einmal genannt, wo sie als Wüstenbewohner erscheinen, die zwischen Gedrosien und Medien umherziehen mochten, daher sie zweierlei Satrapien angehören konnten. Der Sitz der Orthokorybantier wird von F. Rennel nach Currimabad verlegt." Es sollen dieselben sein als die *Οὔξιοι*, die im Herodoteischen Verzeichnisse nicht erwähnt sind. — *συμφέροντες*: nämlich *τὸν φόρον*. — *νομὸς ἑνδέκατος*: nach Heeren S. 288 zogen die vier diese Satrapie bildenden Völkerschaften an dem Caspischen Meere herum, vermuthlich zwischen demselben und dem Aralsee. — *Βακτριανῶν*: ihre Hauptstadt war Bactra, das heutige Balk. — *Αἰγλῶν*: über sie ist nichts bekannt; Rennel vermuthet, dass sie in dem heutigen Lande Kil oder Gil oder Kilan gewohnt haben.

C. 93. *Πακτυϊκῆς*: Ritter a. a. O. S. 91: "Die dreizehnte Satrapie umfasst Armenien und die Völker in nordwestlicher Richtung bis zum Pontos. Pactyike musste also hier identisch mit Gordyene sein; die Lesart ist aber verdächtig, da derselbe Name im östlichsten Persien zweimal in Verbindung mit dem Kaspatyros (III, 102 u. IV, 44) vorkommt. Deshalb vermuthet Lassen, es werde hier Herodot wahrscheinlich statt Pactyike des Volkes der Kurden erwähnt haben, das er später unter dem Namen der Chaldäer in derselben geographischen Stellung (VII, 63 *τουτέων* [scil. *Ἀσσυρίων*] *δὲ μεταξὺ Χαλδαῖοι*) aufführt, nämlich die nördlichen Chaldäer, die Xenophon noch im armenischen Gebirge vorfand (Anab. 4, 3, 4)." — *Σαγαρτίων*: nach Ritter S. 99 gränzten sie an Hyrcanien, Parthien, Chorasmien, d. h. man müsse sie in nordwestlicher Richtung von Drangiana, also wie die Saranger, Thamanäer und Utier im Berglande Kohestan suchen. Die Myker aber wohnten am Caucasus, in der Nähe Bactriane's. Die Zusammenstellung derselben mit den Sagartiern u. s. w. ist nur eine finanzielle, da mit ihnen sogar die Inselbewohner des rothen Meeres aufgeführt werden. — *ἐν τῇσι νήσοισι*: Inseln von geringem Umfange im persischen Meerbusen; erwähnt noch VII, 80. — *τοὺς ἀνασπάστους*: die Landesverwiesenen; noch IV, 204. V, 12.

τοὺς ἀνασπάστους καλεομένους κατοικίζει βασιλεύς, ἀπὸ τούτων πάντων ἑξακόσια τάλαντα ἐγίνετο φόρος· νομὸς τέταρτος καὶ δέκατος οὗτος. Σάκαι δὲ καὶ Κάσπιοι πεντήκοντα καὶ διηκόσια ἀγίνεον τάλαντα· νομὸς πέμπτος καὶ δέκατος οὗτος. Πάρθοι δὲ καὶ Χοράσμιοι καὶ Σόγδοι τε καὶ Ἄρειοι τριηκόσια τάλαντα· νομὸς ἕκτος καὶ δέκατος οὗτος.
Παρικάνιοι δὲ καὶ Αἰθίοπες οἱ ἐκ τῆς Ἀσίης τετρακόσια τά- 94
λαντα ἀπαγίνεον· νομὸς ἕβδομος καὶ δέκατος οὗτος. Ματιηνοῖσι δὲ καὶ Σάσπειρσι καὶ Ἀλαροδίοισι διηκόσια ἐπετέτακτο τάλαντα· νομὸς ὄγδοος καὶ δέκατος οὗτος. Μόσχοισι δὲ καὶ Τιβαρηνοῖσι καὶ Μάκρωσι καὶ Μοσυνοίκοισι καὶ Μαρσὶ τριηκόσια τάλαντα προείρητο· νομὸς εἴνατος καὶ δέκατος οὗτος. Ἰνδῶν δὲ πλῆθός τε πολλῷ πλεῖστόν ἐστι πάντων τῶν ἡμεῖς ἴδμεν ἀνθρώπων, καὶ φόρον ἀπαγίνεον πρὸς πάντας τοὺς ἄλλους, ἑξήκοντα καὶ τριηκόσια τά-
λαντα ψήγματος· νομὸς εἰκοστὸς οὗτος. τὸ μὲν δὴ ἀργύ- 95
ριον τὸ Βαβυλώνιον πρὸς τὸ Εὐβοϊκὸν συμβαλλόμενον τάλαντον γίνεται τεσσεράκοντα καὶ πεντακόσια καὶ εἰνα-

106. VI, 9. 32. VII, 80. — *ἀπὸ τούτων*: pleonastisch wie II, 13. — *Σάκαι*: nach Ritter S. 94 fallen ihre Wohnsitze in die moschischen Gebirge und in das Quelland der südlichen Zuflüsse des Cyrus (Kur) in die Nähe der Thubal und Meschech. "Wenn H. die Saken mit den Kaspiern zusammenstellt, so ist dies wohl nicht geographisch, sondern blos von der Steuerrolle zu verstehen, denn die Saken wohnten damals noch über Bactriane hinaus." Ritter S. 104.

C. 94. *Παρικάνιοι δὲ καὶ Αἰθίοπες*: zu C. 92. — *ἕβδομος καὶ δέκατος*: Ritter S. 91: "Die 17. Satrapie erstreckt sich offenbar von der Ostseite Armeniens, von Matiane an bis zum Araxes hin." — *Ματιηνοῖσι*: zu I, 72. — *Σάσπειρσι*: nach I, 104 war ihr Sitz zwischen Medien und Kolchis. Rennel hat gezeigt, dass diese Satrapie nordöstlich an Armenien gränzte. — *εἴνατος καὶ δέκατος*: Ritter S. 93: "Die fünf verschiedenen, diese Satrapie bildenden Völkerschaften wurden von den Persern unter dem Namen der *Huna* (Hunnen) zusammengefasst. Diese Hunas sind südlich vom Caucasus und den Kolchiern zu suchen, wo nur der Strich der südöstlichen Ecke des schwarzen Meeres vom Lande der Lazen sich hinaufzieht bis an die nordwestlichen Gebirge Armeniens, wo die Quellen des Araxes und Euphrat sich beinahe berühren. Die Tibarenen und Moscher sind die Thubal und Meschech der mosaischen Völkertafel (1. Buch Mose 10, 2)." — *πρὸς πάντας*: zu II, 35.

C. 95. *πρὸς τὸ Εὐβ. συμβαλλόμενον τάλ.*: auf den euböischen Münzfuss zurückge-

κισχίλια τάλαντα, τὸ δὲ χρυσίον τρισκαιδεκαστάσιον λογιζόμενον, τὸ ψῆγμα εὑρίσκεται ἐὸν Εὐβοϊκῶν ταλάντων ὀγδώκοντα καὶ ἑξακοσίων καὶ τετρακισχιλίων. τούτων ὦν πάντων συντιθεμένων τὸ πλῆθος, Εὐβοϊκὰ τάλαντα συνελέγετο ἐς τὸν ἐπέτεον φόρον Δαρείῳ μύρια καὶ τετρακισχίλια καὶ πεντακόσια καὶ ἑξήκοντα· τὸ δ' ἔτι τούτων ἔλασσον ἀπιεὶς οὐ λέγω.

96 *Οὗτος Δαρείῳ προσήιε φόρος ἀπό τε τῆς Ἀσίης καὶ τῆς Λιβύης ὀλιγαχόθεν. προϊόντος μέντοι τοῦ χρόνου καὶ ἀπὸ νήσων προσήιε ἄλλος φόρος καὶ τῶν ἐν τῇ Εὐρώπῃ μέχρι Θεσσαλίης οἰκημένων. τοῦτον τὸν φόρον θησαυρίζει βασιλεὺς τρόπῳ τοιῷδε· ἐς πίθους κεραμίνους τήξας καταχέει, πλήσας δὲ τὸ ἄγγος περιαιρέει τὸν κέραμον· ἐπεὰν*

führt. Die Silbertribute von den 19 ersten Satrapien, wie sie in dem jetzigen Texte angegeben sind, betragen 7740 babylonische Talente. Rechnet man nun diese 7740 babylonischen Talente, das babylonische Talent zu 70 euböischen Minen (vgl. C. 89), so finden sich 9030 euböische Talente; H. hat aber jene Summe auf 9540 euböische Talente berechnet. — *τὸ δὲ χρυσίον τρισκ. λογ.*: das Gold als das Dreizehnfache des Silbers gerechnet. Hier ist nach diesem Verhältniss die Berechnung ganz richtig, indem der Goldtribut der Inder, 360 euböische (vgl. C. 89) Talente, auf 4680 euböische Talente Silbers angegeben sind. Uebrigens ist *τὸ χρυσίον λογιζόμενον* als Apposition zu *ψῆγμα* construirt, statt des *gen. abs.*, gerade wie II, 133 *αἱ νύκτες ποιεύμεναι*. — *μύρια καὶ . . . ἑξήκοντα:* auch hier stimmt die Hauptsumme wieder nicht mit den einzelnen zwei Posten, sondern ist um 340 Talente zu gross. "Es ist eine unauflösliche Verwirrung in dieser Stelle, und vielleicht hat der Verfasser selbst sich verrechnet, wie er in der Berechnung von 341 Menschenaltern zu 11340 Jahren (II, 142) sich offenbar um 26⅔ Jahre geirrt hat." Böckh Metrol. Unters. S. 46. — *τὸ δ' ἔτι . . . οὐ λέγω:* geringere Einkünfte lasse ich unerwähnt. Dahin gehörten die Einkünfte, die von der Bewässerung gezogen wurden. Ein merkwürdiges Beispiel davon steht III, 117. Ein anderes Regal war die Fischerei in dem Canal, der den See Möris mit dem Nil verband (II, 149). Dazu kamen ferner die Einnahmen von eingezogenen Gütern, bei den Hinrichtungen der Satrapen und Grossen (III, 128). Aber vielleicht mehr als alles dieses betrugen die freiwilligen Geschenke, welche dem Könige an gewissen Feiertagen und zwar vor allen an seinem Geburtstage aus dem ganzen Reiche zuflossen.

C. 96. *τῆς Λιβύης ὀλιγ.*: nämlich Barka und Kyrene — *ἀπὸ νήσων*: nämlich die Inseln des ägäischen Meeres, die an der Küste von Kleinasien liegen. — *τῶν . . . οἰκημένων:* nämlich *ἀνθρώπων* (vgl. I, 27 *τοῖσι τὰς νήσους οἰκημένοισι*

δὲ δεηθῇ χρημάτων, κατακόπτει τοσοῦτο ὅσον ἂν ἑκάστοτε δέηται.

Αὗται μέν νυν ἀρχαί τε ἔσαν καὶ φόρων ἐπιτάξιες, ἡ 97
Περσὶς δὲ χώρη μούνη μοι οὐκ εἴρηται δασμοφόρος· ἀτελέα γὰρ Πέρσαι νέμονται χώρην. οἵδε δὲ φόρον μὲν οὐδένα ἐτάχθησαν φέρειν, δῶρα δὲ ἀγίνεον, Αἰθίοπες οἱ πρόσουροι Αἰγύπτῳ, τοὺς Καμβύσης ἐλαύνων ἐπὶ τοὺς μακροβίους Αἰθίοπας κατεστρέψατο· οἳ περί τε Νῦσαν τὴν ἱρὴν κατοίκηνται καὶ τῷ Διονύσῳ ἀνάγουσι τὰς ὁρτάς. οὗτοι οἱ Αἰθίοπες καὶ οἱ πλησιόχωροι τούτοισι σπέρματι μὲν χρέωνται τῷ αὐτῷ τῷ καὶ οἱ Καλαντίαι Ἰνδοί, οἰκήματα δὲ ἔκτηνται κατάγαια. οὗτοι συναμφότεροι διὰ τρίτου ἔτεος ἀγίνεον, ἀγινέουσι δὲ καὶ τὸ μέχρι ἐμεῦ, δύο χοίνικας ἀπύρου χρυσίου καὶ διηκοσίας φάλαγγας ἐβένου καὶ πέντε παῖδας Αἰθίοπας καὶ ἐλέφαντος ὀδόντας μεγάλους εἴκοσι. Κόλχοι δ' ἐτάξαντο ἐς τὴν δωρεήν, καὶ οἱ προσεχέες μέχρι τοῦ Καυκάσιος οὔρεος· ἐς τοῦτο γὰρ τὸ οὖρος ὑπὸ Πέρσῃσι ἄρχεται, τὰ δὲ πρὸς βορῆν ἄνεμον τοῦ Καυκάσιος Περσέων οὐδὲν ἔτι φροντίζει· οὗτοι ὦν δῶρα τὰ ἐτάξαντο, ἔτι καὶ ἐς ἐμὲ διὰ πεντετηρίδος ἀγίνεον, ἑκατὸν παῖδας

Ἴωσι), parallel mit νήσων. — περιαιρέει: zu III, 41. Ueber die Sache, zu IV, 166.

C. 97. φόρων ἐπιτάξιες: Diese Tribute umfassen keinesweges Alles, was die Unterthanen zu bezahlen hatten; es sind nur die Summen, welche die Satrapen an den königlichen Schatz abliefern mussten. — ἡ Περσίς: jetzt Fars, Farsistan. — τοὺς Καμβύσης κατεστρέψατο: erzählt III, 17 ff. — οἵ: bezieht sich so wie τούς auf Αἰθίοπες οἱ πρόσουροι. — σπέρματι: soll eine Art Reis oder Hirse sein. — οἱ Καλαντίαι: Heeren I, 1 S. 364: "Herodot nennt sie (die Padäer, vgl. C. 99) an ein paar andern Stellen Calantier oder Calatier (III, 38), und diese Benennung scheint unmittelbar aus ihrem indischen Namen Caller oder auch Coulis, Couleries, abgeleitet zu sein." — οὗτοι συναμφότεροι: nämlich οὗτοι οἱ Αἰθίοπες καὶ οἱ πλησιόχωροι τούτοισι. — διὰ τρίτου ἔτεος: zu II, 4. — ἀπύρου χρυσίου: der Gegensatz ist χρυσοῦ ἀπέφθου I, 50 u. II, 44. — φάλαγγας: Schol. Apoll. Rh. 2, 843: φάλαγξ, τὸ ἐπίμηκες καὶ στρογγύλον ξύλον. — ἐτάξαντο ἐς τὴν δ.: zu III, 13. — ἐς τοῦτο γὰρ τὸ εὖρος: "Im Norden reichte die Herrschaft der Achämeniden nur bis zu den Vorstufen des südlichen Caucasus." Ritter a. a. O. S. 93. — ὑπὸ Πέρσῃσι ἀρχ.: zu I, 91. — φροντίζει: zu IV, 167. — διὰ πεντετηρίδος: zu

καὶ ἑκατὸν παρθένους. Ἀράβιοι δὲ χίλια τάλαντα ἀγίνεον λιβανωτοῦ ἀνὰ πᾶν ἔτος. ταῦτα μὲν οὗτοι δῶρα πάρεξ τοῦ φόρου βασιλέι ἐκόμιζον.

98 *Τὸν δὲ χρυσὸν τοῦτον τὸν πολλὸν οἱ Ἰνδοί, ἀπ' οὗ τὸ ψῆγμα τῷ βασιλέι τὸ εἰρημένον κομίζουσι, τρόπῳ τοιῷδε κτῶνται. ἔστι τῆς Ἰνδικῆς χώρης τὸ πρὸς ἥλιον ἀνίσχοντα ψάμμος· τῶν γὰρ ἡμεῖς ἴδμεν, τῶν καὶ πέρι ἀτρεκές τι λέγεται, πρῶτοι πρὸς ἠῶ καὶ ἡλίου ἀνατολὰς οἰκέουσι ἀνθρώπων τῶν ἐν τῇ Ἀσίῃ Ἰνδοί· Ἰνδῶν γὰρ τὸ πρὸς τὴν ἠῶ ἐρημίη ἐστὶ διὰ τὴν ψάμμον. ἔστι δὲ πολλὰ ἔθνεα Ἰνδῶν καὶ οὐκ ὁμόφωνα σφίσι, καὶ οἱ μὲν αὐτῶν νομάδες εἰσὶ οἱ δὲ οὔ, οἱ δὲ ἐν τοῖσι ἕλεσι οἰκέουσι τοῦ ποταμοῦ καὶ ἰχθῦς σιτέονται ὠμούς, τοὺς αἱρέουσι ἐκ πλοίων καλαμίνων ὁρμεώμενοι· καλάμου δὲ ἓν γόνυ πλοῖον ἕκαστον ποιέεται. οὗτοι μὲν δὴ τῶν Ἰνδῶν φορέουσι ἐσθῆτα φλοΐνην· ἐπεὰν ἐκ τοῦ ποταμοῦ φλοῦν ἀμήσωνται καὶ κόψωσι, τὸ ἐνθεῦτεν φορμοῦ τρόπον καταπλέξαντες ὡς θώρηκα ἐνδυνέουσι.*

99 *ἄλλοι δὲ τῶν Ἰνδῶν πρὸς ἠῶ οἰκέοντες τούτων νομάδες*

II, 4. — *οὗτοι*: sind die Aethioper und ihre Nachbarn, die Colcher und ihre Nachbarn, und die Araber. — *πάρεξ τοῦ φόρου*: ausser dem den andern tributpflichtigen auferlegten Tribut.

C. 98. *τὸ εἰρημένον*: näml. III, 94. — *τρόπῳ τοιῷδε*: die Beschreibung kommt doch erst C. 102 ff., da erst der Schriftsteller eine Aufzählung der verschiedenen indischen Stämme episodisch dazwischen schiebt. — *τῶν γάρ*: aus Assimilation (*ἀνθρώπων*) für *τούς = οὕς*. — *πρῶτοι = ἔσχατοι*. — *Ἰνδῶν γάρ*: die Partikel giebt den Grund zu *πρῶτοι* an. — *διὰ τὴν ψάμμον*: Heeren I, 1 S. 367: "Sowohl das nördliche als das südliche Indien, das Herodot kannte, verlor sich wirklich in eine Sandwüste; jenes in die Wüste Cobi, dieses in die Sandregion, die sich von Guzerat bis nach Multan hinaufzieht; und dadurch musste der Schriftsteller wohl auf die Idee kommen, dass ganz Indien nach Osten zu in eine solche Wüste endigte." — *τοῦ ποταμοῦ*: natürlich des Indus. Nach Heeren waren ihre Sitze gewiss in der Nähe der Mündungen des Flusses, neben den Arabiten, zu denen sie vielleicht noch gehörten. — *ὁρμεώμενοι*: indem sie darauf ausgehen. — *καλάμου δὲ ἓν ... ποιέεται*: Plinius H. N. 7, 2 *arundines tantae proceritatis, ut singula internodia* (*ἓν γόνυ*) *alveo navigabili ternos interdum homines ferant. Multos ibi quina cubita constat longitudine excedere.* — *φλοΐνην*: aus Baumrinde oder Bast, *φλόος*. — *φορμοῦ*: Gloss. Her. *φορμός· πλέγμα ὡς κόφινος* (wie ein Korb).

C. 99. *πρὸς ἠῶ ... τούτων*: öst-

εἰσί, κρεῶν ἔδεσται ὠμῶν· καλέονται δὲ Παδαῖοι. νο-
μαίοισι δὲ τοιοισίδε λέγονται χρᾶσθαι. ὃς ἂν κάμῃ τῶν
ἀστῶν, ἤν τε ἀνὴρ ἤν τε γυνή, τὸν μὲν ἄνδρα ἄνδρες οἱ μά-
λιστά οἱ ὁμιλέοντες κτείνουσι, φάμενοι αὐτὸν τηκόμενον
τῇ νούσῳ τὰ κρέα σφίσι διαφθείρεσθαι· ὁ δὲ ἄπαρνός ἐστι
μὴ μὲν νοσέειν· οἱ δὲ οὐ συγγινωσκόμενοι ἀποκτείναντες
κατευωχέονται. ἢν δὲ γυνὴ κάμῃ, ὡσαύτως αἱ ἐπιχρεώμεναι
μάλιστα γυναῖκες ταὐτὰ τοῖσι ἀνδράσι ποιεῦσι· τὸν γὰρ
δὴ ἐς γῆρας ἀπικόμενον θύσαντες κατευωχέονται. ἐς δὲ
τούτου λόγον οὐ πολλοί τινες αὐτέων ἀπικνέονται· πρὸ
γὰρ τούτου τὸν ἐς νοῦσον πίπτοντα πάντα κτείνουσι. ἑτέ- 100
ρων δέ ἐστι Ἰνδῶν ὅδε ἄλλος τρόπος. οὔτε κτείνουσι οὐδὲν
ἔμψυχον, οὔτε τι σπείρουσι, οὔτε οἰκίας νομίζουσι ἐκτῆ-
σθαι, ποιηφαγέουσι δέ, καὶ αὐτοῖσι ἔστι ὅσον κέγχρος τὸ

lich von diesen (Fischessenden). — *Παδαῖοι:* Heeren I, 1 S. 364: "Sind diese (die Fischessenden) an der Mündung des Indus zu suchen, so folgt von selbst, dass die Padäer von diesen östlich, also oberhalb Guzerat zu finden sein müssen. Und diese ihre Wohnsitze geben auch über ihren Namen einen Aufschluss, der höchst wahrscheinlich von dem Flusse Paddar abzuleiten ist, an dessen Ufern sie nomadisirten. In der Nähe desselben finden sich weite sandige Striche, die sich bis nach Multan hinauf erstrecken, und in denen in alten und neuen Zeiten rohe indische Stämme umherzogen, die fast ohne alle Cultur und dem Stande der Wildheit nahe sind." — *αὐτὸν τηκόμενον:* zu II, 141. Aehnliches erzählt er von den Issedonen IV, 26. — *μὴ μὲν νοσ.:* zu I, 68. — *συγγινωσκόμενοι:* zu I, 45. — *ἐπιχρεώμεναι:* vom freundschaftlichen Verkehr, wie *uti*. — *ἐς δὲ τούτου λόγον* = *ἐς τοῦτο*, ***ad eius rei rationem***, i. e. ***ad senectutem***. So VII, 9, 2 *οὐκ ἦλθον ἐς τούτου λόγον ὥστε μάχεσθαι, non eo pervenerunt*; i. e. *non induxerunt in animum ut in aciem contra me descenderent.*

C. 100. *Ἑτέρων δέ ἐστι Ἰνδῶν:* nach Heeren I, 1 S. 365 sind es diejenigen, die wir jetzt unter dem Namen der **Maratten** kennen. — *καὶ αὐτοῖσί ἐστι:* das Subject ist aus *ποιηφαγέουσι* zu entnehmen; da aber das Wort *ποίη* immer nur *gen. fem.* ist, so könnte im Folgenden das Neutrum auffallen. Indessen kommt ja bei einem solchen Uebergehen von einem bestimmten Begriffe zu dem unbestimmten das Neutrum oft vor, und hier war dazu eine doppelte und dreifache Veranlassung: 1) weil *ποίη* nicht selbst dasteht, sondern nur als Bestandtheil von *ποιηφαγέειν*; 2) weil *ποίη* an sich schon nicht eine ganz bestimmte Pflanze, sondern verschiedene Arten bezeichnet; 3) weil hier von einem Gewächs die Rede ist, das nicht eigentlich *ποίη* genannt werden kann, da es sich davon durch die Grösse und die *κάλυξ* unterscheidet. Dieses für H. namenlose Gewächs (nach Heeren a. a. O. der Reis), das weder *ποίη*

μέγαθος ἐν κάλυκι, αὐτόματον ἐκ τῆς γῆς γινόμενον, τὸ συλλέγοντες αὐτῇ κάλυκι ἕψουσί τε καὶ σιτέονται. ὃς δ' ἂν ἐς νοῦσον αὐτέων πέσῃ, ἐλθὼν ἐς τὴν ἐρῆμον κέεται· φροντίζει δὲ
101 οὐδεὶς οὔτ' ἀποθανόντος οὔτε κάμνοντος. μῖξις δὲ τούτων τῶν Ἰνδῶν τῶν κατέλεξα πάντων ἐμφανής ἐστι κατά περ τῶν προβάτων, καὶ τὸ χρῶμα φορέουσι ὅμοιον πάντες καὶ παραπλήσιον Αἰθίοψι. ἡ γονὴ δὲ αὐτῶν, τὴν ἀπίενται ἐς τὰς γυναῖκας, οὐ κατά περ τῶν ἄλλων ἀνθρώπων ἐστὶ λευκή, ἀλλὰ μέλαινα κατά περ τὸ χρῶμα· τοιαύτην δὲ καὶ Αἰθίοπες ἀπίενται θορήν. οὗτοι μὲν τῶν Ἰνδῶν ἑκαστέρω τῶν Περσέων οἰκέουσι καὶ πρὸς νότου ἀνέμου, καὶ Δαρείου
102 βασιλέος οὐδαμὰ ὑπήκουσαν· ἄλλοι δὲ τῶν Ἰνδῶν Κασπατύρῳ τε πόλι καὶ τῇ Πακτυϊκῇ χώρῃ εἰσὶ πρόσουροι, πρὸς ἄρκτου τε καὶ βορέω ἀνέμου κατοικημένοι τῶν ἄλλων Ἰνδῶν, οἳ Βακτρίοισι παραπλησίην ἔχουσι δίαιταν· οὗτοι καὶ μαχιμώτατοί εἰσι Ἰνδῶν, καὶ οἱ ἐπὶ τὸν χρυσὸν στελλόμενοί εἰσι οὗτοι· κατὰ γὰρ τοῦτό ἐστι ἐρημίη διὰ τὴν ψάμμον. ἐν δὴ ὦν τῇ ἐρημίῃ ταύτῃ καὶ τῇ ψάμμῳ γίνονται μύρμηκες μεγάθεα ἔχοντες κυνῶν μὲν ἐλάσσονα ἀλωπέκων

noch *κέγχρος* ist; bezeichnet er sehr gut durch das Neutrum. — *κέγχρος:* zu II, 93. — *αὐτῇ κάλυκι:* zu II, 47.

C. 101. *τῶν προβάτων:* zu I, 133. — *οὗτοι μὲν ... ὑπήκουσαν:* Heeren a. a. O. S. 133: "Die letzten Worte des Schriftstellers enthalten die Bestimmung für die Wohnsitze dieser Völker im Allgemeinen. Es sind südliche Inder, und zwar jenseit des Indus, denn Darius hatte sein Gebiet bis an den Indus erweitert; sie aber waren ihm nicht mehr unterworfen. Ueberhaupt also kann man hier an keine andern Gegenden denken als an die, welche zunächst östlich an den Niederindus stossen, die Provinz Sind, oder überhaupt das Land zwischen Multan und Guzerat." — *ἑκαστέρω τῶν Περσέων: longius a Persis.*

C. 102. *Κασπατύρῳ τε πόλι καὶ τῇ Πακτυϊκῇ χώρῃ:* nach Heeren S. 355 die jetzige Stadt und das Reich Cabul; vgl. IV, 44. Ueber Paktyike vgl. III, 93. — *οἳ Βακτρ.:* das Relativ geht auf *ἄλλοι τῶν Ἰνδῶν.* — *οἱ ... στελλόμενοι:* schon angemeldet C. 98. — *κατὰ γὰρ τοῦτο:* denn in der Nähe derselben; *κατά* wie I, 76. — *ἐρημίη:* da diejenigen Inder, von welchen hier die Rede ist, nahe bei Bactra und Paktyika, nördlich von den andern Indern wohnen, so sind sie nach Heeren S. 341 offenbar in den Gebirgen von Kleintübet oder der kleinen Bucharei; und die Sandwüste in ihrer Nachbarschaft kann keine andere sein als die Wüste Cobi, die gerade durch ihre Gebirge begrenzt wird. — *μύρμηκες:* diese goldgrabenden Ameisen sollen nach Einigen "eine Varietät der

δὲ μέζονα· εἰσὶ γὰρ αὐτέων καὶ παρὰ βασιλέϊ τῷ Περσέων, ἐνθεῦτεν θηρευθέντες. οὗτοι ὦν οἱ μύρμηκες ποιεύμενοι οἴκησιν ὑπὸ γῆν ἀναφορέουσι τὴν ψάμμον κατά περ οἱ ἐν τοῖσι Ἕλλησι μύρμηκες καὶ τὸν αὐτὸν τρόπον, εἰσὶ δὲ καὶ αὐτοὶ εἶδος ὁμοιότατοι· ἡ δὲ ψάμμος ἡ ἀναφερομένη ἐστὶ χρυσῖτις. ἐπὶ δὴ ταύτην τὴν ψάμμον στέλλονται ἐς τὴν ἐρῆμον οἱ Ἰνδοί, ζευξάμενος ἕκαστος καμήλους τρεῖς, σειρηφόρον μὲν ἑκατέρωθεν ἔρσενα παρέλκειν, θήλεαν δὲ ἐς μέσον· ἐπὶ ταύτην δὴ αὐτὸς ἀναβαίνει, ἐπιτηδεύσας ὅκως ἀπὸ τέκνων ὡς νεωτάτων ἀποσπάσας ζεύξει. αἱ γάρ σφι κάμηλοι ἵππων οὐκ ἕσσονες ἐς ταχυτῆτα εἰσί, χωρὶς δὲ ἄχθεα δυνατώτεραι πολλὸν φέρειν. τὸ μὲν δὴ εἶδος ὁκοῖόν 103
τι ἔχει ἡ κάμηλος, ἐπισταμένοισι τοῖσι Ἕλλησι οὐ συγγράφω· τὸ δὲ μὴ ἐπιστέαται αὐτῆς, τοῦτο φράσω. κάμηλος ἐν τοῖσι ὀπισθίοισι σκέλεσι ἔχει τέσσερας μηροὺς καὶ γούνατα τέσσερα, τὰ δὲ αἰδοῖα διὰ τῶν ὀπισθίων σκελέων πρὸς τὴν οὐρὴν τετραμμένα. οἱ δὲ δὴ Ἰνδοὶ τρόπῳ τοιούτῳ 104
καὶ ζεύξι τοιαύτῃ χρεώμενοι ἐλαύνουσι ἐπὶ τὸν χρυσὸν λελογισμένως ὅκως καυμάτων τῶν θερμοτάτων ἐόντων ἔσονται ἐν τῇ ἁρπαγῇ· ὑπὸ γὰρ τοῦ καύματος οἱ μύρμηκες ἀφανέες γίνονται ὑπὸ γῆν. θερμότατος δέ ἐστι ὁ ἥλιος τούτοισι τοῖσι ἀνθρώποισι τὸ ἑωθινόν, οὐ κατά περ τοῖσι ἄλλοισι μεσαμβρίης, ἀλλ' ὑπερτείλας μέχρι οὗ ἀγορῆς διαλύσιος. τοῦτον δὲ τὸν χρόνον καίει πολλῷ μᾶλλον ἢ τῇ μεσαμβρίῃ τὴν Ἑλλάδα, οὕτω ὥστ' ἐν ὕδατι λόγος αὐτούς

gestreiften oder gefleckten Hyäne" sein. — παρέλκειν: *quia latere trahat*, locker verbunden mit ζευξάμενος wie I, 176.

C. 103. *τέσσερας μηροὺς καὶ γούνατα τέσσερα*: Gesner Hist. Quadrup. p. 165: "*ego per genua articulos intelligo, per femora vero ossa, quae inter articulos recta habentur. Haec autem terna esse in prioribus cruribus, in posterioribus quaterna, ipse dum haec scriberem (!) in dromade observavi.*"

C. 104. *τὸ ἑωθινόν*: als Adverbium zu fassen, früh morgens. — *ὑπερτείλας*: nachdem sie sich über den Horizont erhoben hat; sonst ἀνατέλλειν I, 204. II, 32. 142. IV, 40. 45. VII, 223, oder ἐπανατέλλειν II, 142. III, 84. VII, 54; das Erstere zweimal IV, 52. VII, 26 auch vom Entspringen eines Flusses. — *μέχρι οὗ*: zu I, 181. — *ἀγορῆς διαλύ-*

ἐστι βρέχεσθαι τηνικαῦτα. μεσοῦσα δὲ ἡ ἡμέρη σχεδὸν παραπλησίως καίει τούς τε ἄλλους ἀνθρώπους καὶ τοὺς Ἰνδούς. ἀποκλινομένης δὲ τῆς μεσαμβρίης γίνεταί σφι ὁ ἥλιος κατά περ τοῖσι ἄλλοισι ὁ ἑωθινός· καὶ τὸ ἀπὸ τούτου ἀπιὼν ἐπὶ μᾶλλον ψύχει, ἐς ὃ ἐπὶ δυσμῇσι ἐὼν καὶ
105 τὸ κάρτα ψύχει. ἐπεὰν δὲ ἔλθωσι ἐς τὸν χῶρον οἱ Ἰνδοὶ ἔχοντες θυλάκια, ἐμπλήσαντες ταῦτα τῆς ψάμμου τὴν ταχίστην ἐλαύνουσι ὀπίσω· αὐτίκα γὰρ οἱ μύρμηκες ὀδμῇ, ὡς δὴ λέγεται ὑπὸ Περσέων, μαθόντες διώκουσι. εἶναι δὲ ταχυτῆτα οὐδενὶ ἑτέρῳ ὁμοῖον, οὕτω ὥστε, εἰ μὴ προλαμβάνειν τοὺς Ἰνδοὺς τῆς ὁδοῦ ἐν ᾧ τοὺς μύρμηκας συλλέγεσθαι, οὐδένα ἄν σφεων ἀποσώζεσθαι. τοὺς μέν νυν ἔρσενας τῶν καμήλων, εἶναι γὰρ ἥσσονας θεῖν τῶν θηλέων, καὶ παραλύεσθαι ἐπελκομένους, οὐκ ὁμοῦ ἀμφοτέρους· τὰς δὲ θηλέας ἀναμιμνησκομένας τῶν ἔλιπον τέκνων ἐνδιδόναι μαλακὸν οὐδέν. τὸν μὲν δὴ πλέω τοῦ χρυσοῦ οὕτω οἱ Ἰνδοὶ κτῶνται, ὡς Πέρσαι φασί· ἄλλος δὲ σπανιώτερός ἐστι ἐν τῇ χώρῃ ὀρυσσόμενος.

106 Αἱ δ' ἐσχατιαί κως τῆς οἰκουμένης τὰ κάλλιστα ἔλαχον, κατά περ ἡ Ἑλλὰς τὰς ὥρας πολλόν τι κάλλιστα κεκραμένας ἔλαχε. τοῦτο μὲν γὰρ πρὸς τὴν ἠῶ ἐσχάτη τῶν οἰκεομένων ἡ Ἰνδική ἐστι, ὥσπερ ὀλίγῳ πρότερον εἴρηκα·

σιος: vgl. II, 173. — *μεσοῦσα δὲ ἡ ἡμέρη καίει*: *meridies urit* = *medio die sol urit*. — *τὸ ἀπὸ τούτου*: von dieser Zeit ab. — *ψύχει*: Gegensatz zu *καίει*, macht kühl.

C. 105. *ὁμοῖον*: nämlich *τοῦτο τὸ θηρίον*, was dem Schriftsteller aus dem vorangehenden *οἱ μύρμηκες* vorschwebt; vgl. C. 108. — *εἰ μὴ προλαμβάνειν*: zu I, 129. — *τῆς ὁδοῦ*: *gen. part.*, wenn die Inder nicht ein Stück des Weges, einen Vorsprung gewännen. — *ἐν ᾧ*: während; über den folgenden Infinitiv: zu I, 24. — *παραλύεσθαι*: zu I, 149. Sinn: die Hengste, da sie im Laufen geringer sind als die Stuten, pflegen sogar zu erlahmen und lassen sich nachschleppen, der eine früher, der andere später. — *ἐνδιδόναι*: zu I, 91.

C. 106. *κάλλιστα κεκραμένας*: dasselbe von den jonischen Städten in Kleinasien, I, 142. So wie Indien das äusserste Land in Osten ist, so Arabien im Süden; daran gränzt Aethiopien, was sich nach Westen zu erstreckt. Ueber die Gränzen der Erde nach Westen und Norden zu wusste H. nichts Bestimmtes. — *τοῦτο μὲν γὰρ πρὸς τὴν ἠῶ*: dem entspricht C. 107 *πρὸς δ' αὖ μεσαμβρίης*. — *ὀλίγῳ πρότερον*:

ἐν ταύτῃ τοῦτο μὲν τὰ ἔμψυχα τετράποδά τε καὶ τὰ πετεινὰ πολλῷ μέζω ἢ ἐν τοῖσι ἄλλοισι χωρίοισί ἐστι, πάρεξ τῶν ἵππων (οὗτοι δὲ ἑσσοῦνται ὑπὸ τῶν Μηδικῶν, Νισαίων δὲ καλευμένων ἵππων), τοῦτο δὲ χρυσὸς ἄπλετος αὐτόθι ἐστι, ὁ μὲν ὀρυσσόμενος, ὁ δὲ καταφορεύμενος ὑπὸ ποταμῶν, ὁ δὲ ὥσπερ ἐσήμηνα ἁρπαζόμενος. τὰ δὲ δένδρεα τὰ ἄγρια αὐτόθι φέρει καρπὸν εἴρια καλλονῇ τε προφέροντα καὶ ἀρετῇ τῶν ἀπὸ τῶν ὀίων· καὶ ἐσθῆτι οἱ Ἰνδοὶ ἀπὸ τούτων τῶν δενδρέων χρέωνται. πρὸς δ' αὖ μεσαμβρίης 107
ἐσχάτη Ἀραβίη τῶν οἰκεομένων χωρέων ἐστί, ἐν δὲ ταύτῃ λιβανωτός τέ ἐστι μούνῃ χωρέων πασέων φυόμενος καὶ σμύρνη καὶ κασίη καὶ κιννάμωμον καὶ λήδανον. ταῦτα πάντα πλὴν τῆς σμύρνης δυσπετέως κτῶνται οἱ Ἀράβιοι. τὸν μέν γε λιβανωτὸν συλλέγουσι τὴν στύρακα θυμιῶντες, τὴν ἐς Ἕλληνας Φοίνικες ἐξάγουσι· ταύτην θυμιῶντες λαμβάνουσι· τὰ γὰρ δένδρεα τὰ λιβανωτοφόρα ὄφιες ὑπόπτεροι, μικροὶ τὰ μεγάθεα, ποικίλοι τὰ εἴδεα, φυλάσσουσι πλήθεϊ πολλοὶ περὶ δένδρον ἕκαστον, οὗτοι οἵπερ ἐπ' Αἴγυπτον ἐπιστρατεύονται. οὐδενὶ δὲ ἄλλῳ ἀπελαύνονται ἀπὸ τῶν δενδρέων ἢ τῆς στύρακος τῷ καπνῷ. λέγουσι δὲ 108
καὶ τόδε Ἀράβιοι, ὡς πᾶσα ἂν γῆ ἐπιμπλέετο τῶν ὀφίων τούτων, εἰ μὴ γίνεσθαι κατ' αὐτοὺς οἷόν τι κατὰ τὰς ἐχίδνας ἠπιστάμην γίνεσθαι. καί κως τοῦ θείου ἡ προνοίη, ὥσπερ καὶ οἰκός ἐστι, ἐοῦσα σοφή, ὅσα μὲν [γὰρ] ψυχήν τε δειλὰ καὶ ἐδώδιμα, ταῦτα μὲν πάντα πολύγονα πεποίηκε ἵνα μὴ ἐπιλίπῃ κατεσθιόμενα, ὅσα δὲ σχέτλια καὶ ἀνιηρά, ὀλιγόγονα. τοῦτο μέν, ὅτι ὁ λαγὸς ὑπὸ παντὸς θηρεύεται

c. 98. — *Νισαίων*: zu VII, 40. — *καρπόν*: als Frucht. — *προφέροντα*: zu I, 3.

C. 107. *τὴν στύρακα*: den Strauch, der das Gummiharz *Storax* (*τὸ στύραξ*) giebt. — *θυμιῶντες*: indem sie in Rauch aufgehen lassen; so noch III, 112. IV, 75. VI, 97. VIII, 99. — *ὄφιες ὑπόπτεροι*: Heeren I, 2 S. 99: "Sollten die kleinen geflügelten Schlangen, die durch Rauch vertrieben werden müssen, etwas anders als die Musquitos sein?" — *οὗτοι οἵπερ*: II, 75.

C. 108. *εἰ μὴ γίνεσθαι*: zu I, 129. — *ὀλιγόγονα*: wenn hier das Verbum wiederholt wäre, so würde es heissen *ταῦτα δὲ πάντα ὀλιγόγονα πεποίηκε*, also *μέν* und *δέ* doppelt wie I, 113. — *τοῦτο μέν*: dem entspricht *ἡ δὲ δὴ λέαινα*, wo-

θηρίου καὶ ὄρνιθος καὶ ἀνθρώπου, οὕτω δή τι πολύγονόν ἐστι· ἐπικυΐσκεται μοῦνον πάντων θηρίων, καὶ τὸ μὲν δασὺ τῶν τέκνων ἐν τῇ γαστρὶ τὸ δὲ ψιλόν, τὸ δὲ ἄρτι ἐν τῇσι μήτρῃσι πλάσσεται, τὸ δὲ ἀναιρέεται. τοῦτο μὲν δὴ τοιοῦτό ἐστι, ἡ δὲ δὴ λέαινα ἐὸν ἰσχυρότατον καὶ θρασύτατον ἅπαξ ἐν τῷ βίῳ τίκτει ἕν· τίκτουσα γὰρ συνεκβάλλει τῷ τέκνῳ τὰς μήτρας. τὸ δὲ αἴτιον τούτου τόδε ἐστί· ἐπεὰν ὁ σκύμνος ἐν τῇ μητρὶ ἐὼν ἄρχηται διακινεόμενος, ὁ δὲ ἔχων ὄνυχας θηρίων πολλὸν πάντων ὀξυτάτους ἀμύσσει τὰς μήτρας. αὐξανόμενός τε δὴ πολλῷ μᾶλλον ἐπικνέεται καταγράφων· πέλας τε δὴ ὁ τόκος ἐστί, καὶ τὸ παράπαν

109 λείπεται αὐτέων ὑγιὲς οὐδὲ ἕν. ὡς δὲ καὶ αἱ ἔχιδναί τε καὶ οἱ ἐν Ἀραβίοισι ὑπόπτεροι ὄφιες εἰ ἐγίνοντο ὡς ἡ φύσις αὐτοῖσι ὑπάρχει, οὐκ ἂν ἦν βιώσιμα ἀνθρώποισι· νῦν δ᾽ ἐπεὰν θορνύωνται κατὰ ζεύγεα καὶ ἐν αὐτῇ ᾖ ὁ ἔρσην τῇ ἐκποιήσει, ἀπιεμένου αὐτοῦ τὴν γονὴν ἡ θήλεα ἅπτεται τῆς δειρῆς, καὶ ἐμφῦσα οὐκ ἀνίει πρὶν ἂν διαφάγῃ. ὁ μὲν δὴ ἔρσην ἀποθνήσκει τρόπῳ τῷ εἰρημένῳ, ἡ δὲ θήλεα τίσιν τοιήνδε ἀποτίνει τῷ ἔρσενι· τῷ γονέι τιμωρέοντα ἔτι ἐν τῇ γαστρὶ ἐόντα τὰ τέκνα διεσθίει τὴν μητέρα, διαφαγόντα δὲ τὴν νηδὺν αὐτῆς οὕτω τὴν ἔκδυσιν ποιέεται. οἱ δὲ ἄλλοι ὄφιες ἐόντες ἀνθρώπων οὐ δηλήμονες τίκτουσί τε ᾠὰ καὶ ἐκλέπουσι πολλόν τι χρῆμα τῶν τέκνων. αἱ μὲν δή νυν ἔχιδναι κατὰ πᾶσαν τὴν γῆν εἰσί, οἱ δὲ ὑπόπτεροι ἐόν-

vor aber wegen der dazwischengeschobenen längeren Erklärung wiederholt ist: *τοῦτο μὲν δὴ τοιοῦτό ἐστι.* — *οὕτω*: zu III, 12. — *ἐπικυΐσκεται: super priores foetus alio foetu gravida fit bestia.* — *ἐν τῇ γαστρί:* hier ist aus *πλάσσεται* durch eine Art Zeugma ein Verbum wie *ἔχει* zu entnehmen. — *ἀναιρέεται:* zu II, 52. — *ἰσχυρότατον*: das Neutrum, wie *ὅμοιον* C. 105. — *τίκτει ἕν:* dass dies falsch sei, hat schon Aristoteles H. A. 6, 31 gelehrt. — *ὁ δέ:* zu I, 112. — *ἀμύσσει:* zu III, 76. — *ἐπικνέεται καταγράφων: penetrat lacerando.* — *ὁ τόκος:* zu I, 111. — *αὐτέων:* nämlich *τῶν μητρέων.*

C. 109. *εἰ ἐγίνοντο . . . ὑπάρχει:* wenn sie lebten bis an ihren natürlichen Tod. — *βιώσιμα:* zu I, 45. — *κατὰ ζεύγεα:* zu II, 79 u. III, 76. — *ἀνίει:* zu I, 213. — *πρὶν ἄν:* zu I, 19. — *πολλόν τι χρῆμα*: gerade so III, 130; zu IV, 81. — *κατὰ τοῦτο: ea ratione*, deswegen; so III, 137; vgl. I, 77.

τες ἀθρόοι εἰσὶ ἐν τῇ Ἀραβίῃ καὶ οὐδαμῇ ἄλλῃ· κατὰ
τοῦτο δοκέουσι πολλοὶ εἶναι.

Τὸν μὲν δὴ λιβανωτὸν τοῦτον οὕτω κτῶνται Ἀράβιοι, 110
τὴν δὲ κασίην ὧδε. ἐπεὰν καταδήσωνται βύρσῃσι καὶ δέρ-
μασι ἄλλοισι πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον πλὴν αὐτῶν
τῶν ὀφθαλμῶν, ἔρχονται ἐπὶ τὴν κασίην· ἡ δὲ ἐν λίμνῃ
φύεται οὐ βαθέῃ, περὶ δὲ αὐτὴν καὶ ἐν αὐτῇ αὐλίζεταί κου
θηρία πτερωτά, τῇσι νυκτερίσι προσίκελα μάλιστα, καὶ
τέτριγε δεινόν, καὶ ἐς ἀλκὴν ἄλκιμα· τὰ δὴ ἀπαμυνομένους
ἀπὸ τῶν ὀφθαλμῶν οὕτω δρέπειν τὴν κασίην. τὸ δὲ δὴ κιν- 111
νάμωμον ἔτι τούτων θωυμαστότερον συλλέγουσι. ὅκου μὲν
γὰρ γίνεται καὶ ἥτις μιν γῆ ἡ τρέφουσά ἐστι, οὐκ ἔχουσι
εἰπεῖν, πλὴν ὅτι λόγῳ οἰκότι χρεώμενοι ἐν τοισίδε χωρίοισί
φασί τινες αὐτὸ φύεσθαι ἐν τοῖσι ὁ Διόνυσος ἐτράφη· ὄρ-
νιθας δὲ λέγουσι μεγάλας φορέειν ταῦτα τὰ κάρφεα τὰ
ἡμεῖς ἀπὸ Φοινίκων μαθόντες κιννάμωμον καλέομεν, φο-
ρέειν δὲ τὰς ὄρνιθας ἐς νεοσσιὰς προσπεπλασμένας ἐκ πη-
λοῦ πρὸς ἀποκρήμνοισι οὔρεσι, ἔνθα πρόσβασιν ἀνθρώπῳ
οὐδεμίαν εἶναι. πρὸς ὦν δὴ ταῦτα τοὺς Ἀραβίους σοφί-
ζεσθαι τάδε, βοῶν τε καὶ ὄνων τῶν ἀπογινομένων καὶ τῶν
ἄλλων ὑποζυγίων τὰ μέλεα διαταμόντας ὡς μέγιστα κομί-
ζειν ἐς ταῦτα τὰ χωρία, καί σφεα θέντας ἀγχοῦ τῶν νεοσ-
σιέων ἀπαλλάσσεσθαι ἑκὰς αὐτέων· τὰς δὲ ὄρνιθας κατα-
πετομένας αὐτῶν τὰ μέλεα τῶν ὑποζυγίων ἀναφορέειν ἐπὶ
τὰς νεοσσιάς· τὰς δὲ οὐ δυναμένας ἴσχειν καταρρήγνυσθαι

C. 110. *θηρία πτερωτά:* Heeren I, 2 S. 99: "Will man unter den Fledermäusen ähnlichen geflügelten Insecten die in jenen Gegenden geflügelten Eidechsen verstehen? (*draco volans. Linn.*)" — *τέτριγε: τρίζειν* von der Fledermaus, auch Hom. Od. 24, 7; bei H. noch IV, 183. — *ἀπαμυνομένους . . . δρέπειν:* Uebergang zur obliquen Rede, als wenn ein *λέγουσι* voranstünde; zu I, 86. *τά* ist relativisch zu fassen, also wie I, 24. Statt *δή* schlägt Bekker *δεῖ* vor; Eltz dagegen: *τὰ δὴ ἀπαμυνόμενος . . . δρέπει . . .*, ein Uebergang vom Plural zum Singular, wie II, 65.

C. 111. *ἐν τοῖσι ὁ Διόνυσος ἐτράφη:* nach Heeren I, 2 S. 251, Indien; nach Andern, die sich auf II, 146 u. III, 97 stützen, Aethiopien. — *κάρφεα:* dürre Reiser. — *νεοσσιάς:* zu I, 159. — *ἔνθα . . . εἶναι:* wie I, 24. — *πρὸς ταῦτα:* wie I. 38. — *σοφίζεσθαι:* zu I, 80. — *ἀπογινομένων:* zu II,

ἐπὶ γῆν· τοὺς δὲ ἐπιόντας συλλέγειν οὕτω τὸ κιννάμωμον, συλλεγόμενον δὲ ἐκ τούτων ἀπικνέεσθαι ἐς τὰς ἄλλας χώ-
112 ρας. τὸ δὲ δὴ λήδανον, τὸ Ἀράβιοι καλέουσι λάδανον, ἔτι τούτου θωυμασιώτερον γίνεται· ἐν γὰρ δυσοδμοτάτῳ γινόμενον εὐωδέστατόν ἐστι· τῶν γὰρ αἰγῶν τῶν τράγων ἐν τοῖσι πώγωσι εὑρίσκεται ἐγγινόμενον οἷον γλοιὸς ἀπὸ τῆς ὕλης. χρήσιμον δ᾽ ἐς πολλὰ τῶν μύρων ἐστί, θυμιῶσί τε μάλιστα τοῦτο Ἀράβιοι.

113 Τοσαῦτα μὲν θυωμάτων πέρι εἰρήσθω, ἀπόζει δὲ τῆς χώρης τῆς Ἀραβίης θεσπέσιον ὡς ἡδύ. δύο δὲ γένεα οἴων σφι ἔστι θώυματος ἄξια, τὰ οὐδαμόθι ἑτέρωθι ἔστι· τὸ μὲν αὐτέων ἕτερον ἔχει τὰς οὐρὰς μακράς, τριῶν πηχέων οὐκ ἐλάσσονας, τὰς εἴ τις ἐπείη σφι ἐπέλκειν, ἕλκεα ἂν ἔχοιεν ἀνατριβομενέων πρὸς τῇ γῇ τῶν οὐρέων· νῦν δ᾽ ἅπας τις τῶν ποιμένων ἐπίσταται ξυλουργέειν ἐς τοσοῦτο· ἁμαξίδας γὰρ ποιεῦντες ὑποδέουσι αὐτὰς τῇσι οὐρῇσι, ἑνὸς ἑκάστου κτήνεος τὴν οὐρὴν ἐπ᾽ ἁμαξίδα ἑκάστην καταδέον-

136. — ἐκ τούτων = ὑπὸ τ., wie Exord.

C. 112. τῶν γὰρ αἰγῶν τῶν τράγων: der Ziegenböcke. Daniel 8, 5. 8. 21 ὁ τράγος αἰγῶν oder τῶν αἰγῶν. Heeren I, 2 S. 99. "Die Erzählung von dem Sammeln des Ladanum erklärt sich, insofern es auf einer Staude wächst, welche die Ziegen abfressen" — ἀπὸ τῆς ὕλης: hierzu ist durch Zeugma aus εὑρίσκεται ein passendes Verbum zu entnehmen. — θυμιῶσι: zu III, 107.

C. 113. ἀπόζει δὲ τῆς χώρης: wie III, 23 ὄζειν δὲ ἀπ᾽ αὐτῆς. — θεσπέσιον ὡς: so wie durch Assimilation sich besonders mit ὅσος Adjective zu Einem verbunden declinirten Begriffe amalgamiren, wie θαυμαστὸς ὅσος, θαυμαστοῦ ὅσου etc., dem Sinne nach so viel als θαυμαστόν ἐστιν ὅσος, ὅσου etc. (so IV, 194 ἄφθονοι ὅσοι. 28 ἀφόρητος οἷος), z. B. Plat. Hipp. mai. p. 282 c. χρήματα ἔλαβε θαυμαστὰ ὅσα, *mirum quantam pecuniae copiam corraserit*, so tritt analog vor ὡς auch ein Adverbium ein; so Plat. Phaed. p. 92 a θαυμαστῶς ὡς ἐπείσθην. Für θεσπέσιον wäre wohl θαυμαστόν oder θαυμάσιον gewöhnlicher gewesen. — δύο δὲ γένεα οἴων: Heeren I, 2 S. 123: "Die Wolle der arabischen Schaafe ist die feinste, die man kennt, weil das heisse Clima, der beständige Aufenthalt unter freiem Himmel, und die Sorgfalt, welche jene Stämme auf ihre Heerden wenden, die ihre einzige Beschäftigung ausmachen, alles dazu beitragen, sie zu veredeln. Herodot irrt nur in dem Umstande, dass er blosse Varietäten für verschiedene Arten (γένεα) ansah; die übrigen Umstände seiner Erzählung sind keinem der neuern Naturforscher und Reisebeschreiber unbekannt geblieben." — σφι ἔστι: näml. τοῖς Ἀραβίοις aus τῆς χώρης τῆς Ἀραβ. zu entnehmen. — ἐπείη: zu I, 90. —

τες. τὸ δὲ ἕτερον γένος τῶν ὀίων τὰς οὐρὰς πλατέας φορέουσι, καὶ ἐπὶ πῆχυν πλάτος.

Ἀποκλινομένης δὲ μεσαμβρίης παρήκει πρὸς δύνοντα ἥλιον ἡ Αἰθιοπίη χώρη ἐσχάτη τῶν οἰκεομένων· αὕτη δὲ χρυσόν τε φέρει πολλὸν καὶ ἐλέφαντας ἀμφιλαφέας καὶ δένδρεα πάντα ἄγρια καὶ ἔβενον καὶ ἄνδρας μεγίστους καὶ καλλίστους καὶ μακροβιωτάτους. 114

Αὗται μέν νυν ἔν τε τῇ Ἀσίῃ ἐσχατιαί εἰσι καὶ ἐν τῇ Λιβύῃ· περὶ δὲ τῶν ἐν τῇ Εὐρώπῃ τῶν πρὸς ἑσπέρην ἐσχατιέων ἔχω μὲν οὐκ ἀτρεκέως λέγειν· οὔτε γὰρ ἔγωγε ἐνδέκομαι Ἠριδανὸν καλέεσθαι πρὸς βαρβάρων ποταμὸν ἐκδιδόντα ἐς θάλασσαν τὴν πρὸς βορῆν ἄνεμον, ἀπ᾽ ὅτευ τὸ ἤλεκτρον φοιτᾶν λόγος ἐστί, οὔτε νήσους οἶδα Κασσιτερίδας ἐούσας, ἐκ τῶν ὁ κασσίτερος ἡμῖν φοιτᾷ. τοῦτο μὲν γὰρ ὁ Ἠριδανὸς αὐτὸ κατηγορέει τὸ οὔνομα ὡς ἔστι Ἑλληνικὸν καὶ οὐ βάρβαρον, ὑπὸ ποιητέω δέ τινος ποιηθέν· τοῦτο δὲ οὐδενὸς αὐτόπτεω γενομένου δύναμαι ἀκοῦσαι τοῦτο μελετῶν ὅκως θάλασσά ἐστι τὰ ἐπέκεινα τῆς Εὐρώ- 115

καὶ ἐπὶ πῆχυν: die Partikel hat explicative Kraft **und zwar**, wie I, 52.

C. 114. *ἀποκλινομένης δὲ ... χώρη*: ***ubi meridiana coeli plaga versus occidentem solem inclinat, ibi protenditur Aethiopia.*** Die Worte *πρὸς δύνοντα ἥλιον* gehören sowohl zu *ἀποκλινομένης* als zu *παρήκει*. — *ἀμφιλαφέας*: immer von Etwas **Gewaltigem, Weitumfassendem**; noch IV, 28. 50. 172.

C. 115. *ἔχω μέν*: wie I, 131. — *οὔτε γὰρ ἔγωγε*: aus der ganzen Argumentation geht hervor, dass zu Herodots Zeit die herrschende Meinung sein müsse, dass die Gränzen des westlichen Europas von dem Flusse Eridanus und von den Zinninseln gebildet seien. Dass bei dem Flusse Eridanus nicht an den Po gedacht werden kann, erhellt schon aus dem Zusatze *ἐκδιδόντα ἐς θάλασσαν τὴν πρὸς βορῆν ἄνεμον*. Heeren II, 1 S. 179: "Der alte Fluss Eridanus war und ist ein fabelhafter Fluss, der nirgends als in der Sage des Volkes und in der Phantasie des Dichters existirte. Ich sehe also nicht ein, was man dabei gewinnt, ob man ihn durch den Rhein oder die Raduna erklärt. Man kann den Namen deuten, auf welchen Fluss man will." Nach demselben sind die *κασσιτερίδες νῆσοι* die sorlingischen, nach Andern die britannischen Inseln. Diese Angaben über die Zinninseln und die Bernsteinküsten gingen von den Phöniciern aus, welche, wo man diese suchen müsse, absichtlich errathen liessen, weil sie, besonders bei dem Bernstein, alle Concurrenz zu vermeiden suchen mussten, wenn der hohe Preis desselben, der dem des Goldes gleich kam, nicht fallen sollte. — *τοῦτο μελετῶν*: **ohnge-**

πης. ἐξ ἐσχάτης δ' ὦν ὅ τε κασσίτερος ἡμῖν φοιτᾷ καὶ τὸ
116 *ἤλεκτρον. πρὸς δὲ ἄρκτου τῆς Εὐρώπης πολλῷ τι πλεῖστος χρυσὸς φαίνεται ἐών· ὅκως μὲν γινόμενος, οὐκ ἔχω οὐδὲ τοῦτο ἀτρεκέως εἶπαι, λέγεται δὲ ὑπὲκ τῶν γρυπῶν ἁρπάζειν Ἀριμασποὺς ἄνδρας μουνοφθάλμους· πείθομαι δὲ οὐδὲ τοῦτο, ὅκως μουνόφθαλμοι ἄνδρες φύονται, φύσιν ἔχοντες τὴν ἄλλην ὁμοίην τοῖσι ἄλλοισι ἀνθρώποισι. αἱ δὲ ὦν ἐσχατιαὶ οἴκασι περικληίουσαι τὴν ἄλλην χώρην καὶ ἐντὸς ἀπέργουσαι τὰ κάλλιστα δοκέοντα ἡμῖν εἶναι καὶ σπανιώτατα ἔχειν αὐτά.*

117 *Ἔστι δὲ πεδίον ἐν τῇ Ἀσίῃ περικεκληιμένον οὔρεϊ πάντοθεν, διασφάγες δὲ τοῦ οὔρεός εἰσι πέντε· τοῦτο τὸ πεδίον ἦν μέν κοτε Χορασμίων, ἐν οὔροισι ἐὸν τῶν Χορα-*

achtet aller meiner Bemühungen in dieser Beziehung.

C. 116. *πρὸς δὲ ἄρκτου τῆς Εὐρώπης*: Heeren I, 1 S. 93: "Bei Herodot, der das schwarze und caspische Meer nebst dem Phasis als die Nordgränze von Asien betrachtet, begreift das nördliche Europa zugleich unser ganzes nördliches Asien oder Sibirien, dessen Grösse und Umfang ihm zwar unbekannt blieb, aber von dem er doch wusste oder glaubte, dass es sich eben so weit als Mittelasien noch Osten zu erstreckte, und daher diesen Welttheil überhaupt an Grösse übertreffe." Dazu kommt, dass der Sitz der Fabel von den Arimaspen nach einer andern Stelle des Geschichtschreibers (IV, 27) offenbar in dem nordöstlichen Asien ist." — *ὅκως μὲν γινόμενος*: wie es gewonnen wird. — *ὑπέκ*: nur hier. "Die Doppelpräposition hat wie die einfache *ὑπό* auch die Bedeutung unter einem Ueberbau und dergl. hervor." Nitzsch zu Hom. Od. 11, 37. — *ἀπέργουσαι*: zu I, 72. — *αὐτά*: scheint eine pleonastische Wiederholung des vorausgeschickten Objects *τὰ κάλλιστα... καὶ σπανιώτατα* zu sein, zu der sich hier H. dadurch mag veranlasst gesehen haben, dass er vorher das Object nicht durch einfache Accusative *τὰ κάλλιστα καὶ σπανιώτατα* bezeichnet hatte, rein objectiv, sondern durch den Zusatz *τὰ δοκέοντα εἶναι*, subjectiv als Gegenstand der Meinung, wodurch der Ausdruck der Natur eines das Object umschreibenden Satzes sich nähert, so dass dann die directe Bezeichnung des Objects noch fehlt; es ist, wie wenn es vorher hiesse: *τὰ (ἃ) κάλλιστα δοκέει ἡμῖν εἶναι.*

C. 117. Dies Cap. gehört insofern in den Zusammenhang, als H. jetzt eigentlich damit beschäftigt ist, die Einkünfte des persischen Königs neben den auferlegten Tributen (*πάρεξ τοῦ φόρου*, wie es am Ende des Capitels heisst) aufzuzählen (c. 97), und nur durch zufällig eingeschaltete Digressionen von diesem seinen Zwecke eine Zeitlang abgebracht worden ist. — *διασφάγες*: Gloss. Herod. *αἱ διεστῶσαι πέτραι*. Noch II, 158. VII, 199. 216. — *τοῦτο τὸ πεδίον*: nach Heeren I, 1 S. 483 Anmerk. wahrscheinlich die Gegend des jetzigen Chiwa. — *τῶν Χορασμίων*: sind

σμίων τε αὐτέων καὶ Ὑρκανίων καὶ Πάρθων καὶ Σαραγγέων καὶ Θαμαναίων, ἐπείτε δὲ Πέρσαι ἔχουσι τὸ κράτος, ἐστὶ τοῦ βασιλέος. ἐκ δὴ ὦν τοῦ περικληίοντος οὔρεος τούτου ῥέει ποταμὸς μέγας, οὔνομα δέ οἵ ἐστι Ἄκης. οὗτος πρότερον μὲν ἄρδεσκε διαλελαμμένος πενταχοῦ τῶν εἰρημένων τούτων τὰς χώρας, διὰ διασφάγος ἀγόμενος ἑκάστης ἑκάστοισι, ἐπείτε δὲ ὑπὸ τῷ Πέρσῃ εἰσί, πεπόνθασι τοιόνδε· τὰς διασφάγας τῶν οὐρέων ἐνδείμας ὁ βασιλεὺς πύλας ἐπ᾿ ἑκάστῃ διασφάγι ἔστησε, ἀποκεκληιμένου δὲ τοῦ ὕδατος τῆς διεξόδου τὸ πεδίον τὸ ἐντὸς τῶν οὐρέων πέλαγος γίνεται, ἐνδιδόντος μὲν τοῦ ποταμοῦ, ἔχοντος δὲ οὐδαμῇ ἐξήλυσιν. οὗτοι ὦν οἵ περ ἔμπροσθε ἐώθεσαν χρᾶσθαι τῷ ὕδατι, οὐκ ἔχοντες αὐτῷ χρᾶσθαι συμφορῇ μεγάλῃ διαχρέωνται· τὸν μὲν γὰρ χειμῶνα ὕει σφι ὁ θεὸς ὥσπερ καὶ τοῖσι ἄλλοισι ἀνθρώποισι, τοῦ δὲ θέρεος σπείροντες μελίνην καὶ σήσαμον χρηίσκοντο τῷ ὕδατι. ἐπεὰν ὦν μηδέν σφι παραδιδῶται τοῦ ὕδατος, ἐλθόντες ἐς τοὺς Πέρσας αὐτοί τε καὶ γυναῖκες, στάντες κατὰ τὰς θύρας τοῦ βασιλέος βοῶσι ὠρυόμενοι, ὁ δὲ βασιλεὺς τοῖσι δεομένοισι αὐτέων μάλιστα ἐντέλλεται ἀνοίγειν τὰς πύλας τὰς ἐς τοῦτο φερούσας. ἐπεὰν δὲ διάκορος ἡ γῆ σφέων γένηται πίνουσα τὸ ὕδωρ, αὗται μὲν αἱ πύλαι ἀποκληίονται, ἄλλας δ᾿ ἐντέλλεται ἀνοίγειν ἄλλοισι τοῖσι δεομένοισι μάλιστα τῶν λοιπῶν. ὡς δὲ ἐγὼ οἶδα ἀκούσας, χρήματα μεγάλα πρησσόμενος ἀνοίγει, πάρεξ τοῦ φόρου.

so wie die folgenden Völkerschaften schon C. 93 erwähnt. — ἐπείτε δέ: *ex quo vero*. — Ἄκης: nach Heeren I, 1 S. 191 und I, 2 S. 289 der Oxus. Anders aber Ritter a. a. O. S. 98: "In der vielgedeuteten Stelle am hypothetisch gebliebenen Fluss Akes wohnen um den Bergkessel, aus dem derselbe nach fünf Seiten geflossen sein soll, die Chorasmier, Hyrkanier, Parther, Saranger und Thamanäer, wodurch letzterer Sitz mit dem der Parutah als identisch zusammenzufallen scheint, wobei jedoch der Fluss noch immer zu enträthseln bleibt." — διαλελαμμένος = διειλημμένος: zu I, 190. — ὑπὸ τῷ Π. εἰσί: zu I, 91. τῷ Πέρσῃ nämlich, dem König der Perser, wie I, 2. — πύλας: Schleusen. — ἐνδιδόντος: zu I, 91. — συμφορῇ: zu I, 32. — διαχρέωνται: zu I, 24. — ὠρυόμενοι: heulend, hier = wehklagen, aber IV, 75 = jauchzen. — ἐς τοῦτο: *ad hos*, in ihr Land. — διάκορος erklärt Thom. M. durch κεκορεσμένη.

118 Ταῦτα μὲν δὴ ἔχει οὕτω, τῶν δὲ τῷ Μάγῳ ἐπαναστάν-
των ἑπτὰ ἀνδρῶν, ἕνα αὐτῶν Ἰνταφέρνεα κατέλαβε ὑβρί-
σαντα τάδε ἀποθανεῖν αὐτίκα μετὰ τὴν ἐπανάστασιν. ἤθελε
ἐς τὰ βασιλήια ἐσελθὼν χρηματίσασθαι τῷ βασιλέι· καὶ
γὰρ δὴ καὶ ὁ νόμος οὕτω εἶχε, τοῖσι ἐπαναστᾶσι τῷ Μάγῳ
ἔσοδον εἶναι παρὰ βασιλέα ἄνευ ἀγγέλου, ἢν μὴ γυναικὶ
τυγχάνῃ μισγόμενος βασιλεύς. οὐκ ὦν δὴ Ἰνταφέρνης ἐδι-
καίευ οὐδένα οἱ ἐσαγγεῖλαι, ἀλλ' ὅτι ἦν τῶν ἑπτά, ἐσιέναι
ἤθελε. ὁ δὲ πυλουρὸς καὶ ὁ ἀγγελιηφόρος οὐ περιώρων,
φάμενοι τὸν βασιλέα γυναικὶ μίσγεσθαι. ὁ δὲ Ἰνταφέρνης
δοκέων σφέας ψεύδεα λέγειν ποιέει τοιάδε· σπασάμενος
τὸν ἀκινάκεα ἀποτάμνει αὐτῶν τά τε ὦτα καὶ τὰς ῥῖνας,
καὶ ἀνείρας περὶ τὸν χαλινὸν τοῦ ἵππου περὶ τοὺς αὐχένας
119 σφέων ἔδησε, καὶ ἀπῆκε. οἱ δὲ τῷ βασιλέι δεικνύασι ἑωυ-
τούς, καὶ τὴν αἰτίην εἶπον δι' ἣν πεπονθότες εἴησαν. Δα-
ρεῖος δὲ ἀρρωδήσας μὴ κοινῷ λόγῳ οἱ ἓξ πεποιηκότες ἔωσι
ταῦτα, μεταπεμπόμενος ἕνα ἕκαστον ἀπεπειρᾶτο γνώμης,
εἰ συνέπαινοί εἰσι τῷ πεποιημένῳ. ἐπείτε δὲ ἐξέμαθε ὡς
οὐ σὺν ἐκείνοισι εἴη ταῦτα πεποιηκώς, ἔλαβε αὐτόν τε τὸν
Ἰνταφέρνεα καὶ τοὺς παῖδας αὐτοῦ καὶ τοὺς οἰκηίους πάν-
τας, ἐλπίδας πολλὰς ἔχων μετὰ τῶν συγγενέων μιν ἐπιβου-
λεύειν οἱ ἐπανάστασιν, συλλαβὼν δέ σφεας ἔδησε τὴν ἐπὶ

C. 118. Nachdem H. den Faden seiner Erzählung durch die Darlegung der Satrapieneintheilung, verbunden mit der jedesmaligen Angabe des einer jeden Satrapie auferlegten Tributs und durch die Aufzählung der sonstigen Einkünfte der persischen Könige abgebrochen hat, wobei ihm der in Gold erlegte Tribut der Inder über deren Land zu sprechen Gelegenheit giebt, und nachdem er von Indien, was er als der Welt östliches Ende betrachtet, auf Arabien, was nach seiner Meinung die südliche Gränze bildet, zu reden gekommen ist, woran er durch einen natürlichen Uebergang seine Ansichten über die westliche und nördliche Gränze der Welt anreiht, setzt er hier nach diesen vielfachen episodisch eingeschalteten Digressionen den C. 89 unterbrochenen Gang seiner Geschichte weiter fort. — *κατέλαβε:* zu II, 66. — *χρηματίσασθαι:* verhandeln; noch VII, 163. — *ὁ νόμος*: schon erwähnt C. 84. — *περιώρων:* zu I, 24. — *καὶ ἀνείρας...:* hängte sie an den Zügel seines Pferdes, und band sie ihnen um den Hals und dann liess er sie laufen.

C. 119. *σὺν ἐκείνοισι*: *illis scientibus*. — *ἐλπίδας πολλὰς ἔχων*: *non fere dubitans*; so noch III, 122. — *τὴν ἐπὶ θανά-*

θανάτῳ. ἡ δὲ γυνὴ τοῦ Ἰνταφέρνεος φοιτῶσα ἐπὶ τὰς θύρας τοῦ βασιλέος κλαίεσκε ἂν καὶ ὀδυρέσκετο· ποιεῦσα δὲ αἰεὶ τὠυτὸ τοῦτο τὸν Δαρεῖον ἔπεισε οἰκτεῖραί μιν, πέμψας δὲ ἄγγελον ἔλεγε τάδε "ὦ γύναι, βασιλεύς τοι Δαρεῖος διδοῖ ἕνα τῶν δεδεμένων οἰκηίων ῥύσασθαι, τὸν βούλεαι ἐκ πάντων." ἡ δὲ βουλευσαμένη ὑπεκρίνατο τάδε "εἰ μὲν δή μοι διδοῖ βασιλεὺς ἑνὸς τὴν ψυχήν, αἱρέομαι ἐκ πάντων τὸν ἀδελφεόν." πυθόμενος δὲ Δαρεῖος ταῦτα καὶ θωυμάσας τὸν λόγον, πέμψας ἠγόρευε "ὦ γύναι, εἰρωτᾷ σε βασιλεύς, τίνα ἔχουσα γνώμην, τὸν ἄνδρα τε καὶ τὰ τέκνα ἐγκαταλιποῦσα, τὸν ἀδελφεὸν εἵλευ περιεῖναί τοι, ὃς καὶ ἀλλοτριώτερός τοι τῶν παίδων καὶ ἧσσον κεχαρισμένος τοῦ ἀνδρός ἐστι." ἡ δ' ἀμείβετο τοισίδε. "ὦ βασιλεῦ, ἀνὴρ μέν μοι ἂν ἄλλος γένοιτο, εἰ δαίμων ἐθέλοι, καὶ τέκνα ἄλλα, εἰ ταῦτα ἀποβάλοιμι· πατρὸς δὲ καὶ μητρὸς οὐκέτι μευ ζωόντων ἀδελφεὸς ἂν ἄλλος οὐδενὶ τρόπῳ γένοιτο. ταύτῃ τῇ γνώμῃ χρεωμένη ἔλεξα ταῦτα." εὖ τε δὴ ἔδοξε τῷ Δαρείῳ εἰπεῖν ἡ γυνή, καί οἱ ἀπῆκε τοῦτόν τε τὸν παραιτέετο καὶ τῶν παίδων τὸν πρεσβύτατον, ἡσθεὶς αὐτῇ, τοὺς δὲ ἄλλους ἀπέκτεινε πάντας.

Τῶν μὲν δὴ ἑπτὰ εἷς αὐτίκα τρόπῳ τῷ εἰρημένῳ ἀπολώλεε, κατὰ δέ κου μάλιστα τὴν Καμβύσεω νοῦσον ἐγένετο τάδε. ὑπὸ Κύρου κατασταθεὶς ἦν Σαρδίων ὕπαρχος Ὀροίτης ἀνὴρ Πέρσης. οὗτος ἐπεθύμησε πρήγματος οὐκ ὁσίου· 120

τῳ: zu I, 109. — κλαίεσκε ἄν: zu I, 42. — εἰ μέν: das Dem entsprechende εἰ δέ bleibt dem Leser zur Ergänzung überlassen. — ἀνὴρ μέν μοι ... γένοιτο: dieselben Gedanken werden von Sophocles der Antigone in den Mund gelegt Ant. 924. Aehnlich Lucian in Toxar. Cap. 61 und ohngefähr dasselbe spricht Seneca aus, *de remediis fortuitorum s. f.*: "*Amisi uxorem bonam.*" *Soror recuperari bona non potest nec mater: uxor adventicium bonum est; non est inter illa, quae semel unicuique contingunt. Multos tibi numerare possum, quibus bonam uxorem lugentibus contigit melior.*

C. 120. κατὰ δέ κου μάλιστα: wie I, 76, nur vom Ort auf die Zeit übertragen: ohngefähr um die Zeit, da K. krank war. — ὕπαρχος: bei den Historikern bald gleichbedeutend mit σατράπης, bald Bezeichnung eines dem Satrapen untergeordneten Beamten; bei H. scheint die erste Bedeutung bei wei-

οὔτε γάρ τι παθὼν οὔτε ἀκούσας μάταιον ἔπος πρὸς Πολυκράτεος τοῦ Σαμίου, οὔτε ἰδὼν πρότερον, ἐπεθύμησε λαβὼν αὐτὸν ἀπολέσαι, ὡς μὲν οἱ πλεῦνες λέγουσι, διὰ τοιήνδε τινὰ αἰτίην, ἐπὶ τῶν βασιλέος θυρέων κατήμενον τόν τε Ὀροίτην καὶ ἄλλον Πέρσην τῷ οὔνομα εἶναι Μιτροβάτεα, νομοῦ ἄρχοντα τοῦ ἐν Δασκυλείῳ, τούτους ἐκ λόγων ἐς νείκεα συμπεσέειν, κρινομένων δὲ περὶ ἀρετῆς εἰπεῖν τὸν Μιτροβάτεα τῷ Ὀροίτῃ προφέροντα "σὺ γὰρ ἐν ἀνδρῶν λόγῳ, ὃς βασιλέι νῆσον Σάμον πρὸς τῷ σῷ νομῷ προσκειμένην οὐ προσεκτήσαο, ὧδε δή τι ἐοῦσαν εὐπετέα χειρωθῆναι, τὴν τῶν τις ἐπιχωρίων πεντεκαίδεκα ὁπλίτῃσι ἐπαναστὰς ἔσχε, καὶ νῦν αὐτῆς τυραννεύει." οἱ μὲν δή μίν φασι τοῦτο ἀκούσαντα, καὶ ἀλγήσαντα τῷ ὀνείδεϊ, ἐπιθυμῆσαι οὐκ οὕτω τὸν εἴπαντα ταῦτα τίσασθαι ὡς Πολυκράτεα
121 *πάντως ἀπολέσαι, δι' ὅντινα κακῶς ἤκουσε. οἱ δὲ ἐλάσσονες λέγουσι πέμψαι Ὀροίτεα ἐς Σάμον κήρυκα ὅτευ δὴ χρήματος δεησόμενον (οὐ γὰρ ὦν δὴ τοῦτό γε λέγεται), καὶ τὸν Πολυκράτεα τυχεῖν κατακείμενον ἐν ἀνδρεῶνι, παρεῖναι δέ οἱ καὶ Ἀνακρέοντα τὸν Τήιον· καί κως εἴτ' ἐκ προνοίης*

tem vorzuwalten. — *μάταιον ἔπος:* *temere ac stolide prolatum verbum*, daher *contumeliosum, iniuriosum;* so VII, 15 *μάταια ἔπεα*, wofür C. 13 *αεικέστερα* steht; ähnlich *λόγους ματαίους* VII, 10, 7. — *ἰδών*: näml. *αὐτόν*. — *ὡς μὲν οἱ πλεῦνες*: dem entspricht *οἱ δὲ ἐλάσσονες λέγουσι* am Anfange des folgenden Capitels; wiederaufgenommen ist das *μέν* mitten zwischen *οἱ μὲν δή μίν φασι*. — *τῷ . . . εἶναι:* zu I, 24. — *Δασκυλείῳ:* Residenz des Satrapen von Bithynien, östlich von Cyzicus an der südlichen Seite der Propontis; noch III, 126 u. VI, 33. — *τούτους:* pleonastisch wie II, 13. — *κρινομένων:* näml. *αὐτῶν*, *indem sie stritten*. — *προφέροντα:* zu I, 3. — *σὺ γὰρ ἐν ἀνδρῶν λόγῳ:* ironisch zu fassen: *Du willst ein Mann sein* = *Du bist keiner*; die Partikel *γάρ* giebt den Grund zu einem zu ersetzenden Gedanken an, etwa so: du kannst dir nicht viel auf deine *ἀρετή* einbilden, denn du bist kein Mann, da du . . . — *ὧδε . . . τήν:* zu III, 12. — *οὐκ οὕτω . . . . ὡς:* zu III, 47. — *κακῶς ἤκουσε:* wie *male audire;* vgl. II, 173; so noch III, 131. VI, 86, 1. VIII, 93. IX, 79.

C. 121. *ἐλάσσονες:* der Gegensatz steht oben *πλεῦνες*. — *ὅτευ δή*: zu I, 157. — *οὐ γὰρ ὦν:* gerade wie I, 11, nur dass hier Das, was als Folge zu betrachten ist, hinzugedacht werden muss, nämlich: *οὐδὲ ἐγὼ ἔχω λέγειν*. — *Ἀνακρέοντα:* ein lyrischer Dichter aus Teos (*τὸν Τήιον:* zu I, 168) in Ionien, der eine Zeitlang (um das

αὐτὸν κατηλογέοντα τὰ Ὀροίτεω πρήγματα, εἴτε καὶ συντυχίη τις τοιαύτη ἐπεγένετο· τόν τε γὰρ κήρυκα τὸν Ὀροίτεω παρελθόντα διαλέγεσθαι, καὶ τὸν Πολυκράτεα (τυχεῖν γὰρ ἀπεστραμμένον πρὸς τὸν τοῖχον) οὔτε τι μεταστραφῆναι οὔτε ὑποκρίνασθαι. αἰτίαι μὲν δὴ αὗται διφάσιαι λέγον- 122
ται τοῦ θανάτου τοῦ Πολυκράτεος γενέσθαι, πάρεστι δὲ πείθεσθαι ὁκοτέρῃ τις βούλεται αὐτέων. ὁ δὲ ὦν Ὀροίτης ἱζόμενος ἐν Μαγνησίῃ τῇ ὑπὲρ Μαιάνδρου ποταμοῦ οἰκημένῃ ἔπεμπε Μύρσον τὸν Γύγεω ἄνδρα Λυδὸν ἐς Σάμον ἀγγελίην φέροντα, μαθὼν τοῦ Πολυκράτεος τὸν νόον. Πολυκράτης γάρ ἐστι πρῶτος τῶν ἡμεῖς ἴδμεν Ἑλλήνων ὃς θαλασσοκρατέειν ἐπενοήθη, πάρεξ Μίνω τε τοῦ Κνωσίου καὶ εἰ δή τις ἄλλος πρότερος τούτου ἦρξε τῆς θαλάσσης· τῆς δὲ ἀνθρωπηίης λεγομένης γενεῆς Πολυκράτης ἐστὶ πρῶτος, ἐλπίδας πολλὰς ἔχων Ἰωνίης τε καὶ νήσων ἄρξειν. μαθὼν ὦν ταῦτά μιν διανοεύμενον ὁ Ὀροίτης πέμψας ἀγγελίην ἔλεγε τάδε. „Ὀροίτης Πολυκράτεϊ ὧδε λέγει. πυνθάνομαι ἐπιβουλεύειν σε πρήγμασι μεγάλοισι καὶ χρήματά

Jahr 550) in Samos bei Polycrates lebte, nach dessen Tode aber, von Hipparch, dem Sohne des Peisistratos gerufen, nach Athen sich begab, und daselbst in seinem 85. Jahre starb. — ἐκ προνοίης: zu I, 159. — αὐτόν: nämlich τὸν Πολυκράτεα. — κατηλογέοντα: zu I, 84. Die Construction dieser Periode von καί κως an bis ans Ende des Capitels ist etwas verwickelt und zwar wegen des eingeschobenen durch γάρ eingeleiteten Causalsatzes (τόν τε γὰρ κήρυκα . . .); nach der gewöhnlichen Construction würden nach Steger die Worte in dieser Reihenfolge stehen: καί κως τὸν Πολυκράτεα, εἴτ' ἐκ προνοίης κατηλόγεε τὰ Ὀροίτεω πρήγματα, εἴτε καὶ συντυχίη τις τοιαύτη ἐπεγένετο· τὸν ὦν δὴ Πολυκράτεα, τοῦ κήρυκος τοῦ Ὀροίτεω παρελθόντα διαλέγεσθαι, οὔτε τι μεταστραφῆναι, (τυχεῖν γὰρ αὐτὸν ἐπεστραμμένον πρὸς τὸν τοῖχον,) οὔτε ὑποκρίνασθαι.

C. 122. ἐν Μαγνησίῃ: Stadt in Karien, nahe an der Mündung des kleinen Flusses Lethaeos in den Maeandros, eine äolische Colonie mit einem schönen Tempel der Artemis Leucophryne; verschieden von Magnesia am Berge Sipylos. — τὸν νόον: die Pläne, nämlich die Unterwerfung von Ionien und der Inseln, wie gleich darauf erzählt wird. — Μίνωος: Thuc. I, 4 Μίνως γὰρ παλαίτατος ὧν ἀκοῇ ἴσμεν ναυτικὸν ἐκτήσατο καὶ τῆς νῦν Ἑλληνικῆς θαλάσσης ἐπὶ πλεῖστον ἐκράτησεν καὶ τῶν Κυκλάδων νήσων ἦρξέ τε καὶ οἰκιστὴς πρῶτος τῶν πλείστων ἐγένετο. — τῆς δὲ ἀνθρωπηίης λ. γ.: der Gegensatz wäre τῆς μυθικῆς γενεῆς, wozu eben Minos gehört. — ἐλπίδας πολλὰς ἔχων: zu III, 119. —

τοι οὐκ εἶναι κατὰ τὰ φρονήματα. σύ νυν ὧδε ποιήσας ὀρθώσεις μὲν σεωυτόν, σώσεις δὲ καὶ ἐμέ· ἐμοὶ γὰρ βασιλεὺς Καμβύσης ἐπιβουλεύει θάνατον, καί μοι τοῦτο ἐξαγγέλλεται σαφηνέως. σύ νυν ἐμὲ ἐκκομίσας αὐτὸν καὶ χρήματα, τὰ μὲν αὐτέων αὐτὸς ἔχε, τὰ δὲ ἐμὲ ἔα ἔχειν· εἵνεκέν τε χρημάτων ἄρξεις ἁπάσης τῆς Ἑλλάδος. εἰ δέ μοι ἀπιστέεις τὰ περὶ τῶν χρημάτων, πέμψον ὅστις τοι πιστότατος τυγ-
123 χάνει ἐών, τῷ ἐγὼ ἀποδέξω." ταῦτα ἀκούσας Πολυκράτης ἥσθη τε καὶ ἐβούλετο· καί κως ἱμείρετο γὰρ χρημάτων μεγάλως, ἀποπέμπει πρῶτα κατοψόμενον Μαιάνδριον Μαιανδρίου ἄνδρα τῶν ἀστῶν, ὅς οἱ ἦν γραμματιστής· ὃς χρόνῳ οὐ πολλῷ ὕστερον τουτέων τὸν κόσμον τὸν ἐκ τοῦ ἀνδρεῶνος τοῦ Πολυκράτεος ἐόντα ἀξιοθέητον ἀνέθηκε πάντα ἐς τὸ Ἡραῖον. ὁ δὲ Ὀροίτης μαθὼν τὸν κατάσκοπον ἐόντα προσδόκιμον ἐποίεε τοιάδε· λάρνακας ὀκτὼ πληρώσας λίθων πλὴν κάρτα βραχέος τοῦ περὶ αὐτὰ τὰ χείλεα, ἐπιπολῆς τῶν λίθων χρυσὸν ἐπέβαλε, καταδήσας δὲ τὰς λάρνακας εἶχε ἑτοίμας. ἐλθὼν δὲ ὁ Μαιάνδριος καὶ
124 θεησάμενος ἀπήγγειλε τῷ Πολυκράτεϊ. ὁ δὲ πολλὰ μὲν τῶν μαντίων ἀπαγορευόντων πολλὰ δὲ τῶν φίλων ἐστέλλετο αὐτὸς ἀπιέναι, πρὸς δὲ καὶ ἰδούσης τῆς θυγατρὸς ὄψιν ἐνυπνίου τοιήνδε· ἐδόκεέ οἱ τὸν πατέρα ἐν τῷ ἠέρι μετέωρον ἐόντα λοῦσθαι μὲν ὑπὸ τοῦ Διός, χρίεσθαι δὲ ὑπὸ τοῦ ἡλίου. ταύτην ἰδοῦσα τὴν ὄψιν παντοίη ἐγίνετο μὴ ἀποδημῆσαι τὸν Πολυκράτεα παρὰ τὸν Ὀροίτεα, καὶ δὴ

κατὰ τὰ φρονήματα: wie I, 98. — *εἵνεκέν τε χρημάτων*: *et harum pecuniarum ope.*

C. 123. *ἐπιπολῆς*: zu I, 187. — *καταδήσας*: ehe die Schlüssel erfunden waren, wurden die Kisten und Thüren mit Riemen geschlossen, woran so künstliche Knoten geschlungen wurden, dass sie nicht leicht ein Anderer lösen konnte. Hom. Od. 8, 447: *αὐτίκ' ἐπήρτυε πῶμα, θοῶς δ' ἐπὶ δεσμὸν ἴηλεν ποικίλον, ὅν ποτέ μιν δέδαε φρεσὶ πότνια Κίρκη.* Eine ähnliche List, wie die des Oroites wird erwähnt bei Cornel. Nep. im Leben des Hannibal C. 9.

C. 124. *πρὸς δὲ καὶ ἰδ.*: *obgleich ausserdem auch* ... — *παντοίη ἐγίνετο*: *in omnes se formas vertebat, omnem movebat lapidem, nihil non tentabat*; sonst (VII, 10, 3. u. IX, 109) steht nach dieser Redeweise ein Participium *δεόμενοι, οὐ βουλόμενος*. Die Partikel *μή* ist

*καὶ ἰόντος αὐτοῦ ἐπὶ τὴν πεντηκόντερον ἐπεφημίζετο. ὁ δέ
οἱ ἠπείλησε, ἢν σῶς ἀπονοστήσῃ, πολλόν μιν χρόνον παρ-
θενεύεσθαι. ἡ δὲ ἠρήσατο ἐπιτελέα ταῦτα γενέσθαι· βού-
λεσθαι γὰρ παρθενεύεσθαι πλέω χρόνον ἢ τοῦ πατρὸς ἐστε-
ρῆσθαι. Πολυκράτης δὲ πάσης συμβουλίης ἀλογήσας ἔπλεε* 125
*παρὰ τὸν Ὀροίτεα, ἅμα ἀγόμενος ἄλλους τε πολλοὺς τῶν
ἑταίρων, ἐν δὲ δὴ καὶ Δημοκήδεα τὸν Καλλιφῶντος Κρο-
τωνιήτην ἄνδρα, ἰητρόν τε ἐόντα καὶ τὴν τέχνην ἀσκέοντα
ἄριστα τῶν κατ᾽ ἑωυτόν. ἀπικόμενος δὲ ἐς τὴν Μαγνησίην
ὁ Πολυκράτης διεφθάρη κακῶς, οὔτε ἑωυτοῦ ἀξίως οὔτε
τῶν ἑωυτοῦ φρονημάτων· ὅτι γὰρ μὴ οἱ Συρηκοσίων γενό-
μενοι τύραννοι, οὐδὲ εἷς τῶν ἄλλων Ἑλληνικῶν τυράννων
ἄξιός ἐστι Πολυκράτεϊ μεγαλοπρεπείην συμβληθῆναι. ἀπο-
κτείνας δέ μιν οὐκ ἀξίως ἀπηγήσιος Ὀροίτης ἀνεσταύρωσε·
τῶν δέ οἱ ἑπομένων ὅσοι μὲν ἔσαν Σάμιοι, ἀπῆκε, κελεύων
σφέας ἑωυτῷ χάριν εἰδέναι ἐόντας ἐλευθέρους, ὅσοι δὲ
ἔσαν ξεῖνοί τε καὶ δοῦλοι τῶν ἑπομένων, ἐν ἀνδραπόδων
λόγῳ ποιεύμενος εἶχε. Πολυκράτης δὲ ἀνακρεμάμενος ἐπε-
τέλεε πᾶσαν τὴν ὄψιν τῆς θυγατρός· ἐλοῦτο μὲν γὰρ ὑπὸ
τοῦ Διός, ὅκως ὕοι, ἐχρίετο δὲ ὑπὸ τοῦ ἡλίου, ἀνιεὶς αὐ-
τὸς ἐκ τοῦ σώματος ἰκμάδα.*

*Πολυκράτεος μὲν δὴ αἱ πολλαὶ εὐτυχίαι ἐς τοῦτο ἐτε-
λεύτησαν, τῇ οἱ Ἄμασις ὁ Αἰγύπτου βασιλεὺς προεμαντεύ-
σατο. χρόνῳ δὲ οὐ πολλῷ ὕστερον καὶ Ὀροίτεα Πολυκρά-* 126

durch den vorschwebenden Begriff des Verhinderns motivirt. — *παρθενεύεσθαι*: für's Futurum, wie bisweilen nach den Verben des Versprechens. — *βούλεσθαι*: nicht *velle*, sondern *malle*, wie so häufig im Homer.

C. 125. *ἀλογήσας*: zu I, 84. — *ἐν δὲ δὴ καί*: zu I, 74. — *κατ᾽ ἑωυτόν*: seiner Zeit, also *κατά* wie III, 120. — *Μαγνησίην*: zu III, 122. — *ὅτι μή*: zu I, 18. — *οἱ Συρηκουσίων γεν. τύραννοι*: nämlich Gelon und Hieron. — *μεγαλοπρεπείην*: statt des Accusativs steht II, 10 der Genitiv mit *περί*. — *οὐκ ἀξίως ἀπηγήσιος*: er soll nach Einigen abgeschunden worden sein. — *ἐόντας ἐλευθέρους*: nämlich dafür, dass ...; so IX, 79 *ἐὼν ἀπαθής* dafür, dass es dir nicht übel geht. Statt der Participialconstruction steht ein relativischer Satz I, 71 u. III, 21. — *ἀνιείς*: zu I, 213. — *ἐς τοῦτο ... τῇ*: zu III, 64. — *προεμαντεύσατο*: erzählt III, 40.

τεος τίσιες μετῆλθον, μετὰ γὰρ τὸν Καμβύσεω θάνατον καὶ τῶν Μάγων τὴν βασιληίην μένων ἐν τῇσι Σάρδισι Ὀροίτης ὠφέλεε μὲν οὐδὲν Πέρσας ὑπὸ Μήδων ἀπαραιρημένους τὴν ἀρχήν· ὁ δὲ ἐν ταύτῃ τῇ ταραχῇ κατὰ μὲν ἔκτεινε Μιτροβάτεα τὸν ἐκ Δασκυλείου ὕπαρχον, ὅς οἱ ὠνείδισε τὰ ἐς Πολυκράτεα ἔχοντα, κατὰ δὲ τοῦ Μιτροβάτεω τὸν παῖδα Κρανάσπην, ἄνδρας ἐν Πέρσῃσι δοκίμους, ἄλλα τε ἐξύβρισε παντοῖα, καί τινα ἀγγαρήιον Δαρείου ἐλθόντα παρ' αὐτόν, ὡς οὐ πρὸς ἡδονήν οἱ ἦν τὰ ἀγγελλόμενα, κτείνει μιν ὀπίσω κομιζόμενον, ἄνδρας οἱ ὑπείσας κατ' ὁδόν, ἀποκτείνας δέ
127 *μιν ἠφάνισε αὐτῷ ἵππῳ. Δαρεῖος δὲ ὡς ἔσχε τὴν ἀρχήν, ἐπεθύμεε τὸν Ὀροίτεα τίσασθαι πάντων τε τῶν ἀδικημάτων εἵνεκεν καὶ μάλιστα Μιτροβάτεω καὶ τοῦ παιδός. ἐκ μὲν δὴ τῆς ἰθέης στρατὸν ἐπ' αὐτὸν οὐκ ἐδόκεε πέμπειν ἅτε οἰδεόντων ἔτι τῶν πρηγμάτων, καὶ νεωστὶ ἔχων τὴν ἀρχήν, καὶ τὸν Ὀροίτεα μεγάλην τὴν ἰσχὺν πυνθανόμενος ἔχειν, τὸν χίλιοι μὲν Περσέων ἐδορυφόρεον, εἶχε δὲ νομὸν*

C. 126. *ὑπὸ Μήδων*: nämlich von den beiden Magern. — *ὁ δέ* = *ἀλλά*, wie I, 66. — *ἐν ταύτῃ τῇ ταραχῇ*: Heeren I, 1 S. 412: "Die Bewegungen, welche aus diesen Bestrebungen der Magier entstanden, waren so gross, dass man sie durch ganz Asien fühlte." — *Δασκυλείου ὕπαρχον*: zu III, 120. — *ἐς Π. ἔχοντα*: zu III, 48. — *κατὰ δέ* = *κατέκτεινε δέ*. — *ἀγγαρήϊον* — *ἄγγαρον* (ein persisches Wort) e i n r e i t e n d e r E i l b o t e (Nom. *ὁ ἄγγαρος*). Heeren I, 1 S. 497: "Zu der schnellen Communication mit den Provinzen und ihren Statthaltern war eine Anstalt errichtet, die man, wiewohl sehr unrichtig, mit unsern Posten zu vergleichen pflegt. Es waren Eilboten angestellt, die nach Stationen vertheilt waren, so dass aber jede Station eine Tagereise ausmachte, welche die Befehle des Königs an die Satrapen und wiederum die Depeschen der letztern nach Hofe bringen mussten." Man kann diese Anstalt nicht mit unsern Posten vergleichen, weil sie blos für den Hof bestimmt war. Sie hiess nach H. VIII, 98, der sie daselbst genau beschreibt, (*τὸ*) *ἀγγαρήιον*. — *ἄνδρας οἱ ὑπείσας*: *c o l l o c a t i s   i n s i d i a t o r i b u s*; so noch VI, 103; vgl. I, 66. — *αὐτῷ ἵππῳ*: wie II, 47.

C. 127. *ἐκ μὲν δὴ τῆς ἰθέης*: diesem *μέν* folgt kein entsprechendes *δέ*, der Gegensatz ist aber enthalten in den Worten *πρὸς ταῦτα δὴ ὦν . . .*, wofür H. schreiben konnte *ἐμηχανήσατο δὲ τάδε*. Da er aber erst die Gründe angegeben hatte, warum dem Darius die erste Alternative misfiel, fand er es zweckmässiger, den Gegensatz so anzuknüpfen. Ueber *ἐκ τῆς ἰθέης* vgl. II, 161; hier mag auch wie bei *τὴν πρώτην* I, 153 ursprünglich ein Substantiv wie *ὁρμή* vorgeschwebt haben. — *οἰδεόντων ἔτι τῶν πρηγμάτων*: zu III, 76. — *τὸν χίλιοι μὲν Π. ἐδορυφόρεον*:

τόν τε Φρύγιον καὶ Λύδιον καὶ Ἰωνικόν. πρὸς ταῦτα δὴ ὦν ὁ Δαρεῖος τάδε ἐμηχανήσατο. συγκαλέσας Περσέων τοὺς δοκιμωτάτους ἔλεγέ σφι τάδε. "ὦ Πέρσαι, τίς ἄν μοι τοῦτο ὑμέων ὑποστὰς ἐπιτελέσειε σοφίῃ καὶ μὴ βίῃ τε καὶ ὁμίλῳ; ἔνθα γὰρ σοφίης δέει, βίης ἔργον οὐδέν. ὑμέων δὴ ὦν τίς ἄν μοι Ὀροίτεα ἢ ζώοντα ἀγάγοι ἢ ἀποκτείνειε; ὃς ὠφέλησε μέν κω Πέρσας οὐδέν, κακὰ δὲ μεγάλα ἔοργε. τοῦτο μὲν δύο ἡμέων ἠίστωσε, Μιτροβάτεά τε καὶ τὸν παῖδα αὐτοῦ, τοῦτο δὲ τοὺς ἀνακαλέοντας αὐτὸν καὶ πεμπομένους ὑπ' ἐμεῦ κτείνει, ὕβριν οὐκ ἀνάσχετον φαίνων. πρίν τι ὦν μέζον ἐξεργάσασθαί μιν Πέρσας κακόν, καταλαμπτέος ἐστὶ ἡμῖν θανάτῳ." Δαρεῖος μὲν ταῦτα ἐπειρώτα, τῷ δὲ ἄνδρες 128
τριήκοντα ὑπέστησαν, αὐτὸς ἕκαστος ἐθέλων ποιέειν ταῦτα. ἐρίζοντας δὲ Δαρεῖος κατελάμβανε κελεύων πάλλεσθαι· παλλομένων δὲ λαγχάνει ἐκ πάντων Βαγαῖος ὁ Ἀρτόντεω. λαχὼν δὲ ὁ Βαγαῖος ποιέει τοιάδε. βιβλία γραψάμενος πολλὰ καὶ περὶ πολλῶν ἔχοντα πρηγμάτων σφρηγῖδά σφι ἐπέβαλε τὴν Δαρείου, μετὰ δὲ ἤιε ἔχων ταῦτα ἐς τὰς Σάρδις. ἀπικόμενος δὲ καὶ Ὀροίτεω ἐς ὄψιν ἐλθών, τῶν βιβλίων ἓν ἕκαστον περιαιρεόμενος ἐδίδου τῷ γραμματιστῇ τῷ βασιληίῳ ἐπιλέγεσθαι· γραμματιστὰς δὲ βασιληίους

Heeren I, 1. S. 495: "Der Hof der Satrapen war gänzlich nach dem der Könige geformt. Sie hatten ihren Harem, dessen Aufsicht gleichfalls Verschnittenen anvertraut war, ein zahlreiches Gefolge oder ihre Haustruppen, die von den königlichen verschieden waren, und ganz oder doch zum Theil aus Persern bestanden; ihre Wohnungen waren, so wie die der Könige, mit grossen Paradiesen umgeben; und in den bessern Jahreszeiten zogen sie zuweilen, von ihrem Gefolge begleitet, mit ihrem Hoflager herum, und lebten unter Gezelten." — *τόν τε Φρύγιον καὶ Λ. καὶ Ἰ.*: ebendas. S. 498: "Der Uebermuth der Satrapen hatte, ausser der Vereinigung der Militär- und Civilgewalt in ihren Händen, seinen Grund besonders darin, dass ihr Gebiet zu sehr vergrössert wurde, indem man mehrere Satrapien Einem übertrug." — *πρὸς ταῦτα*: zu I, 38. — *ὑποστάς*: zu I, 196. — *ἠίστωσε*: zu III, 69. — *καταλαμπτέος*: zu I, 46.

C. 128. *ὑπέστησαν*: zu I, 196. — *κατελάμβανε*: zu I, 46. — *ἔχοντα*: zu fassen wie II, 91. — *περιαιρεόμενος*: zu III, 41; er nahm das Band ab, was um jedes *βιβλίον* rings herum lag, er entsiegelte den Brief. — *ἐπιλέγεσθαι*: zu I, 78. — *γραμματιστὰς δὲ βασιληίους*: Heeren I, 1 S. 496: "Um das Interesse des Königs zu besor-

οἱ πάντες ὕπαρχοι ἔχουσι. ἀποπειρώμενος δὲ τῶν δορυφόρων ἐδίδου τὰ βιβλία ὁ Βαγαῖος, εἴ οἱ ἐνδεξαίατο ἀπόστασιν ἀπ' Ὀροίτεω. ὁρέων δέ σφεας τά τε βιβλία σεβομένους μεγάλως καὶ τὰ λεγόμενα ἐκ τῶν βιβλίων ἔτι μεζόνως, διδοῖ ἄλλο ἐν τῷ ἐνῆν ἔπεα τοιάδε, "ὦ Πέρσαι, βασιλεὺς Δαρεῖος ἀπαγορεύει ὑμῖν μὴ δορυφορέειν Ὀροίτεα." οἱ δὲ ἀκούσαντες τούτων μετῆκάν οἱ τὰς αἰχμάς. ἰδὼν δὲ τοῦτό σφεας ὁ Βαγαῖος πειθομένους τῷ βιβλίῳ, ἐνθαῦτα δὴ θαρσήσας τὸ τελευταῖον τῶν βιβλίων διδοῖ τῷ γραμματιστῇ, ἐν τῷ ἐγέγραπτο "βασιλεὺς Δαρεῖος Πέρσῃσι τοῖσι ἐν Σάρδισι ἐντέλλεται κτείνειν Ὀροίτεα." οἱ δὲ δορυφόροι ὡς ἤκουσαν ταῦτα, σπασάμενοι τοὺς ἀκινάκας κτείνουσι παραυτίκα μιν. οὕτω δὴ Ὀροίτεα τὸν Πέρσην Πολυκράτεος τοῦ Σαμίου τίσιες μετῆλθον.

129 *Ἀπικομένων δὲ καὶ ἀνακομισθέντων τῶν Ὀροίτεω χρημάτων ἐς τὰ Σοῦσα, συνήνεικε χρόνῳ οὐ πολλῷ ὕστερον βασιλέα Δαρεῖον ἐν ἄγρῃ θηρῶν ἀποθρώσκοντα ἀπ' ἵππου στραφῆναι τὸν πόδα. καί κως ἰσχυροτέρως ἐστράφη· ὁ γάρ οἱ ἀστράγαλος ἐξεχώρησε ἐκ τῶν ἄρθρων. νομίζων δὲ καὶ πρότερον περὶ ἑωυτὸν ἔχειν Αἰγυπτίων τοὺς δοκέοντας εἶναι πρώτους τὴν ἰητρικήν, τούτοισι ἐχρᾶτο. οἱ δὲ στρε-*

gen, waren in dem Gefolge jedes Satrapen stets königliche Schreiber, denen die Befehle des Königs eingehändigt werden, und die sie den Satrapen eröffnen. Diese Befehle erfordern alsdann den schnellsten Gehorsam und jede Widerspenstigkeit ist Rebellion. Auch der blosse Verdacht reicht schon hin, den Satrapen ins Verderben zu stürzen." — *οἱ πάντες ὕπαρχοι*: zu III, 120. — *ἐνδεξαίατο*: kann von *ἐνδέχεσθαι* und von *ἐνδείκνυσθαι* abgeleitet werden; im ersten Falle heisst es: Bagäos will versuchen, ob sich die Trabanten wohl einlassen würden auf einen Abfall von O., ob sie darauf eingehen würden; im letzteren würde es heissen: er wollte sehen, ob sie wohl in ihrem Benehmen etwas vom Abfall blicken liessen, wobei vorausgesetzt wäre, dass die Trabanten ohnehin schon den Abfall im Sinne hätten, und dass es nur darauf ankäme, dies wahrzunehmen und zu ermitteln; das ist aber eine hier unrichtige Voraussetzung. — *μετῆκάν οἱ τὰς αἰχμάς*: legten ihre Lanzen nieder als Zeichen des Gehorsams; *οἱ* ist auf Bagäos zu beziehen: ihm, dem Ueberbringer der königlichen Befehle zu Ehren. — *Ὀροίτεα... μετῆλθον*: vgl. II, 120.

C. 129. *συνήνεικε*: zu I, 73. — *τῶν ἄρθρων*: zu III, 87. — *τὴν ἰητρικήν*: dass die Aegyptier in dieser Kunst weit waren, erhellt aus

βλοῦντες καὶ βιώμενοι τὸν πόδα κακὸν μέζον ἐργάζοντο. ἐπ᾽ ἑπτὰ μὲν δὴ ἡμέρας καὶ ἑπτὰ νύκτας ὑπὸ τοῦ παρεόντος κακοῦ ὁ Δαρεῖος ἀγρυπνίῃσι εἴχετο, τῇ δὲ δὴ ὀγδόῃ ἡμέρῃ ἔχοντί οἱ φλαύρως παρακούσας τις πρότερον ἔτι ἐν Σάρδισι τοῦ Κροτωνιήτεω Δημοκήδεος τὴν τέχνην ἀγγέλλει τῷ Δαρείῳ· ὁ δὲ ἄγειν μιν τὴν ταχίστην παρ᾽ ἑωυτὸν ἐκέλευσε. τὸν δὲ ὡς ἐξεῦρον ἐν τοῖσι Ὀροίτεω ἀνδραπόδοισι ὁκουδὴ ἀπημελημένον, παρῆγον ἐς μέσον πέδας τε ἕλκοντα καὶ ῥάκεσι ἐσθημένον. σταθέντα δὲ ἐς μέσον εἰρώτα ὁ 130
Δαρεῖος τὴν τέχνην εἰ ἐπίσταιτο· ὁ δ᾽ οὐκ ὑπεδέκετο, ἀρρωδέων μὴ ἑωυτὸν ἐκφήνας τὸ παράπαν τῆς Ἑλλάδος ᾖ ἀπεστερημένος. κατεφάνη δὲ τῷ Δαρείῳ τεχνάζειν ἐπιστάμενος, καὶ τοὺς ἀγαγόντας αὐτὸν ἐκέλευσε μάστιγάς τε καὶ κέντρα παραφέρειν ἐς τὸ μέσον. ὁ δὲ ἐνθαῦτα δὴ ὧν ἐκφαίνει, φὰς ἀτρεκέως μὲν οὐκ ἐπίστασθαι, ὁμιλήσας δὲ ἰητρῷ φλαύρως ἔχειν τὴν τέχνην. μετὰ δέ, ὥς οἱ ἐπέτρεψε, Ἑλληνικοῖσι ἰήμασι χρεώμενος καὶ ἤπια μετὰ τὰ ἰσχυρὰ προσάγων ὕπνου τέ μιν λαγχάνειν ἐποίεε καὶ ἐν χρόνῳ ὀλίγῳ ὑγιέα μιν ἐόντα ἀπέδεξε, οὐδαμὰ ἔτι ἐλπίζοντα ἀρτίπουν ἔσεσθαι. δωρέεται δή μιν μετὰ ταῦτα ὁ Δαρεῖος πεδέων χρυσέων δύο ζεύγεσι· ὁ δέ μιν ἐπείρετο εἴ οἱ διπλήσιον τὸ κακὸν ἐπίτηδες νέμει, ὅτι μιν ὑγιέα ἐποίησε. ἡσθεὶς δὲ τῷ ἔπεϊ ὁ Δαρεῖος ἀποπέμπει μιν παρὰ τὰς ἑωυτοῦ γυναῖκας. παράγοντες δὲ οἱ εὐνοῦχοι ἔλεγον πρὸς τὰς γυναῖκας ὡς βασιλέι οὗτος εἴη ὃς τὴν ψυχὴν ἀπέδωκε. ὑπο-

II, 84. — *βιώμεναι*: zu I, 19; natürlich um den Fuss wieder in die richtige Lage zu bringen. — *παρακούσας*: der nebenbei (*παρα*—) gehört hatte. — *τῷ Δαρείῳ*: pleonastisch, da *ἔχοντί οἱ* vorher steht; aber durch die eingeschaltete Parenthese motivirt. — *ὁκουδή*: in irgend einem Winkel; vgl. I, 157. — *παρῆγον*: zu I, 91. — *ἐσθημένον* = *ἠμφιεσμένον*. Noch VI, 112.

C. 130. *οὐκ ὑπεδέκετο*: zu I, 24. — *τεχνάζειν*: *artificiis uti, dissimulare*; so noch VI, 1 u. im Medium II, 121, 1. Das Wortspiel, wozu *τεχνάζειν* und *τέχνη* Anlass giebt, ist zu bemerken. — *ἐπιστάμενος*: obgleich er ... — *ὥς οἱ ἐπέτρεψε*: intransitiv, als D. sich ihm anvertraut hatte. — *ζεύγεσι*: zu III, 76. — *ἐπίτηδες*: absichtlich, mit Vorbedacht, gerade deswegen; noch VII, 44. 168. VIII, 141. — *παράγοντες*: zu I, 91. — *ὑπο-*

τύπτουσα δὲ αὐτέων ἑκάστη φιάλῃ ἐς τοῦ χρυσοῦ τὴν θήκην ἐδωρέετο τὸν Δημοκήδεα, οὕτω δή τι δαψιλέι δωρεῇ ὡς τοὺς ἀποπίπτοντας ἀπὸ τῶν φιαλέων στατῆρας ἑπόμενος ὁ οἰκέτης, τῷ οὔνομα ἦν Σκίτων, ἀνελέγετο, καί οἱ χρῆμα πολλόν τι χρυσοῦ συνελέχθη.

131 Ὁ δὲ Δημοκήδης οὗτος ὧδε ἐκ Κρότωνος ἀπιγμένος Πολυκράτεϊ ὡμίλησε. πατρὶ συνείχετο ἐν Κρότωνι ὀργὴν χαλεπῷ· τοῦτον ἐπείτε οὐκ ἐδύνατο φέρειν, ἀπολιπὼν οἴχετο ἐς Αἴγιναν. καταστὰς δὲ ἐς ταύτην τῷ πρώτῳ ἔτεϊ ὑπερεβάλετο τοὺς ἄλλους ἰητρούς, ἀσκευής περ ἐὼν καὶ ἔχων οὐδὲν τῶν ὅσα περὶ τὴν τέχνην ἐστὶ ἐργαλήια· καί μιν δευτέρῳ ἔτεϊ ταλάντου Αἰγινῆται δημοσίῃ μισθεῦνται, τρίτῳ δὲ ἔτεϊ Ἀθηναῖοι ἑκατὸν μνέων, τετάρτῳ δὲ ἔτεϊ Πολυκράτης δυῶν ταλάντων. οὕτω μὲν ἀπίκετο ἐς τὴν Σάμον, καὶ ἀπὸ τούτου τοῦ ἀνδρὸς οὐκ ἥκιστα Κροτωνιῆται ἰητροὶ εὐδοκίμησαν· ἐγένετο γὰρ ὦν τοῦτο ὅτε πρῶτοι μὲν Κροτωνιῆται ἰητροὶ ἐλέγοντο ἀνὰ τὴν Ἑλλάδα εἶναι, δεύτεροι δὲ Κυρηναῖοι. κατὰ τὸν αὐτὸν δὲ χρόνον καὶ Ἀργεῖοι ἤκουον μουσικὴν εἶναι Ἑλλήνων πρῶτοι.

132 τότε δὲ ὁ Δημοκήδης ἐν τοῖσι Σούσοισι ἐξιησάμενος Δαρεῖον οἶκόν τε μέγιστον εἶχε καὶ ὁμοτράπεζος βασιλέι ἐγεγόνεε, πλήν τε ἑνὸς τοῦ ἐς Ἕλληνας ἀπιέναι πάντα τἆλλά οἱ παρῆν. καὶ τοῦτο μὲν τοὺς Αἰγυπτίους ἰητρούς, οἳ βασιλέα πρότερον ἰῶντο, μέλλοντας ἀνασκολοπιεῖσθαι διότι ὑπὸ Ἕλληνος ἰητροῦ ἑσσώθησαν, τούτους βασιλέα παραιτησάμενος ἐρρύσατο· τοῦτο δὲ μάντιν Ἠλεῖον Πολυκράτεϊ ἐπισπόμενον καὶ ἀπημελημένον ἐν

τύπτουσα: bis auf den Grund der Kiste stossend; so noch II, 136 u. VI, 119. — *φιάλῃ:* mit einer Schale wie mit einer Schaufel. — *οὕτω ... ὡς:* zu III, 47. — *στατῆρας:* der Stater, ein Goldstück, auch *Δαρεικός* genannt, war 20 Drachmen (vgl. III, 89) werth. — *ἀνελέγετο:* sich auflas. — *χρῆμα πολλόν τι:* gerade so III, 109; zu IV, 81.

C. 131. *συνείχετο:* zu I, 214. — *ταλάντου* u. *ἑκατὸν μνέων:* zu III, 89. — *δημοσίῃ:* zu I, 14. — *ἤκουον:* zu III, 120. — *μουσικήν:* namentlich im Flötenspiel nach K. O. Müller Dorier II, S. 332.

C. 132. *ὁμοτράπεζος:* eine der höchsten Ehren bei den Persern; diejenigen, die derselben theilhaftig waren, hiessen *οἱ πιστοί;* vgl. Xen. An. I, 5, 15. — *ἀνασκολοπιεῖσθαι:* passivisch. — *τούτους:* pleonastisch wie II, 13. — *ἐπισπόμενον:* zu I, 32.

τοῖσι ἀνδραπόδοισι ἐρρύσατο. ἦν δὲ μέγιστον πρῆγμα Δημοκήδης παρὰ βασιλέι.

Ἐν χρόνῳ δὲ ὀλίγῳ μετὰ ταῦτα τάδε ἄλλα συνήνεικε γε- 133
νέσθαι. Ἀτόσσῃ τῇ Κύρου μὲν θυγατρὶ Δαρείου δὲ γυναικὶ ἐπὶ τοῦ μαστοῦ ἔφυ φῦμα, μετὰ δὲ ἐκραγὲν ἐνέμετο πρόσω. ὅσον μὲν δὴ χρόνον ἦν ἔλασσον, ἡ δὲ κρύπτουσα καὶ αἰσχυνομένη ἔφραζε οὐδενί· ἐπείτε δὲ ἐν κακῷ ἦν, μετεπέμψατο τὸν Δημοκήδεα καί οἱ ἐπέδεξε. ὁ δὲ φὰς ὑγιέα ποιήσειν, ἐξορκοῖ μιν ἦ μέν οἱ ἀντυπουργήσειν ἐκείνην τοῦτο τὸ ἂν αὐτῆς δεηθῇ· δεήσεσθαι δὲ οὐδενὸς τῶν ὅσα ἐς αἰσχύνην
ἐστὶ φέροντα. ὡς δὲ ἄρα μιν μετὰ ταῦτα ἰώμενος ὑγιέα 134
ἀπέδεξε, ἐνθαῦτα δὴ διδαχθεῖσα ὑπὸ τοῦ Δημοκήδεος ἡ Ἄτοσσα προσέφερε ἐν τῇ κοίτῃ Δαρείῳ λόγον τοιόνδε. "ὦ βασιλεῦ, ἔχων δύναμιν τοσαύτην κάτησαι, οὔτε τι ἔθνος προσκτώμενος οὔτε δύναμιν Πέρσῃσι. οἰκὸς δέ ἐστι ἄνδρα καὶ νέον καὶ χρημάτων μεγάλων δεσπότην φαίνεσθαί τι ἀποδεικνύμενον, ἵνα καὶ Πέρσαι ἐκμάθωσι ὅτι ὑπ' ἀνδρὸς ἄρχονται. ἐπ' ἀμφότερα δέ τοι φέρει ταῦτα ποιέειν, καὶ ἵνα σφέων Πέρσαι ἐπιστέωνται ἄνδρα εἶναι τὸν προεστεῶτα, καὶ ἵνα τρίβωνται πολέμῳ μηδὲ σχολὴν ἄγοντες ἐπιβουλεύωσί τοι. νῦν γὰρ ἄν τι καὶ ἀποδέξαιο ἔργον, ἕως νέος εἶς ἡλικίην· αὐξανομένῳ γὰρ τῷ σώματι συναύξονται καὶ αἱ φρένες, γηράσκοντι δὲ συγγηράσκουσι καὶ ἐς τὰ πρήγματα πάντα ἀπαμβλύνονται." ἡ μὲν δὴ ταῦτα ἐκ διδαχῆς ἔλεγε, ὁ δ' ἀμείβεται τοισίδε. "ὦ γύναι, πάντα ὅσα περ αὐτὸς ἐπι-

C. 133. *συνήνεικε:* zu I, 73. — *ἐνέμετο:* eigentl. weidete, vom Vieh; hier frass oder griff um sich; ähnlich *ἐπινέμεσθαι* vom Feuer V, 101. — *ἡ δέ:* zu I, 112. — *ἐξορκοῖ: iureiurando eum adstringit;* so noch IV, 154. VI, 74. — *φέροντα:* intransitiv, wie I, 10, gereichen. So auch IV, 90.

C. 134. *κάτησαι:* so viel als: du bist müssig, du unternimmst nichts, wie Hom. Od. 9, 77 *ἱστοὺς στησάμενοι, ἀνά θ' ἱστία λευκ' ἐρύσαντες ἥμεθα· τὰς δ' ἄνεμός τε κυβερνῆταί τ' ἴθυνον.* So noch III, 151. — *ἐπ' ἀμφότερα δέ τοι φέρει:* es gereicht dir zu einem doppelten Nutzen, *facit ad utrumque.* In *ἀμφότερα* ist im Voraus zusammengefasst, was nachher einzeln folgt, wie bei Hom. *ἀμφότερον βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμήτης.* Das *φέρει* ist ebenso zu fassen, wie

νοέω ποιήσειν εἴρηκας· ἐγὼ γὰρ βεβούλευμαι, ζεύξας γέφυραν, ἐκ τῆσδε τῆς ἠπείρου ἐς τὴν ἑτέρην ἤπειρον ἐπὶ Σκύθας στρατεύεσθαι· καὶ ταῦτα ὀλίγου χρόνου ἔσται τελεύμενα." λέγει Ἄτοσσα τάδε. "ὅρα νυν, ἐπὶ Σκύθας μὲν τὴν πρώτην ἰέναι ἔασον· οὗτοι γάρ, ἐπεὰν σὺ βούλῃ, ἔσονταί τοι· σὺ δέ μοι ἐπὶ τὴν Ἑλλάδα στρατεύεσθαι. ἐπιθυμέω γάρ, λόγῳ πυνθανομένη, Λακαίνας τέ μοι γενέσθαι θεραπαίνας καὶ Ἀργείας καὶ Ἀττικὰς καὶ Κορινθίας. ἔχεις δὲ ἄνδρα ἐπιτηδεώτατον ἀνδρῶν πάντων δέξαι τε ἕκαστα τῆς Ἑλλάδος καὶ κατηγήσασθαι, τοῦτον ὅς σεῦ τὸν πόδα ἐξιήσατο." ἀμείβεται Δαρεῖος "ὦ γύναι, ἐπεὶ τοίνυν τοι δοκέει τῆς Ἑλλάδος ἡμέας πρῶτα ἀποπειρᾶσθαι, κατασκόπους μοι δοκέει Περσέων πρῶτον ἄμεινον εἶναι ὁμοῦ τούτῳ τῷ σὺ λέγεις πέμψαι ἐς αὐτούς, οἳ μαθόντες καὶ ἰδόντες ἕκαστα αὐτῶν ἐξαγγελέουσι ἡμῖν· καὶ ἔπειτα ἐξεπιστάμενος
135 ἐπ᾽ αὐτοὺς τρέψομαι." ταῦτα εἶπε καὶ ἅμα ἔπος τε καὶ ἔργον ἐποίεε. ἐπείτε γὰρ τάχιστα ἡμέρη ἐπέλαμψε, καλέσας Περσέων ἄνδρας δοκίμους πεντεκαίδεκα ἐνετέλλετό σφι ἑπομένους Δημοκήδεϊ διεξελθεῖν τὰ παραθαλάσσια τῆς Ἑλλάδος, ὅκως τε μὴ διαδρήσεταί σφεας ὁ Δημοκήδης, ἀλλά μιν πάντως ὀπίσω ἀπάξουσι. ἐντειλάμενος δὲ τού-

Ende des vorigen Capitels. — *τὴν πρώτην*: zu I, 153. — *σὺ δὲ . . . στρατεύεσθαι*: zu III, 35. — *κατηγήσασθαι*: nicht wie II, 56, sondern **Führer sein**, mit dem Dativ der Person; so IV, 125. 151. V, 42. VI, 102. 107. 125. 135. VII, 130. 215. IX, 40. 66. 73. 104, und ähnl. VII, 183 *indicaverat*. — *ἄμεινον*: zu fassen wie II, 46. — *ὁμοῦ*: **zugleich mit**, mit dem Dativ = *ἅμα*, noch II, 36. 101. V, 112. VII, 121; sonst adverbialisch. — *ἐς αὐτούς*: auf *τῆς Ἑλλάδος* zu beziehen, wie III, 154. IV, 43. 110.

C. 135. *καὶ ἅμα . . . . ἐποίεε*: sprichwörtlich, **gesagt, gethan**, nach Hom. Il. 19, 242 *αὐτίκ᾽ ἔπειθ᾽ ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον*. Ich glaube nicht dass, wie **Bähr** behauptet, es angeht, *ἔπος* für sich als Nominativ zu nehmen, so dass etwa ein *ἦν* oder *εἰρημένον ἦν* zu ergänzen wäre und *ἅμα* so einen temporalen Vordersatz verträte; im Gegentheil soll ohne Zweifel *ἔπος* und *ἔργον*, wie es in der Wirklichkeit nicht getrennt war, auch in der Construction nicht getrennt werden; ich nehme daher *ἐποίεε* als den allgemeinen Ausdruck, der verschiedenen Objecten accommodirt und zunächst nur an das letzte angeschlossen wird, also als Zeugma: er sagte zugleich das Wort und führte die dadurch angekündigte Handlung aus. — *ὅκως τε μὴ διαδρ. . .*: **und dass ih-**

τοισι ταῦτα, δεύτερα καλέσας αὐτὸν Δημοκήδεα ἐδέετο αὐτοῦ ὅκως ἐξηγησάμενος πᾶσαν καὶ ἐπιδέξας τὴν Ἑλλάδα τοῖσι Πέρσῃσι ὀπίσω ἥξει· δῶρα δέ μιν τῷ πατρὶ καὶ τοῖσι ἀδελφεοῖσι ἐκέλευε πάντα τὰ ἐκείνου ἔπιπλα λαβόντα ἄγειν, φὰς ἄλλα οἱ πολλαπλήσια ἀντιδώσειν· πρὸς δὲ ἐς τὰ δῶρα ὁλκάδα οἱ ἔφη συμβαλέεσθαι πλήσας ἀγαθῶν παντοίων, τὴν ἅμα οἱ πλεύσεσθαι. Δαρεῖος μὲν δή, δοκέειν ἐμοί, ἀπ' οὐδενὸς δολεροῦ νόου ἐπηγγέλλετό οἱ ταῦτα· Δημοκήδης δὲ δείσας μή εὑ ἐκπειρῷτο Δαρεῖος, οὔτι ἐπιδραμὼν πάντα τὰ διδόμενα ἐδέκετο, ἀλλὰ τὰ μὲν ἑωυτοῦ κατὰ χώρην ἔφη καταλείψειν, ἵνα ὀπίσω σφέα ἀπελθὼν ἔχοι, τὴν μέντοι ὁλκάδα, τήν οἱ Δαρεῖος ἐπηγγέλλετο ἐς τὴν δωρεὴν τοῖσι ἀδελφεοῖσι, δέκεσθαι ἔφη. ἐντειλάμενος δὲ καὶ τούτῳ ταὐτὰ ὁ Δαρεῖος ἀποστέλλει αὐτοὺς ἐπὶ θάλασσαν. καταβάντες δ' οὗτοι ἐς Φοινίκην καὶ Φοινίκης ἐς 136
Σιδῶνα πόλιν αὐτίκα μ[illegible] τριήρεας δύο ἐπλήρωσαν, ἅμα δὲ αὐτῇσι καὶ γαυλὸν μέγαν παντοίων ἀγαθῶν· παρεσκευασμένοι δὲ πάντα ἔπλεον ἐς τὴν Ἑλλάδα, προσίσχοντες δὲ αὐτῆς τὰ παραθαλάσσια ἐθηεῦντο καὶ ἀπεγράφοντο, ἐς ὃ τὰ πολλ[illegible] καὶ οὐνομαστὰ θεησάμενοι ἀπίκοντο τῆς Ἰταλίης ἐς Τάραντα. ἐνθαῦτα δὲ ἐκ ῥηστώνης τῆς Δημοκήδεος Ἀριστοφιλίδης τῶν Ταραντίνων ὁ βασιλεὺς τοῦτο μὲν τὰ πηδάλ[illegible] παρέλυσε τῶν Μηδικέων νεῶν, τοῦτο δὲ αὐτοὺς

nen ja D. nicht entlaufe, angelegentliche Aufforderung wie Xen. An. I, 7, 3. — ἔπιπλα: zu I, 94. — ἐς τὰ δῶρα: wie unten ἐς τὴν δωρεήν, zum Geschenk, versteht sich, für Vater und Brüder. — συμβαλέεσθαι: zu I, 68. — τὴν . . . πλεύσεσθαι: zu I, 24. — ἐπηγγέλλετο: zu II, 121, 6. — ἐπιδραμών: begierig, eigentl. indem er drauf lief. — κατὰ χώρην: an Ort und Stelle; noch IV, 97. 135. 201. Vgl. Xen. An. I, 5, 17. — ὀπίσω ἀπελθών: zu III, 16. — καὶ τούτῳ: mit Bezug auf die Perser, die D. begleiteten.

C. 136. γαυλόν: Gloss. Her. πλοῖον Φοινικικόν, ein Lastschiff (im vorigen Cap. ὁλκάς), was schon aus dem Gegensatze zu τριήρεας hervorgeht; noch III, 137. VI, 17. VIII, 97. Aber VI, 119 ist es das am Brunnenstengel befestigte Schiffchen oder Wassereimer. — παντοίων ἀγαθῶν: hierzu ist aus ἐπλήρωσαν (sie bemannten) durch Zeugma ἔπλησαν zu entnehmen. — προσίσχοντες: nämlich τὴν νέα. — ἐκ ῥηστώνης τῆς Δημοκήδεος: aus Gefälligkeit gegen den D. — παρέλυσε: zu I, 149. — τῶν Μηδικέων νεῶν: gehört ja nicht zu τὰ πηδάλια,

τοὺς Πέρσας ἕρξε ὡς κατασκόπους δῆθεν ἐόντας. ἐν ᾧ δὲ οὗτοι ταῦτα ἔπασχον, ὁ Δημοκήδης ἐς τὴν Κρότωνα ἀπικνέεται. ἀπιγμένου δὲ ἤδη τούτου ἐς τὴν ἑωυτοῦ ὁ Ἀριστοφιλίδης ἔλυσε τοὺς Πέρσας, καὶ τὰ παρέλαβε τῶν νεῶν

137 *ἀπέδωκέ σφι. πλέοντες δὲ ἐνθεῦτεν οἱ Πέρσαι καὶ διώκοντες Δημοκήδεα ἀπικνέονται ἐς τὴν Κρότωνα, εὑρόντες δέ μιν ἀγοράζοντα ἅπτοντο αὐτοῦ. τῶν δὲ Κροτωνιητέων οἱ μὲν καταρρωδέοντες τὰ Περσικὰ πρήγματα προϊέναι ἑτοῖμοι ἔσαν, οἱ δὲ ἀντάπτοντό τε καὶ τοῖσι σκυτάλοισι ἔπαιον τοὺς Πέρσας προϊσχομένους ἔπεα τάδε. "ἄνδρες Κροτωνιῆται, ὁρᾶτε τὰ ποιέετε. ἄνδρα βασιλέος δρηπέτην γενόμενον ἐξαιρέεσθε· κῶς ταῦτα βασιλέι Δαρείῳ ἐκχρήσει περιυβρίσθαι; κῶς δὲ ὑμῖν τὰ ποιεύμενα ἕξει καλῶς, ἢν ἀπέλησθε ἡμέας; ἐπὶ τίνα δὲ τῆσδε προτέρην στρατευσόμεθα πόλιν; τίνα δὲ προτέρην ἀνδραποδίζεσθαι πειρησόμεθα;" ταῦτα λέγοντες τοὺς Κροτωνιήτας οὐκ ὦν ἔπειθον, ἀλλ' ἐξαιρεθέντες τε τὸν Δημοκήδεα, καὶ τὸν γαυλὸν τὸν ἅμα ἤγοντο ἀπαιρεθέντες, ἀπέπλεον ὀπίσω ἐς τὴν Ἀσίην, οὐδ' ἔτι ἐζήτησαν τὸ προσωτέρω τῆς Ἑλλάδος ἀπικόμενοι ἐκμαθεῖν, ἐστερημένοι τοῦ ἡγεμόνος. τοσόνδε μέντοι ἐνετείλατό σφι Δημοκήδης ἀναγομένοισι, κελεύων εἰπεῖν σφέας Δαρείῳ ὅτι ἅρμοσται τὴν Μίλωνος θυγατέρα Δημοκήδης γυναῖκα. τοῦ γὰρ δὴ παλαιστέω Μίλωνος ἦν οὔνομα πολ-*

sondern hängt von *παρέλυσε* ab. — *δῆθεν*: zu I, 59.

C. 137. *ἀγοράζοντα*: zu III, 139. — *ἀντάπτοντο*: nämlich *τῶν Περσέων*. — *σκυτάλοις*: Gloss. Her. *ῥάβδοις*, mit Knütteln. — *προισχομένους*: zu I, 3. — *κῶς ταῦτα β. Δ. ἐκχρήσει*: wie wird dies dem D. genügen oder behagen, wie wird er es sich gefallen lassen? Noch VIII, 70. Vgl. *ἀποχρᾶν* I, 66. — *τῆσδε*: Genitiv nach dem Comparativ *προτέρην*, also = *ἢ ἐπὶ τήνδε*. Zu I, 133. — *οὐκ ὦν ἔπειθον*: zu I, 11; sie überzeugten die K. nicht, daher wurden sie beraubt. — *ἐξαιρεθέντες τε τὸν Δημοκήδεα*: setzt im Activ oder Medium den doppelten Accusativ voraus, was bei *ἀφαιρεῖσθαι* gewöhnlich ist. — *γαυλόν*: zu III, 136. — *ἀπέπλεον ὀπίσω*: zu III, 16. — *ὅτι ἅρμοσται . . . γυναῖκα*: dass er sich zum Weibe genommen habe; noch V, 32. 47. VI, 65 (eigentl. er habe sich als Weib angepasst II, 124. 148). Im Activ IX, 108 einem Andern ein Weib zuführen. — *Μίλωνος*: Milon war ein berühmter Athlet aus Kroton, der sechs olympische und sieben

λὸν παρὰ βασιλέι· κατὰ δὴ τοῦτό μοι δοκέει σπεῦσαι τὸν
γάμον τοῦτον τελέσας χρήματα μεγάλα Δημοκήδης, ἵνα
φανῇ πρὸς Δαρείου ἐὼν καὶ ἐν τῇ ἑωυτοῦ δόκιμος. ἀνα- 138
χθέντες δὲ ἐκ τῆς Κρότωνος οἱ Πέρσαι ἐκπίπτουσι τῇσι
νηυσὶ ἐς Ἰηπυγίην, καί σφεας δουλεύοντας ἐνθαῦτα Γίλλος
ἀνὴρ Ταραντῖνος φυγὰς ῥυσάμενος ἀπήγαγε παρὰ βασιλέα
Δαρεῖον. ὁ δὲ ἀντὶ τούτων ἑτοῖμος ἦν διδόναι τοῦτο ὅ τι
βούλοιτο αὐτός. Γίλλος δὲ αἱρέεται κάτοδόν οἱ ἐς Τάραντα
γενέσθαι, προαπηγησάμενος τὴν συμφορήν· ἵνα δὲ μὴ συν-
ταράξῃ τὴν Ἑλλάδα, ἢν δι' αὐτὸν στόλος μέγας πλέῃ ἐπὶ
τὴν Ἰταλίην, Κνιδίους μούνους ἀποχρᾶν οἱ ἔφη τοὺς κατά-
γοντας γίνεσθαι, δοκέων ἀπὸ τούτων ἐόντων τοῖσι Ταραν-
τίνοισι φίλων μάλιστα δὴ τὴν κάτοδόν οἱ ἔσεσθαι. Δαρεῖος
δὲ ὑποδεξάμενος ἐπετέλεε· πέμψας γὰρ ἄγγελον ἐς Κνίδον
κατάγειν σφέας ἐκέλευε Γίλλον ἐς Τάραντα. πειθόμενοι δὲ
Δαρείῳ Κνίδιοι Ταραντίνους οὐκ ὦν ἔπειθον, βίην δὲ ἀδύ-
νατοι ἔσαν προσφέρειν. ταῦτα μέν νυν οὕτω ἐπρήχθη, οὗ-
τοι δὲ πρῶτοι ἐκ τῆς Ἀσίης ἐς τὴν Ἑλλάδα ἀπίκοντο Πέρ-
σαι, καὶ οὗτοι διὰ τοιόνδε πρῆγμα κατάσκοποι ἐγένοντο.

Μετὰ δὲ ταῦτα Σάμον βασιλεὺς Δαρεῖος αἱρέει, πο- 139
λίων πασέων πρώτην Ἑλληνίδων καὶ βαρβάρων, διὰ τοιήν-
δε τινὰ αἰτίην. Καμβύσεω τοῦ Κύρου στρατευομένου ἐπ'

pythische Siege davon trug. — *κατὰ τοῦτο*: zu III, 109. — *τελέσας χρήματα μεγάλα*: *magna vi pecuniae erogata*. — *πρὸς Δαρείου*: der Präposition liegt dieselbe Bedeutung zum Grunde als I, 75 *πρὸς ἑωυτοῦ εἶναι*. Demokedes wünscht von Seiten des Darius so betrachtet zu werden, das Anerkenntniss (nicht: den Schein, weil das wirkliche Erscheinen, sich Zeigen, nicht ein falscher Schein gemeint ist) zu haben, dass er daheim ein angesehener Mann sei.

C. 138. *Ἰηπυγίην*: ein Theil von Calabrien, vgl. IV, 99. — *διδόναι τοῦτο*: habe ich statt *τούτῳ* nach Herold (Nürnberger Programm vom J. 1850 p. 10) aufgenommen, was ich auch I, 50 (*πάντα τινὰ αὐτῶν τοῦτο ὅ τι ἔχοι ἕκαστος*, statt *τούτῳ*) wiederherstellen möchte. — *τὴν συμφορήν*: zu I, 35; nämlich dass er aus seiner Vaterstadt Tarent verbannt sei. — *ἀποχρᾶν*: zu I, 66. — *ἐόντων τοῖσι Ταραντίνοισι φίλων*: zu IV, 164. — *ὑποδεξάμενος*: zu I, 24. — *οὐκων ἔπειθον*: zu I, 11; hier ist die Handlung, die als Folge zu betrachten ist, zu ergänzen. — *ταῦτα μέν*: diesem *μέν* entspricht *μετὰ δὲ ταῦτα*, da das *δέ* hinter *οὗτοι* blos den erklärenden Zusatz einleitet. — *τοιόνδε*: zu I, 164.

Αἴγυπτον ἄλλοι τε συχνοὶ ἐς τὴν Αἴγυπτον ἀπίκοντο Ἑλλή-
νων, οἱ μέν, ὡς οἰκός, κατ' ἐμπορίην, οἱ δὲ στρατευόμενοι,
οἱ δέ τινες καὶ αὐτῆς τῆς χώρης θεηταί· τῶν ἦν καὶ Συλο-
σῶν ὁ Αἰάκεος, Πολυκράτεός τε ἐὼν ἀδελφεὸς καὶ φεύγων
ἐκ Σάμου. τοῦτον τὸν Συλοσῶντα κατέλαβε εὐτυχίη τις
τοιήδε. λαβὼν χλανίδα καὶ περιβαλόμενος πυρρὴν ἠγόραζε
ἐν τῇ Μέμφι· ἰδὼν δὲ αὐτὸν Δαρεῖος, δορυφόρος τε ἐὼν
Καμβύσεω καὶ λόγου οὐδενός κω μεγάλου, ἐπεθύμησε τῆς
χλανίδος καὶ αὐτὴν προσελθὼν ὠνέετο. ὁ δὲ Συλοσῶν ὁρέων
τὸν Δαρεῖον μεγάλως ἐπιθυμέοντα τῆς χλανίδος, θείῃ τύχῃ
χρεώμενος λέγει "ἐγὼ ταύτην πωλέω μὲν οὐδενὸς χρήμα-
τος, δίδωμι δὲ ἄλλως, εἴ περ οὕτω δεῖ γενέσθαι." πάντως
140 *τοι αἰνέσας ταῦτα ὁ Δαρεῖος παραλαμβάνει τὸ εἷμα. ὁ μὲν*
δὴ Συλοσῶν ἠπίστατό οἱ τοῦτο ἀπολωλέναι δι' εὐηθίην·
ὡς δὲ τοῦ χρόνου προβαίνοντος Καμβύσης τε ἀπέθανε καὶ
τῷ Μάγῳ ἐπανέστησαν οἱ ἑπτὰ καὶ ἐκ τῶν ἑπτὰ Δαρεῖος
τὴν βασιληίην ἔσχε, πυνθάνεται ὁ Συλοσῶν ὡς ἡ βασιληίη
περιεληλύθοι ἐς τοῦτον τὸν ἄνδρα τῷ κοτὲ αὐτὸς ἔδωκε ἐν
Αἰγύπτῳ δεηθέντι τὸ εἷμα. ἀναβὰς δὲ ἐς τὰ Σοῦσα ἵζετο
ἐς τὰ πρόθυρα τῶν βασιλέος οἰκίων καὶ ἔφη Δαρείου εὐερ-
γέτης εἶναι. ἀγγέλλει ταῦτα ἀκούσας ὁ πυλουρὸς τῷ βασι-
λέι· ὁ δὲ θωμάσας λέγει πρὸς αὐτόν "καὶ τίς ἐστι Ἑλλή-
νων εὐεργέτης, τῷ ἐγὼ προαιδεῦμαι νεωστὶ μὲν τὴν ἀρχὴν
ἔχων, ἀναβέβηκε δ' ἤ τις ἢ οὐδείς κω παρ' ἡμέας αὐτῶν,
ἔχω δὲ χρέος εἰπεῖν οὐδὲν ἀνδρὸς Ἕλληνος. ὅμως δὲ αὐτὸν
παράγετε ἔσω, ἵνα εἰδέω τί θέλων λέγει ταῦτα." παρῆγε ὁ

C. 139. *ἄλλοι τε συχνοί*: hierauf müsste eigentlich folgen: *καὶ δὴ καὶ Συλοσῶν . . . .*; die Parenthese aber bestimmte den relativischen Anschluss. — *κατ' ἐμπορίην*: zu I, 77. — *στρατευόμενοι*: nämlich als Söldner. — *Συλοσῶν*: vgl. III, 39. — *περιβαλόμενος*: zu III, 71. — *ἠγόραζε*; ging auf dem Markt umher; so stets II, 35. III, 137. IV, 78. 164. — *ὠνέετο*: zu I, 68. — *θείῃ τύχῃ*: zu I, 126. — *δίδωμι δὲ ἄλλως*: sonst, ohne ein Aequivalent dafür zu verlangen, d. h. umsonst.

C. 140. *ἠπίστατο*: zu I, 122. — *περιεληλύθοι*: zu I, 7. — *εὐεργέτης*: vgl. VIII, 85. — *προαιδεῦμαι*: zu I, 61. — *ἤ τις ἢ οὐδείς*: *vix ullus*; so Xen. Cy. 7, 5, 45 *τούτων τῶν περιεστηκότων ἤ τινα ἢ οὐδένα οἶδα*. Plat. Apol. 17b *ἤ τι ἢ οὐδὲν ἀληθὲς εἰρήκασιν*. — *παράγετε*: zu I, 91. — *ἡ χάρις*:

πυλουρὸς τὸν Συλοσῶντα, στάντα δὲ ἐς μέσον εἰρώτων οἱ ἑρμηνέες τίς τε εἴη καὶ τί ποιήσας εὐεργέτης φησὶ εἶναι βασιλέος. εἶπε ὦν ὁ Συλοσῶν πάντα τὰ περὶ τὴν χλανίδα γενόμενα, καὶ ὡς αὐτὸς εἴη κεῖνος ὁ δούς. ἀμείβεται πρὸς ταῦτα Δαρεῖος "ὦ γενναιότατ' ἀνδρῶν, σὺ κεῖνος εἶ ὃς ἐμοὶ οὐδεμίαν ἔχοντί κω δύναμιν ἔδωκας, εἰ καὶ σμικρά; ἀλλ' ὦν ἴση γε ἡ χάρις ὁμοίως ὡς εἰ νῦν κοθέν τι μέγα λάβοιμι. ἀντ' ὧν τοι χρυσὸν καὶ ἄργυρον ἄπλετον δίδωμι, ὡς μή κοτέ τοι μεταμελήσῃ Δαρεῖον τὸν Ὑστάσπεος εὖ ποιήσαντι." λέγει πρὸς ταῦτα ὁ Συλοσῶν "ἐμοὶ μήτε χρυσὸν ὦ βασιλεῦ μήτε ἄργυρον δίδου, ἀλλ' ἀνασωσάμενός μοι τὴν πατρίδα Σάμον, τὴν νῦν ἀδελφεοῦ τοῦ ἐμοῦ Πολυκράτεος ἀποθανόντος ὑπ' Ὀροίτεω ἔχει δοῦλος ἡμέτερος, ταύτην μοι δὸς ἄνευ τε φόνου καὶ ἐξανδραποδίσιος." ταῦτα ἀκού- 141
σας Δαρεῖος ἀπέστελλε στρατιήν τε καὶ στρατηγὸν Ὀτάνεα ἀνδρῶν τῶν ἑπτὰ γενόμενον, ἐντειλάμενος, ὅσων ἐδεήθη ὁ Συλοσῶν, ταῦτά οἱ ποιέειν ἐπιτελέα. καταβὰς δ' ἐπὶ τὴν θάλασσαν ὁ Ὀτάνης ἔστελλε τὴν στρατιήν. τῆς δὲ Σάμου 142
Μαιάνδριος ὁ Μαιανδρίου εἶχε τὸ κράτος, ἐπιτροπαίην παρὰ Πολυκράτεος λαβὼν τὴν ἀρχήν· τῷ δικαιοτάτῳ ἀνδρῶν βουλομένῳ γενέσθαι οὐκ ἐξεγένετο. ἐπειδὴ γάρ οἱ ἐξηγγέλθη ὁ Πολυκράτεος θάνατος, ἐποίεε τοιάδε. πρῶτα μὲν Διὸς ἐλευθερίου βωμὸν ἱδρύσατο, καὶ τέμενος περὶ αὐτὸν οὔρισε τοῦτο τὸ νῦν ἐν τῷ προαστείῳ ἐστί· μετὰ δέ, ὥς οἱ ἐπεποίητο, ἐκκλησίην συναγείρας πάντων τῶν ἀστῶν ἔλεξε τάδε. "ἐμοί, ὡς ἴστε καὶ ὑμεῖς, σκῆπτρον καὶ δύναμις πᾶσα ἡ Πολυκράτεος ἐπιτέτραπται, καί μοι

nämlich ἔσται. — δοῦλος ἡμέτερος: nämlich Maiandrios, der Schreiber des Polycrates (III, 123), wie aus dem Folgenden erhellt. — ταύτην: pleonastisch, wie II, 13.

C. 141. ἔστελλε τὴν στρατιήν: *traiicere exercitum paravit*, wie Eur. Iph. Aul. 661 καὶ νῦν γέ μ' ἴσχει δή τι, μὴ στέλλειν στρατόν. Das Impf. wie I, 68.

C. 142. ἐπιτροπαίην ... τ. ἀρχήν: eigentl. vormundschaftliche Regierung; so IV, 147. Maiandrios sollte während der Abwesenheit des Polycrates die Regierungsgeschäfte verwalten, wie ein Vormund während der Minderjährigkeit des künftigen Fürsten. — τῷ δικαιοτάτῳ: relativisch zu fassen. — ἐξεγένετο: zu I, 78. — ἐκκλη-

*παρέχει νῦν ὑμέων ἄρχειν. ἐγὼ δὲ τὰ τῷ πέλας ἐπιπλήσσω,
αὐτὸς κατὰ δύναμιν οὐ ποιήσω· οὔτε γάρ μοι Πολυκράτης
ἤρεσκε δεσπόζων ἀνδρῶν ὁμοίων ἑωυτῷ, οὔτε ἄλλος ὅστις
τοιαῦτα ποιέει. Πολυκράτης μέν νυν ἐξέπλησε μοῖραν τὴν
ἑωυτοῦ, ἐγὼ δὲ ἐς μέσον τὴν ἀρχὴν τιθεὶς ἰσονομίην ὑμῖν
προαγορεύω. τοσάδε μέντοι δικαιῶ γέρεα ἐμεωυτῷ γενέ-
σθαι, ἐκ μέν γε τῶν Πολυκράτεος χρημάτων ἐξαίρετα ἓξ
τάλαντά μοι γενέσθαι, ἱροσύνην δὲ πρὸς τούτοισι αἱρεῦμαι
αὐτῷ τέ μοι καὶ τοῖσι ἀπ' ἐμεῦ αἰεὶ γινομένοισι τοῦ Διὸς
τοῦ ἐλευθερίου, τῷ αὐτός τε ἱρὸν ἱδρυσάμην καὶ τὴν ἐλευ-
θερίην ὑμῖν περιτίθημι." ὁ μὲν δὴ ταῦτα τοῖσι Σαμίοισι
ἐπηγγέλλετο· τῶν δέ τις ἐξαναστὰς εἶπε "ἀλλ' οὐδ' ἄξιος
εἶ σύ γε ἡμέων ἄρχειν, γεγονώς τε κακῶς καὶ ἐὼν ὄλεθρος·
ἀλλὰ μᾶλλον ὅκως λόγον δώσεις τῶν μετεχείρισας χρημά-
143 των." ταῦτα εἶπε ἐὼν ἐν τοῖσι ἀστοῖσι δόκιμος, τῷ οὔνομα
ἦν Τελέσαρχος. Μαιάνδριος δὲ νόῳ λαβὼν ὡς εἰ μετήσει
τὴν ἀρχήν, ἄλλος τις ἀντ' αὐτοῦ τύραννος καταστήσεται,
οὐδ' ἔτι ἐν νόῳ εἶχε μετιέναι αὐτήν, ἀλλ' ὡς ἀνεχώρησε ἐς
τὴν ἀκρόπολιν, μεταπεμπόμενος ἕνα ἕκαστον ὡς δὴ λόγον
τῶν χρημάτων δώσων, συνέλαβέ σφεας καὶ κατέδησε. οἱ
μὲν δὴ ἐδεδέατο, Μαιάνδριον δὲ μετὰ ταῦτα κατέλαβε νοῦ-
σος. ἐλπίζων δέ μιν ἀποθανέεσθαι ὁ ἀδελφεός, τῷ οὔνομα
ἦν Λυκάρητος, ἵνα εὐπετεστέρως κατάσχῃ τὰ ἐν τῇ Σάμῳ
πρήγματα, κατακτείνει τοὺς δεσμώτας πάντας· οὐ γὰρ δή,*

σίην: zu I, 125. — *παρέχει*: zu I, 9. — *τὰ τῷ πέλας ἐπιπλήσσω*: **was ich an meinem Nächsten tadle**; so *ἐπιπλήσσειν* noch VII, 136. — *οὔτε ἄλλος ὅστις τοιαῦτα ποιέει*: vgl. Hom. Od. I, 47 *ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅτις τοιαῦτά γε ῥέζοι.* — *γέρεα*: **Ehrenämter, Privilegien**: so II, 168. III, 85. IV, 162. 165. VI, 56. 57. VII, 3. 29. 104. 134. 154. IX, 26. 27. — *καὶ τὴν ἐλευθερίην*: nämlich *καὶ τὸν* (*ὅν*) *τιμᾶν βουλόμενος* ... **Steger**. — *περιτίθημι*: zu I, 129. — *ἐπαγγέλλετο*: zu II, 121, 6. — *ὄλεθρος*: wie ***pestis***, ***pernicies***, auf Personen übertragen. — *ὅκως λόγον δώσεις*: aus *ἄξιος εἶ* ist ein passendes Verbum zu entnehmen, wovon *ὅκως* abhängt; häufig steht *ὅρα* oder *ποίεε* vor einem solchen Satze, wie III, 36. 1, 8; auch kann es gefasst werden, wie III, 135.

C. 143. *ὡς δή*: hier liegt in *δή* dieselbe ironische Kraft, als in *δῆθεν* I, 59. So III, 156. IX, 59. — *Λυκάρητος*: derselbe, der später Lemnos beherrschte; vgl. V, 27. — *ἐβουλέατο εἶναι ἐλεύθεροι*: nämlich unter den Bedingungen, die ih-

ὡς οἴκασι, ἐβουλέατο εἶναι ἐλεύθεροι. ἐπειδὴ ὦν ἀπίκοντο 144
ἐς τὴν Σάμον οἱ Πέρσαι κατάγοντες Συλοσῶντα, οὔτε τίς σφι χεῖρας ἀνταείρεται, ὑπόσπονδοί τε ἔφασαν εἶναι ἑτοῖμοι οἱ τοῦ Μαιανδρίου στασιῶται καὶ αὐτὸς Μαιάνδριος ἐκχωρῆσαί ἐκ τῆς νήσου. καταινέσαντος δ᾽ ἐπὶ τούτοισι Ὀτάνεω καὶ σπεισαμένου, τῶν Περσέων οἱ πλείστου ἄξιοι θρόνους θέμενοι κατεναντίον τῆς ἀκροπόλιος ἐκατέατο.
Μαιανδρίῳ δὲ τῷ τυράννῳ ἦν ἀδελφεὸς ὑπομαργότερος, 145
τῷ οὔνομα ἦν Χαρίλεως. οὗτος ὅτιδὴ ἐξαμαρτὼν ἐν γοργύρῃ ἐδέδετο· καὶ δὴ τότε ἐπακούσας τε τὰ πρησσόμενα καὶ διακύψας διὰ τῆς γοργύρης, ὡς εἶδε τοὺς Πέρσας εἰρηναίως κατημένους, ἐβόα τε καὶ ἔφη λέγων Μαιανδρίῳ θέλειν ἐλθεῖν ἐς λόγους. ἐπακούσας δὲ ὁ Μαιάνδριος λύσαντας αὐτὸν ἐκέλευε ἄγειν παρ᾽ ἑωυτόν. ὡς δὲ ἤχθη τάχιστα, λοιδορέων τε καὶ κακίζων μιν ἀνέπειθε ἐπιθέσθαι τοῖσι Πέρσῃσι, λέγων τοιάδε. "ἐμὲ μέν, ὦ κάκιστε ἀνδρῶν, ἐόντα σεωυτοῦ ἀδελφεὸν καὶ ἀδικήσαντα οὐδὲν ἄξιον δεσμοῦ δήσας γοργύρης ἠξίωσας· ὁρέων δὲ τοὺς Πέρσας ἐκβάλλοντάς τέ σε καὶ ἄνοικον ποιεῦντας οὐ τολμᾷς τίσασθαι, οὕτω δή τι ἐόντας εὐπετέας χειρωθῆναι; ἀλλ᾽ εἴ τι σὺ σφεας καταρρώδηκας, ἐμοὶ δὸς τοὺς ἐπικούρους, καί σφεας ἐγὼ τιμωρήσομαι τῆς ἐνθάδε ἀπίξιος· αὐτὸν δέ σε ἐκπέμψαι ἐκ τῆς νήσου ἕτοιμός εἰμι." ταῦτα ἔλεξε ὁ Χαρίλεως· Μαιάν- 146
δριος δὲ ὑπέλαβε τὸν λόγον, ὡς μὲν ἐγὼ δοκέω, οὐκ ἐς τοῦτο ἀφροσύνης ἀπικόμενος ὡς δόξαι τὴν ἑωυτοῦ δύναμιν περιέσεσθαι τῆς βασιλέος, ἀλλὰ φθονήσας μᾶλλον Συλοσῶντι, εἰ ἀπονητὶ ἔμελλε ἀπολάμψεσθαι ἀκέραιον τὴν πόλιν. ἐρεθίσας ὦν τοὺς Πέρσας ἤθελε ὡς ἀσθενέστατα ποιῆσαι τὰ Σάμια πρήγματα καὶ οὕτω παραδιδόναι, εὖ ἐξεπιστάμενος ὡς παθόντες οἱ Πέρσαι κακῶς προσεμπικρα-

nen zuerst Maiandrios und dann Lykaretos anbot.

C. 144. κατεναντίον τῆς ἀκροπόλιος: zu IV, 157.

C. 145. ὑπομαργότερος: zu III, 29. — ὅτιδή: zu I, 157. — γοργύρῃ: Gloss. Her. δεσμωτήριον ὑπόγαιον. — ἔφη λέγων: zu I, 118. — ἐπιθέσθαι: zu I, 26.

C. 146. ὑπέλαβε τὸν λόγον: zu I, 11. — ὡς μὲν ἐγώ: wie I, 131. — ἀκέραιον: unversehrt; vgl.

νέεσθαι ἔμελλον τοῖσι Σαμίοισι, εἰδώς τε ἑωυτῷ ἀσφαλέα ἔκδυσιν ἐοῦσαν ἐκ τῆς νήσου τότε ἐπεὰν αὐτὸς βούληται· ἐπεποίητο γάρ οἱ κρυπτὴ διῶρυξ ἐκ τῆς ἀκροπόλιος φέρουσα ἐπὶ θάλασσαν. αὐτὸς μὲν δὴ ὁ Μαιάνδριος ἐκπλέει ἐκ τῆς Σάμου· τοὺς δὲ ἐπικούρους πάντας ὁπλίσας ὁ Χαρίλεως, καὶ ἀναπετάσας τὰς πύλας, ἐξῆκε ἐπὶ τοὺς Πέρσας οὔτε προσδεκομένους τοιοῦτο οὐδὲν δοκέοντάς τε δὴ πάντα συμβεβάναι. ἐμπεσόντες δὲ οἱ ἐπίκουροι τῶν Περσέων τοὺς διφροφορευμένους τε καὶ λόγου πλείστου ἐόντας ἔκτεινον. καὶ οὗτοι μὲν ταῦτα ἐποίευν, ἡ δὲ ἄλλη στρατιὴ ἡ Περσικὴ ἐπεβοήθεε· πιεζεύμενοι δὲ οἱ ἐπίκουροι ὀπίσω
147 κατειλήθησαν ἐς τὴν ἀκρόπολιν. Ὀτάνης δὲ ὁ στρατηγὸς ἰδὼν πάθος μέγα Πέρσας πεπονθότας, ἐντολάς τε τὰς Δαρεῖός οἱ ἀποστέλλων ἐνετέλλετο, μήτε κτείνειν μηδένα Σαμίων μήτε ἀνδραποδίζεσθαι ἀπαθέα τε κακῶν ἀποδοῦναι τὴν νῆσον Συλοσῶντι, τουτέων μὲν τῶν ἐντολέων μεμνημένος ἐπελανθάνετο, ὁ δὲ παρήγγειλε τῇ στρατιῇ πάντα τὸν ἂν λάβωσι, καὶ ἄνδρα καὶ παῖδα, ὁμοίως κτείνειν. ἐνθαῦτα τῆς στρατιῆς οἱ μὲν τὴν ἀκρόπολιν ἐπολιόρκεον, οἱ δὲ ἔκτεινον πάντα τὸν ἐμποδὼν γινόμενον, ὁμοίως ἔν τε ἱρῷ καὶ
148 ἔξω ἱροῦ. Μαιάνδριος δ' ἀποδρὰς ἐκ τῆς Σάμου ἐκπλέει ἐς Λακεδαίμονα· ἀπικόμενος δ' ἐς αὐτήν, καὶ ἀνενεικάμενος τὰ ἔχων ἐξεχώρησε, ἐποίεε τοιάδε. ὅκως ποτήρια ἀργύρεά τε καὶ χρύσεα προθεῖτο, οἱ μὲν θεράποντες αὐτοῦ

Thuc. 2, 18, 3. — ἐξῆκε: von ἐξιέναι, wie ἐσῆκε III, 158. — συμβεβάναι: convenisse = composita esse. — διφροφορευμένους: Gloss. Her. φορείοις (Sänften) φερομένους. — πιεζεύμενοι: seltnere Form statt πιεζόμενοι, wie ῥιπτέω statt ῥίπτω; noch VI, 108. VIII, 142. IX, 21; in dem zuletzt angeführten Capitel kommen beide Formen vor.

C. 147. ἐντολάς: anacoluthisch wie I, 114 u. III, 53; hierauf hätte ein Verbum folgen müssen, was den Accus. regiert; wegen der dazwischen liegenden Sätze musste nach Herodoteischem Sprachgebrauche ἐντολάς pleonastisch (vgl. II, 13) und zwar wegen μεμνημένος ἐπελανθάνετο im Genitiv wiederholt werden. — μεμνημένος: obgleich er derselben eingedenk war, führte er sie doch nicht aus. Ueber die Redeweise vgl. IV, 43. — ὁ δὲ παρήγγειλε: wie I, 66.

C. 148. ἀνενεικάμενος: nachdem er an sichern Ort ge-

ἐξέσμων αὐτά, ὁ δ' ἂν τὸν χρόνον τοῦτον τῷ Κλεομένεϊ τῷ Ἀναξανδρίδεω ἐν λόγοισι ἐών, βασιλεύοντι Σπάρτης, προῆγέ μιν ἐς τὰ οἰκία· ὅκως δὲ ἴδοιτο Κλεομένης τὰ ποτήρια, ἀπεθώυμαζέ τε καὶ ἐξεπλήσσετο· ὁ δὲ ἂν ἐκέλευε αὐτὸν ἀποφέρεσθαι αὐτέων ὅσα βούλοιτο. τοῦτο καὶ δὶς καὶ τρὶς εἴπαντος Μαιανδρίου ὁ Κλεομένης δικαιότατος ἀνδρῶν γίνεται, ὃς λαβεῖν μὲν διδόμενα οὐκ ἐδικαίευ, μαθὼν δὲ ὡς ἄλλοισι διδοὺς τῶν ἀστῶν εὑρήσεται τιμωρίην, βὰς ἐπὶ τοὺς ἐφόρους ἄμεινον εἶναι ἔφη τῇ Σπάρτῃ τὸν ξεῖνον τὸν Σάμιον ἀπαλλάσσεσθαι ἐκ τῆς Πελοποννήσου, ἵνα μὴ ἀναπείσῃ ἢ αὐτὸν ἢ ἄλλον τινὰ Σπαρτιητέων κακὸν γενέσθαι. οἱ δ' ὑπακούσαντες ἐξεκήρυξαν Μαιάνδριον. τὴν δὲ Σάμον 149
σαγηνεύσαντες οἱ Πέρσαι παρέδοσαν Συλοσῶντι ἐρῆμον ἐοῦσαν ἀνδρῶν. ὑστέρῳ μέντοι χρόνῳ καὶ συγκατοίκισε αὐτὴν ὁ στρατηγὸς Ὀτάνης ἔκ τε ὄψιος ὀνείρου καὶ νούσου ἥ μιν κατέλαβε νοσῆσαι τὰ αἰδοῖα.

Ἐπὶ δὲ Σάμον στρατεύματος ναυτικοῦ οἰχομένου Βαβυ- 150
λώνιοι ἀπέστησαν, κάρτα εὖ παρεσκευασμένοι· ἐν ὅσῳ γὰρ ὅ τε Μάγος ἦρχε καὶ οἱ ἑπτὰ ἐπανέστησαν, ἐν τούτῳ παντὶ τῷ χρόνῳ καὶ τῇ ταραχῇ ἐς τὴν πολιορκίην παρεσκευάδατο. καί κως ταῦτα ποιεῦντες ἐλάνθανον. ἐπείτε δὲ ἐκ τοῦ ἐμφανέος ἀπέστησαν, ἐποίησαν τοιόνδε· τὰς μητέρας ἐξελόντες, γυναῖκα ἕκαστος μίαν προσεξαιρέετο τὴν ἐβούλετο ἐκ τῶν ἑωυτοῦ οἰκίων, τὰς δὲ λοιπὰς ἁπάσας συναγαγόντες ἀπέπνιξαν· τὴν δὲ μίαν ἕκαστος σιτοποιὸν ἐξαιρέετο. ἀπέπνιξαν δὲ αὐτάς, ἵνα μή σφεων τὸν σῖτον ἀναισιμώ-
σωσι. πυθόμενος δὲ ταῦτα ὁ Δαρεῖος, καὶ συλλέξας πᾶσαν 151

bracht. — ἐξέσμων: abstergebant; vgl. διασμᾶν II, 37. — ἂν ... προῆγε und ἂν ἐκέλευε: zu I, 42; über die Stellung von ἄν: zu IV, 42. — μαθὼν δέ: als er aber einsah. — ἄμεινον: zu II, 46.

C. 149. σαγηνεύσαντες: von σαγήνη ein grosses Fangnetz, womit viele Fische mit einem Mal umzingelt und gefangen werden; die Erklärung von σαγηνεύειν giebt H. selbst VI, 31. — συγκατοίκισε: halfsie bevölkern. — νοσῆσαι: locker angeschlossen an κατέλαβε wie II, 79; das Subject zu νοσῆσαι ist Otanes.

C. 150. ταραχῇ: zu III, 126. — αὐτάς: nämlich τὰς λοιπὰς ἁπάσας. — ἀναισιμώσωσι: zu I, 179.

τὴν ἑωυτοῦ δύναμιν, ἐστρατεύετο ἐπ' αὐτούς, ἐπελάσας δὲ
ἐπὶ τὴν Βαβυλῶνα ἐπολιόρκεε φροντίζοντας οὐδὲν τῆς πο-
λιορκίης· ἀναβαίνοντές γὰρ ἐπὶ τοὺς προμαχεῶνας τοῦ τεί-
χεος οἱ Βαβυλώνιοι κατωρχέοντο καὶ κατέσκωπτον Δαρεῖον
καὶ τὴν στρατιὴν αὐτοῦ, καί τις αὐτῶν εἶπε τοῦτο τὸ ἔπος,
"τί κάτησθε ἐνθαῦτα, ὦ Πέρσαι, ἀλλ' οὐκ ἀπαλλάσσεσθε;
τότε γὰρ αἱρήσετε ἡμέας, ἐπεὰν ἡμίονοι τέκωσι." τοῦτο
εἶπε τῶν τις Βαβυλωνίων, οὐδαμὰ ἐλπίζων ἂν ἡμίονον
152 τεκεῖν. ἑπτὰ δὲ μηνῶν καὶ ἐνιαυτοῦ διεληλυθότος ἤδη ὁ
Δαρεῖός τε ἤσχαλλε καὶ ἡ στρατιὴ πᾶσα οὐ δυνατὴ ἐοῦσα
ἑλεῖν τοὺς Βαβυλωνίους. καίτοι πάντα σοφίσματα καὶ πά-
σας μηχανὰς ἐπεποιήκεε ἐς αὐτοὺς Δαρεῖος· ἀλλ' οὐδ' ὣς
ἐδύνατο ἑλεῖν σφέας, ἄλλοισί τέ σοφίσμασι πειρησάμενος,
καὶ δὴ καὶ τῷ Κῦρός εἷλέ σφεας, καὶ τούτῳ ἐπειρήθη.
ἀλλὰ γὰρ δεινῶς ἔσαν ἐν φυλακῇσι οἱ Βαβυλώνιοι, οὐδέ
153 σφεας οἷός τε ἦν ἑλεῖν. ἐνθαῦτα εἰκοστῷ μηνὶ Ζωπύρῳ
τῷ Μεγαβύζου τούτου ὃς τῶν ἑπτὰ ἀνδρῶν ἐγένετο τῶν
τὸν Μάγον κατελόντων, τούτου τοῦ Μεγαβύζου παιδὶ Ζω-
πύρῳ ἐγένετο τέρας τόδε· τῶν οἱ σιτοφόρων ἡμιόνων μία
ἔτεκε. ὡς δέ οἱ ἐξηγγέλθη καὶ ὑπ' ἀπιστίης αὐτὸς ὁ Ζώ-
πυρος εἶδε τὸ βρέφος, ἀπείπας τοῖσι δούλοισι μηδενὶ φρά-
ζειν τὸ γεγονὸς ἐβουλεύετο. καί οἱ πρὸς τὰ τοῦ Βαβυλω-
νίου ῥήματα, ὃς κατ' ἀρχὰς ἔφησε, ἐπεάν περ ἡμίονοι τέ-
κωσι, τότε τὸ τεῖχος ἁλώσεσθαι, πρὸς ταύτην τὴν φήμην
Ζωπύρῳ ἐδόκεε εἶναι ἁλώσιμος ἡ Βαβυλών· σὺν γὰρ θεῷ
154 ἐκεῖνόν τε εἰπεῖν καὶ ἑωυτῷ τεκεῖν τὴν ἡμίονον. ὡς δέ οἱ

C. 151. *φροντίζοντας*: zu IV, 167. — *προμαχεῶνας*: zu I, 179. — *κάτησθε*: zu III, 134.

C. 152. *ἤσχαλλε*: dolebat; noch IX, 117. — *ἀλλὰ γάρ*: die Partikel *γάρ* giebt den Grund zu dem bei *ἀλλά* zu ergänzenden Gedanken an: aber seine Bestrebungen gelangen nicht, denn...

C. 153. *κατελόντων*: zu I, 4. — *τούτου τοῦ Μ. παιδί*: nach Herold S. 12 statt *τούτῳ τῷ Μ.* — *ἀπείπας*: zu I, 152. — *καί οἱ*: zu I, 86. — *πρὸς τὰ ῥήματα*: mit Rücksicht auf, gemäss; vgl. I, 38 u. II, 35. — *πρὸς ταύτην τὴν φήμην*: pleonastische Wiederaufnahme von *πρὸς τὰ ῥήματα*. Vgl. II, 13. Ueber *φήμη*: zu I, 43. — *σὺν θεῷ*: wie *θείη τύχη* I, 126.

ἐδόκεε μόρσιμον εἶναι ἤδη τῇ Βαβυλῶνι ἁλίσκεσθαι, προσελθὼν Δαρείῳ ἀπεπυνθάνετο εἰ περὶ πολλοῦ κάρτα ποιέεται τὴν Βαβυλῶνα ἑλεῖν. πυθόμενος δὲ ὡς πολλοῦ τιμῷτο, ἄλλο ἐβουλεύετο, ὅκως αὐτός τε ἔσται ὁ ἑλὼν αὐτὴν καὶ ἑωυτοῦ τὸ ἔργον ἔσται· κάρτα γὰρ ἐν τοῖσι Πέρσῃσι αἱ ἀγαθοεργίαι ἐς τὸ πρόσω μεγάθεος τιμῶνται. ἄλλῳ μέν νυν οὐκ ἐφράζετο ἔργῳ δυνατὸς εἶναί μιν ὑποχειρίην ποιῆσαι, εἰ δ' ἑωυτὸν λωβησάμενος αὐτομολήσειε ἐς αὐτούς. ἐνθαῦτα ἐν ἐλαφρῷ ποιησάμενος ἑωυτὸν λωβᾶται λώβην ἀνήκεστον· ἀποταμὼν γὰρ ἑωυτοῦ τὴν ῥῖνα καὶ τὰ ὦτα, καὶ τὴν κόμην κακῶς περικείρας, καὶ μαστιγώσας
ἦλθε παρὰ Δαρεῖον. Δαρεῖος δὲ κάρτα βαρέως ἤνεικε ἰδὼν 155
ἄνδρα δοκιμώτατον λελωβημένον· ἔκ τε τοῦ θρόνου ἀναπηδήσας ἀνέβωσέ τε καὶ εἴρετό μιν ὅστις εἴη ὁ λωβησάμενος καὶ ὅ τι ποιήσαντα. ὁ δὲ εἶπε "οὐκ ἔστι οὗτος ὡνὴρ ὅτι μὴ σύ, τῷ ἐστὶ δύναμις τοσαύτη ἐμὲ δὴ ὧδε διαθεῖναι· οὐδέ τις ἀλλοτρίων ὦ βασιλεῦ τάδε ἔργασται, ἀλλ' αὐτὸς ἐγὼ ἐμεωυτόν, δεινόν τι ποιεύμενος Ἀσσυρίους Πέρσῃσι καταγελᾶν." ὁ δ' ἀμείβετο "ὦ σχετλιώτατε ἀνδρῶν, ἔργῳ τῷ αἰσχίστῳ οὔνομα τὸ κάλλιστον ἔθευ, φὰς διὰ τοὺς πολιορκευμένους σεωυτὸν ἀνηκέστως διαθεῖναι. τί δ' ὦ μάταιε λελωβημένου σεῦ θᾶσσον οἱ πολέμιοι παραστήσονται; κῶς οὐκ ἐξέπλωσας τῶν φρενῶν σεωυτὸν διαφθείρας;" ὁ δὲ εἶπε "εἰ μέν τοι ὑπερετίθεα τὰ ἔμελλον ποιήσειν, οὐκ

C. 154. *ἐφράζετο*: er überlegte; so namentlich in den Orakelsprüchen V, 92, 2. VIII, 20 (dafür sorgen). III, 57 (sich davor hüten). Sonst bemerken I, 84. V, 92, 3. VII, 46. IX, 19. 107. Der Herodoteische Aorist ist *ἐφράσθην*. — *εἰ δ'*: eig. wenn aber = *nisi si*. — *ἐς αὐτούς*: auf *μιν* (*Βαβυλῶνα*) zu beziehen, wie III, 134. — *ἐν ἐλαφρῷ ποιησάμενος*: zu I, 118. — *λωβᾶται λώβην*: zu II, 2. — *μαστιγώσας*: zu I, 114.

C. 155. *ὅ τι ποιήσαντα*: zu III, 42. — *ὅτι μή*: zu I, 18. — *δεινόν τι ποιεύμενος*: zu I, 61. — *παραστήσονται*: zu I, 23. — *κῶς οὐκ ἐξέπλωσας* (*ἐξέπλευσας*) *τῶν φρενῶν*: eine aus der Nautik entnommene Redensart, wodurch ausgedrückt wird, was Cicero de div. 2, 55 durch *a mente* oder *a se discedere* bezeichnet. Noch kommt sie vor VI, 12. Aehnlich ist Theokrit 2, 19 u. 11, 72 *πᾶ τὰς φρένας ἐκπεπότασαι;*, und Eurip. Electr. 175. — *ὑπερετίθεα*: wie das Me-

ἄν με περιεῖδες· νῦν δ' ἐπ' ἐμεωυτοῦ βαλόμενος ἔπρηξα. ἤδη ὦν ἢν μὴ τῶν σῶν δεήσῃ, αἱρέομεν Βαβυλῶνα. ἐγὼ μὲν γὰρ ὡς ἔχω αὐτομολήσω ἐς τὸ τεῖχος, καὶ φήσω πρὸς αὐτοὺς ὡς ὑπὸ σεῦ τάδε πέπονθα· καὶ δοκέω, πείσας σφέας ταῦτα ἔχειν οὕτω, τεύξεσθαι στρατιῆς. σὺ δέ, ἀπ' ἧς ἂν ἡμέρης ἐγὼ ἐσέλθω ἐς τὸ τεῖχος, ἀπὸ ταύτης ἐς δεκάτην ἡμέρην τῆς σεωυτοῦ στρατιῆς, τῆς οὐδεμία ἔσται ὤρη ἀπολλυμένης, ταύτης χιλίους τάξον κατὰ τὰς Σεμιράμιος καλεομένας πύλας· μετὰ δὲ αὖτις ἀπὸ τῆς δεκάτης ἐς ἑβδόμην ἄλλους μοι τάξον δισχιλίους κατὰ τὰς Νινίων καλεομένας πύλας· ἀπὸ δὲ τῆς ἑβδόμης διαλιπὼν εἴκοσι ἡμέρας, καὶ ἔπειτα ἄλλους κάτισον ἀγαγὼν κατὰ τὰς Χαλδαίων καλεομένας πύλας, τετρακισχιλίους. ἐχόντων δὲ μήτε οἱ πρότεροι μηδὲν τῶν ἀμυνεύντων μήτε οὗτοι, πλὴν ἐγχειριδίων· τοῦτο δὲ ἐᾶν ἔχειν. μετὰ δὲ τὴν εἰκοστὴν ἡμέρην ἰθέως τὴν μὲν ἄλλην στρατιὴν κελεύειν πέριξ προσβάλλειν πρὸς τὸ τεῖχος, Πέρσας δέ μοι τάξον κατά τε τὰς Βηλίδας καλεομένας πύλας καὶ Κισσίας· ὡς γὰρ ἐγὼ δοκέω, ἐμέο μεγάλα ἔργα ἀποδεξαμένου τά τε ἄλλα ἐπιτρέψονται ἐμοὶ Βαβυλώνιοι καὶ δὴ καὶ τῶν πυλέων τὰς βαλανάγρας· τὸ δ' ἐνθεῦτεν ἐμοί τε καὶ Πέρσῃσι μελήσει τὰ δεῖ ποιέειν." ταῦτα

156 ἐντειλάμενος ἤιε ἐπὶ τὰς πύλας, ἐπιστρεφόμενος ὡς δὴ ἀληθέως αὐτόμολος. ὁρέωντες δὲ ἀπὸ τῶν πύργων οἱ κατὰ τοῦτο τεταγμένοι κατέτρεχον κάτω, καὶ ὀλίγον τι παρακλίναντες τὴν ἑτέρην πύλην εἰρώτων τίς τε εἴη καὶ ὅτευ δεόμενος ἥκοι. ὁ δέ σφι ἠγόρευε ὡς εἴη τε Ζώπυρος καὶ αὐτομολέοι ἐς ἐκείνους. ἦγον δή μιν οἱ πυλουροί, ταῦτα ὡς

dium I, 8. Noch V, 32. — *περιεῖδες*: zu I, 24. — *ἐπ' ἐμεωυτοῦ βαλόμενος*: zu III, 71. — *ἢν μὴ τῶν σῶν δεήσῃ*: *nisi tu iis quae sunt tui muneris defueris.* — *ὡς ἔχω*: *uti comparatus sum.* Gerade so I, 24 *ὡς εἶχε.* — *ὤρη*: zu I, 4. — *κατὰ τὰς π.*: wie I, 76. — *ἐχόντων* ist der Imperativ. — *μηδὲν τῶν ἀμυνούντων*: *nihil quo se tueantur.* — *τοῦτο δέ*: nämlich *τὸ ὅπλον.* — *ἐᾶν* und *κελεύειν*: zu I, 35. — *πέριξ*: zu IV, 15. — *βαλανάγρας*: Gloss. Her. *κλεῖς.*

C. 156. *ὡς δὴ ἀληθέως*: zu III, 143. — *κατὰ τοῦτο*: wie I, 77. — *παρακλίναντες*: wenn sie den Thürflügel *ganz* aufgemacht hätten, würde stehen *ἀνακλίναντες.* Vgl.

ἤκουσαν, ἐπὶ τὰ κοινὰ τῶν Βαβυλωνίων· καταστὰς δὲ ἐπ' αὐτὰ κατοικτίζετο, φὰς ὑπὸ Δαρείου πεπονθέναι τὰ ἐπεπόνθεε ὑπ' ἑωυτοῦ, παθέειν δὲ ταῦτα, διότι συμβουλεῦσαι οἱ ἀπανιστάναι τὴν στρατιήν, ἐπείτε οὐδεὶς πόρος ἐφαίνετο τῆς ἁλώσιος. "νῦν τε" ἔφη λέγων "ἐγὼ ὑμῖν ὦ Βαβυλώνιοι ἥκω μέγιστον ἀγαθόν, Δαρείῳ δὲ καὶ τῇ στρατιῇ καὶ Πέρσῃσι μέγιστον κακόν· οὐ γὰρ δὴ ἐμέ γε ὧδε λωβησάμενος καταπροΐξεται· ἐπίσταμαι δ' αὐτοῦ πάσας τὰς διεξόδους τῶν βουλευμάτων." τοιαῦτα ἔλεγε. οἱ δὲ Βαβυ- 157
λώνιοι ὁρέωντες ἄνδρα τῶν ἐν Πέρσῃσι δοκιμώτατον ῥινός τε καὶ ὤτων ἐστερημένον μάστιξί τε καὶ αἵματι ἀναπεφυρμένον, πάγχυ ἐλπίσαντες λέγειν μιν ἀληθέα καί σφι ἥκειν σύμμαχον, ἐπιτράπεσθαι ἑτοῖμοι ἔσαν τῶν ἐδέετο σφέων· ἐδέετο δὲ στρατιῆς. ὁ δὲ ἐπείτε αὐτέων τοῦτο παρέλαβε, ἐποίεε τά περ τῷ Δαρείῳ συνεθήκατο· ἐξαγαγὼν γὰρ τῇ δεκάτῃ ἡμέρῃ τὴν στρατιὴν τῶν Βαβυλωνίων καὶ κυκλωσάμενος τοὺς χιλίους τοὺς πρώτους ἐνετείλατο Δαρείῳ τάξαι, τούτους κατεφόνευσε. μαθόντες δέ μιν οἱ Βαβυλώνιοι τοῖσι ἔπεσι τὰ ἔργα παρεχόμενον ὅμοια, πάγχυ περιχαρέες ἐόντες πᾶν δὴ ἑτοῖμοι ἔσαν ὑπηρετέειν. ὁ δὲ διαλιπὼν ἡμέρας τὰς συγκειμένας, αὖτις ἐπιλεξάμενος τῶν Βαβυλωνίων ἐξήγαγε καὶ κατεφόνευσε τῶν Δαρείου στρατιωτέων τοὺς δισχιλίους. ἰδόντες δὲ καὶ τοῦτο τὸ ἔργον οἱ Βαβυλώνιοι πάντες Ζώπυρον εἶχον ἐν στόμασι αἰνέοντες. ὁ δὲ αὖτις διαλιπὼν τὰς συγκειμένας ἡμέρας ἐξήγαγε ἐς τὸ προειρημένον, καὶ κυκλωσάμενος κατεφόνευσε τοὺς τετρακισχιλίους. ὡς δὲ καὶ τοῦτο κατέργαστο, πάντα δὴ ἦν ἐν τοῖσι Βαβυλωνίοισι Ζώπυρος, καὶ στρατάρχης τε οὗτός σφι καὶ τειχοφύλαξ

V, 16. — τὰ κοινά: das Gemeinwesen, der Staat; sonst τὸ κοινόν V, 109. VI, 14. 58. VIII, 135. Aber VII, 144 der Staatsschatz. — καταστὰς δὲ ἐπ' αὐτά: zu III, 46. — πεπονθέναι τὰ ἐπεπόνθεε: wie I, 91. — ἔφη λέγων: zu I, 118. — καταπροΐξεται: zu III, 36.

C. 157. τῶν ἐδέετο σφέων: auch steht der doppelte Genitiv bei χρήζειν VII, 53. — ὑπηρετέειν: zu I, 108. — ἐπιλεξάμενος: zu I, 78. — αἰνέοντες: dass dies Participium nicht pleonastisch ist, erhellt aus VI, 136. — πάντα δὴ ἦν: zu I, 122.

158 *ἀπεδέδεκτο. προσβολὴν δὲ Δαρείου κατὰ τὰ συγκείμενα ποιευμένου πέριξ τὸ τεῖχος, ἐνθαῦτα δὴ πάντα τὸν δόλον ὁ Ζώπυρος ἐξέφαινε. οἱ μὲν γὰρ Βαβυλώνιοι ἀναβάντες ἐπὶ τὸ τεῖχος ἠμύνοντο τὴν Δαρείου στρατιὴν προσβάλλουσαν, ὁ δὲ Ζώπυρος τάς τε Κισσίας καὶ Βηλίδας καλεομένας πύλας ἀναπετάσας ἐσῆκε τοὺς Πέρσας ἐς τὸ τεῖχος. τῶν δὲ Βαβυλωνίων οἳ μὲν εἶδον τὸ ποιηθέν, οὗτοι ἔφευγον ἐς τοῦ Διὸς τοῦ Βήλου τὸ ἱρόν· οἳ δὲ οὐκ εἶδον, ἔμενον ἐν τῇ ἑωυτοῦ τάξι ἕκαστος, ἐς ὃ δὴ καὶ οὗτοι ἔμαθον προδεδομένοι.*

159 *Βαβυλὼν μέν νυν οὕτω τὸ δεύτερον αἱρέθη· Δαρεῖος δὲ ἐπείτε ἐκράτησε τῶν Βαβυλωνίων, τοῦτο μὲν σφεων τὸ τεῖχος περιεῖλε καὶ τὰς πύλας πάσας ἀπέσπασε (τὸ γὰρ πρότερον ἑλὼν Κῦρος τὴν Βαβυλῶνα ἐποίησε τουτέων οὐδέτερον), τοῦτο δὲ ὁ Δαρεῖος τῶν ἀνδρῶν τοὺς κορυφαίους μάλιστα ἐς τρισχιλίους ἀνεσκολόπισε, τοῖσι δὲ λοιποῖσι Βαβυλωνίοισι ἀπέδωκε τὴν πόλιν οἰκέειν. ὡς δ᾽ ἕξουσι γυναῖκας οἱ Βαβυλώνιοι, ἵνα σφι γενεὴ ὑπογίνηται, τάδε Δαρεῖος προϊδὼν ἐποίησε (τὰς γὰρ ἑωυτῶν, ὡς καὶ κατ᾽ ἀρχὰς δεδήλωται, ἀπέπνιξαν οἱ Βαβυλώνιοι τοῦ σίτου προορέωντες)· ἐπέταξε τοῖσι περιοίκοισι ἔθνεσι γυναῖκας ἐς Βαβυλῶνα κατιστάναι, ὅσασδὴ ἑκάστοισι ἐπιτάσσων, ὥστε πέντε μυριάδων τὸ κεφαλαίωμα τῶν γυναικῶν συνῆλθε. ἐκ τουτέων δὲ τῶν γυναικῶν οἱ νῦν Βαβυλώνιοι γεγόνασι.*

160 *Ζωπύρου δὲ οὐδεὶς ἀγαθοεργίην Περσέων ὑπερεβάλετο παρὰ Δαρείῳ κριτῇ, οὔτε τῶν ὕστερον γενομένων οὔτε τῶν πρότερον, ὅτι μὴ Κῦρος μοῦνος· τούτῳ γὰρ οὐδεὶς Περσέων ἠξίωσέ κω ἑωυτὸν συμβαλέειν. πολλάκις δὲ Δαρεῖον*

C. 158. *πέριξ*: zu IV, 15. — *τὸ δεύτερον*: das erste Mal von Cyrus I, 191.

C. 159. *περιεῖλε*: zu III, 41. — *ἵνα σφι γενεὴ ὑπογίνηται*: *ut iis suboles subnasceretur*; *γενεή* nach Bekker statt *γένεα*, in diesem Sinne nur noch im Orakelspruch VI, 86, 3; sonst entweder Geburt oder Menschenalter. — *κατ᾽ ἀρχάς*: nämlich III, 150. — *ὁσασδή*: zu I, 157. — *τὸ κεφαλαίωμα*: die Summe.

C. 160. *παρὰ Δαρείῳ κριτῇ*: nach dem Urtheile des D., wie *παρ᾽ ἐμοί* I, 32. — *ὅτι μή*:

λέγεται γνώμην τήνδε ἀποδέξασθαι, ὡς βούλοιτο ἂν Ζώπυρον εἶναι ἀπαθέα τῆς ἀεικίης μᾶλλον ἢ Βαβυλῶνάς οἱ εἴκοσι πρὸς τῇ ἐούσῃ προσγενέσθαι. ἐτίμησε δέ μιν μεγάλως· καὶ γὰρ δῶρά οἱ ἀνὰ πᾶν ἔτος ἐδίδου ταῦτα τὰ Πέρσῃσί ἐστι τιμιώτατα, καὶ τὴν Βαβυλῶνά οἱ ἔδωκε ἀτελέα νέμεσθαι μέχρι τῆς ἐκείνου ζόης, καὶ ἄλλα πολλὰ ἐπέδωκε. Ζωπύρου δὲ τούτου γίνεται Μεγάβυζος, ὃς ἐν Αἰγύπτῳ ἀντία Ἀθηναίων καὶ τῶν συμμάχων ἐστρατήγησε· Μεγαβύζου δὲ τούτου γίνεται Ζώπυρος, ὃς ἐς Ἀθήνας αὐτομόλησε ἐκ Περσέων.

Δ.

Μετὰ δὲ τὴν Βαβυλῶνος αἵρεσιν ἐγένετο ἐπὶ Σκύθας 1
αὐτοῦ Δαρείου ἔλασις. ἀνθεύσης γὰρ τῆς Ἀσίης ἀνδράσι καὶ χρημάτων μεγάλων συνιόντων, ἐπεθύμησε ὁ Δαρεῖος τίσασθαι Σκύθας, ὅτι ἐκεῖνοι πρότεροι ἐσβαλόντες ἐς τὴν Μηδικὴν καὶ νικήσαντες μάχῃ τοὺς ἀντιουμένους ὑπῆρξαν ἀδικίης. τῆς γὰρ ἄνω Ἀσίης ἦρξαν, ὡς καὶ πρότερόν μοι

zu I, 18. — *τιμιώτατα*: zu III, 84. — *ἀτελέα*: eigentlich ohne Abgaben, d. h. ohne dass er die Einkünfte, die ihm die Verwaltung seiner Satrapie einbrachte, oder irgend einen Theil derselben in die königliche Casse abzuliefern brauchte, was die Satrapen thun mussten. — *νέμεσθαι*: locker verbunden mit *ἔδωκε* wie II, 79. — *ἐπέδωκε*: zu II, 13. — *ὃς ἐν Αἰγ. . . . ἐστρατήγησε*: im J. 458 unter der Regierung des Artaxerxes Longimanus; die Athener unterstützten den Inaros (III, 12); vgl. Thuc. I, 109 u. Diod. 11, 74. Derselbe Megabyzus war schon im zweiten Perserkriege Feldherr gewesen, nach VII, 82. — *ἀντία*: zu IV, 157. — *Ζώπυρος ὃς . . .*: Ctes. Excerptt. Perss. §. 43 *Ζώπυρος δὲ ὁ Μεγαβύζου καὶ Ἀμύτιος παῖς, ἐπεὶ αὐτῷ ὅ τε πατὴρ καὶ ἡ μήτηρ ἐτελεύτησεν, ἀπέστη βασιλέως, καὶ εἰς Ἀθήνας ἀφίκετο, κατὰ τὴν τῆς μητρὸς εἰς αὐτοὺς εὐεργεσίαν.* Vgl. noch H. IV, 43.

C. 1. *αὐτοῦ Δαρείου*: das Pronomen deutet an, dass D. die Leitung des Feldzugs persönlich übernahm, und dieselbe nicht seinen

εἴρηται, Σκύθαι ἔτεα δυῶν δέοντα τριήκοντα· Κιμμερίους γὰρ ἐπιδιώκοντες ἐσέβαλον ἐς τὴν Ἀσίην, καταπαύσαντες τῆς ἀρχῆς Μήδους· οὗτοι γὰρ πρὶν ἢ Σκύθας ἀπικέσθαι ἦρχον τῆς Ἀσίης. τοὺς δὲ Σκύθας ἀποδημήσαντας ὀκτὼ καὶ εἴκοσι ἔτεα καὶ διὰ χρόνου τοσούτου κατιόντας ἐς τὴν σφετέρην ἐξεδέξατο οὐκ ἐλάσσων πόνος τοῦ Μηδικοῦ· εὗρον γὰρ ἀντιουμένην σφι στρατιὴν οὐκ ὀλίγην· αἱ γὰρ τῶν Σκυθέων γυναῖκες, ὥς σφι οἱ ἄνδρες ἀπῆσαν χρόνον πολ-
2 λόν, ἐφοίτων παρὰ τοὺς δούλους. τοὺς δὲ δούλους οἱ Σκύθαι πάντας τυφλοῦσι τοῦ γάλακτος εἵνεκεν τοῦ πίνουσι ποιεῦντες ὧδε· ἐπεὰν φυσητῆρας λάβωσι ὀστεΐνους, αὐλοῖσι προσεμφερεστάτους, τούτους ἐσθέντες ἐς τῶν θηλέων ἵππων τὰ ἄρθρα φυσῶσι τοῖσι στόμασι, ἄλλοι δὲ ἄλλων φυσώντων ἀμέλγουσι. φασὶ δὲ τοῦδε εἵνεκα τοῦτο ποιέειν· τὰς φλέβας τε πίμπλασθαι φυσωμένας τῆς ἵππου καὶ τὸ οὖθαρ κατίεσθαι. ἐπεὰν δὲ ἀμέλξωσι τὸ γάλα, ἐσχέαντες ἐς ξύλινα ἀγγήια κοῖλα καὶ περιστίξαντες κατὰ τὰ ἀγγήια τοὺς τυφλοὺς δονέουσι τὸ γάλα, καὶ τὸ μὲν αὐτοῦ ἐπιστάμενον ἀπαρύσαντες ἡγεῦνται εἶναι τιμιώτερον, τὸ δ' ὑπιστάμενον ἕσσον τοῦ ἑτέρου. τούτων μὲν εἵνεκα ἅπαντα τὸν ἂν λάβωσι οἱ Σκύθαι ἐκτυφλοῦσι· οὐ γὰρ ἀρόται εἰσὶ
3 ἀλλὰ νομάδες. ἐκ τουτέων δὴ ὧν σφι τῶν δούλων καὶ τῶν γυναικῶν ἐπετράφη νεότης, οἳ ἐπείτε ἔμαθον τὴν σφετέρην

Generalen überliess. — *εἴρηται*: nämlich I, 103 u. 106, womit zu vergleichen I, 15 und VII, 20. — *διὰ χρόνου τοσούτου*: nach einem Zwischenraume von ..., wie I, 62 *διὰ ἑνδεκάτου ἔτεος ἀπίκοντο ὀπίσω*. Vgl. Isocr. 6, 27: *Μεσσήνην διὰ τετρακοσίων ἐτῶν μέλλουσι κατοικίζειν*. — *ἐφοίτων*: vgl. Anm. zu *ἦλθες* II, 115.

C. 2. *τὰ ἄρθρα*: zu III, 87. — *περιστίξαντες*: nachdem sie im Kreise herumgestellt hatten; gerade so noch IV, 202, nur mit veränderter Construction: sie umsteckte die Mauer. — *τὸ ἐπιστάμενον*: also die Sahne. — *ἡγεῦνται*: zu I, 4. — *τούτων μὲν εἵνεκα*: der gedachte Gegensatz des *μέν* ist: und dennoch haben die Skythen von ihnen Empörung erfahren; dieser Gegensatz ist aber im C. 3 durch die wiederanknüpfenden und resumirenden Worte *ἐκ τούτων δὴ ὦν* ausgedrückt, weil dazwischen noch ein anderes Argument für die Blendung der Sklaven beigebracht war.

C. 3. *ἐπετράφη*: zu II, 121, 1. — *οἵ*: natürlich *κατὰ σύνεσιν* auf *νεό-*

γένεσιν, ἠντιοῦντο αὐτοῖσι κατιοῦσι ἐκ τῶν Μήδων. καὶ πρῶτα μὲν τὴν χώρην ἀπετάμοντο, τάφρον ὀρυξάμενοι εὐρέαν, κατατείνουσαν ἐκ τῶν Ταυρικῶν οὐρέων ἐς τὴν Μαιῆτιν λίμνην, ἥπερ ἐστὶ μεγίστη· μετὰ δὲ πειρωμένοισι ἐσβάλλειν τοῖσι Σκύθῃσι ἀντικατιζόμενοι ἐμάχοντο. γινομένης δὲ μάχης πολλάκις, καὶ οὐ δυναμένων οὐδὲν πλέον ἔχειν τῶν Σκυθέων τῇ μάχῃ, εἷς αὐτῶν ἔλεξε τάδε. "οἷα ποιεῦμεν, ἄνδρες Σκύθαι· δούλοισι τοῖσι ἡμετέροισι μαχόμενοι αὐτοί τε ἐλάσσονες κτεινόμενοι γινόμεθα, καὶ ἐκείνους κτείνοντες ἐλασσόνων τὸ λοιπὸν ἄρξομεν. νῦν ὦν μοι δοκέει αἰχμὰς μὲν καὶ τόξα μετεῖναι, λαβόντα δὲ ἕκαστον τοῦ ἵππου τὴν μάστιγα ἰέναι ἆσσον αὐτῶν. μέχρι μὲν γὰρ ὥρων ἡμέας ὅπλα ἔχοντας, οἱ δὲ ἐνόμιζον ὁμοῖοί τε καὶ ἐξ ὁμοίων ἡμῖν εἶναι· ἐπεὰν δὲ ἴδωνται μάστιγας ἀντ' ὅπλων ἔχοντας, μαθόντες ὡς εἰσὶ ἡμέτεροι δοῦλοι, καὶ συγγνόντες τοῦτο, οὐκ ὑπομενέουσι." ταῦτα ἀκούσαντες οἱ Σκύθαι 4
ἐποίευν ἐπιτελέα· οἱ δ' ἐκπλαγέντες τῷ γινομένῳ τῆς μάχης τε ἐπελάθοντο καὶ ἔφευγον. οὕτω οἱ Σκύθαι τῆς τε Ἀσίης ἦρξαν, καὶ ἐξελαθέντες αὖτις ὑπὸ Μήδων κατῆλθον τρόπῳ τοιούτῳ ἐς τὴν σφετέρην. τῶν δὲ εἵνεκα ὁ Δαρεῖος τίσασθαι βουλόμενος συνήγειρε ἐπ' αὐτοὺς στράτευμα.

Ὡς δὲ Σκύθαι λέγουσι, νεώτατον ἁπάντων ἐθνέων εἶναι 5
τὸ σφέτερον, τοῦτο δὲ γενέσθαι ὧδε. ἄνδρα γενέσθαι πρῶτον ἐν τῇ γῇ ταύτῃ ἐούσῃ ἐρήμῳ τῷ οὔνομα εἶναι Ταργίταον· τοῦ δὲ Ταργιτάου τούτου τοὺς τοκέας λέγουσι εἶναι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, λέγουσι δ' ὦν Δία τε καὶ Βορυσθένεος τοῦ ποταμοῦ θυγατέρα. γένεος μὲν τοιούτου δή τινος γενέσθαι τὸν Ταργίταον, τούτου δὲ γενέσθαι παῖδας τρεῖς, Λιπόξαϊν καὶ Ἀρπόξαϊν καὶ νεώτατον Κολάξαϊν. ἐπὶ τούτων ἀρχόντων ἐκ τοῦ οὐρανοῦ φερόμενα χρύσεα

της zu beziehen. — τάφρον ὀρυξάμενοι: zu IV, 99. — ἐκ τῶν Ταυρικῶν οὐρέων: das taurische Gebirg ist im südlichen Theil der taurischen Halbinsel zu suchen. — μέχρι μέν: noch so IV, 119; sonst als Conjunction μέχρι οὗ oder ὅσου, so VIII, 3. — οἱ δέ: wie I, 112.

C. 5. εἶναι τὸ σφέτερον: anacoluthisch, wie I, 191. — λέγουσι

ποιήματα, ἄροτρόν τε καὶ ζυγὸν καὶ σάγαριν καὶ φιάλην, πεσέειν ἐς τὴν Σκυθικήν· καὶ τῶν ἰδόντα πρῶτον τὸν πρεσβύτατον ἆσσον ἰέναι, βουλόμενον αὐτὰ λαβεῖν, τὸν δὲ χρυσὸν ἐπιόντος καίεσθαι. ἀπαλλαχθέντος δὲ τούτου προσιέναι τὸν δεύτερον, καὶ τὸν αὖτις ταὐτὰ ποιέειν. τοὺς μὲν δὴ καιόμενον τὸν χρυσὸν ἀπώσασθαι, τρίτῳ δὲ τῷ νεωτάτῳ ἐπελθόντι κατασβῆναι, καί μιν ἐκεῖνον κομίσαι ἐς ἑωυτοῦ, καὶ τοὺς πρεσβυτέρους ἀδελφεοὺς πρὸς ταῦτα συγγνόντας τὴν βασι-
6 ληίην πᾶσαν παραδοῦναι τῷ νεωτάτῳ. ἀπὸ μὲν δὴ Λιποξάιος γεγονέναι τούτους τῶν Σκυθέων οἳ Αὐχάται γένος καλέονται, ἀπὸ δὲ τοῦ μέσου Ἀρποξάιος οἳ Κατίαροί τε καὶ Τράσπιες καλέονται, ἀπὸ δὲ τοῦ νεωτάτου αὐτέων τοὺς βασιλέας, οἳ καλέονται Παραλάται· σύμπασι δὲ εἶναι οὔνομα Σκολότους, τοῦ βασιλέος ἐπωνυμίην. Σκύθας δὲ
7 Ἕλληνες οὐνόμασαν. γεγονέναι μέν νυν σφέας ὧδε λέγουσι οἱ Σκύθαι, ἔτεα δέ σφι, ἐπείτε γεγόνασι, τὰ σύμπαντα λέγουσι εἶναι ἀπὸ τοῦ πρώτου βασιλέος Ταργιτάου ἐς τὴν Δαρείου διάβασιν τὴν ἐπὶ σφέας χιλίων οὐ πλέω ἀλλὰ τοσαῦτα. τὸν δὲ χρυσὸν τοῦτον τὸν ἱρὸν φυλάσσουσι οἱ βασιλέες ἐς τὰ μάλιστα, καὶ θυσίῃσι μεγάλῃσι ἱλασκόμενοι μετέρχονται ἀνὰ πᾶν ἔτος. ὃς δ' ἂν ἔχων τὸν χρυσὸν τὸν ἱρὸν ἐν τῇ ὁρτῇ ὑπαίθριος κατακοιμηθῇ, οὗτος λέγεται ὑπὸ Σκυθέων οὐ διενιαυτίζειν· δίδοσθαι δέ οἱ διὰ τοῦτο ὅσα ἂν ἵππῳ ἐν ἡμέρῃ μιῇ περιελάσῃ αὐτός. τῆς δὲ χώρης ἐοὐ-

δ' ὦν: zu III, 80. — *ποιήματα:* Werkzeuge; sonst (I, 25. II, 135. VII, 84) Arbeit, und zwar immer von Metall. — *σάγαριν:* zu I, 215. — *ἐπιόντος:* nämlich *αὐτοῦ:* als er herankam. — *καὶ τὸν αὖτις:* nämlich *χρυσόν*, *acc. subiecti;* ebenso ist auch im folgenden Satze *τὸν χρυσόν* als *acc. subiecti* zu fassen: das Gold habe sie verschmäht, sie sich als Herrn und Besitzer nicht gefallen lassen wollen, indem dem Golde die Thätigkeit einer Person zugeschrieben wird. — *πρὸς ταῦτα:* wie I, 38.

C. 6. *τοὺς βασιλέας:* auch im folgenden Capitel scheint *οἱ βασιλέες* für *οἱ βασιλήιοι* [*Σκύθαι*], wie IV, 20. 56. 59 steht, genommen werden zu müssen. — *τοῦ βασιλέος ἐπωνυμίην:* ein Beiname oder nach einem Beinamen des Königs (Kolaxais).

C. 7. *μετέρχονται ἀνὰ πᾶν ἔτος:* Sian: *quotannis ibi conveniunt ubi aurum illud asservatur.* — *περιελάσῃ:* zu I, 106. — *ἐν τῇ...*

σης μεγάλης τριφασίας τὰς βασιληίας τοῖσι παισὶ τοῖσι
ἑωυτοῦ καταστήσασθαι Κολάξαϊν, καὶ τουτέων μίαν με-
γίστην ποιῆσαι, ἐν τῇ τὸν χρυσὸν φυλάσσεσθαι. τὰ δὲ κατύ-
περθε πρὸς βορῆν λέγουσι ἄνεμον τῶν ὑπεροίκων τῆς
χώρης οὐκ οἷά τε εἶναι ἔτι προσωτέρω οὔτε ὁρᾶν οὔτε διεξ-
ιέναι ὑπὸ πτερῶν κεχυμένων· πτερῶν γὰρ καὶ τὴν γῆν καὶ τὸν
ἠέρα εἶναι πλέον, καὶ ταῦτα εἶναι τὰ ἀποκληίοντα τὴν ὄψιν.

Σκύθαι μὲν ὧδε ὑπὲρ σφέων τε αὐτέων καὶ τῆς χώρης 8
τῆς κατύπερθε λέγουσι, Ἑλλήνων δὲ οἱ τὸν Πόντον οἰκέον-
τες ὧδε, Ἡρακλέα ἐλαύνοντα τὰς Γηρυόνεω βοῦς ἀπικέσθαι
ἐς γῆν ταύτην ἐοῦσαν ἐρήμην, ἥντινα νῦν Σκύθαι νέμονται.
Γηρυόνεα δὲ οἰκέειν ἔξω τοῦ Πόντου, κατοικημένον τὴν
Ἕλληνες λέγουσι Ἐρύθειαν νῆσον, τὴν πρὸς Γηδείροισι
τοῖσι ἔξω Ἡρακλέων στηλέων ἐπὶ τῷ Ὠκεανῷ. τὸν δὲ Ὠκεα-
νὸν λόγῳ μὲν λέγουσι ἀπ᾽ ἡλίου ἀνατολέων ἀρξάμενον γῆν
περὶ πᾶσαν ῥέειν, ἔργῳ δὲ οὐκ ἀποδεικνῦσι. ἐνθεῦτεν τὸν
Ἡρακλέα ἀπικέσθαι ἐς τὴν νῦν Σκυθικὴν χώρην καλεο-
μένην. καταλαβεῖν γὰρ αὐτὸν χειμῶνά τε καὶ κρυμόν· ἐπει-
ρυσάμενον δὲ τὴν λεοντῆν κατυπνῶσαι, τὰς δέ οἱ ἵππους
τὰς ὑπὸ τοῦ ἅρματος νεμομένας ἐν τούτῳ τῷ χρόνῳ ἀφα-
νισθῆναι θείῃ τύχῃ. ὡς δ᾽ ἐγερθῆναι τὸν Ἡρακλέα, δίζη- 9
σθαι, πάντα δὲ τὰ τῆς χώρης ἐπεξελθόντα τέλος ἀπικέ-
σθαι ἐς τὴν Ὑλαίην καλεομένην γῆν· ἐνθαῦτα δὲ αὐτὸν

φυλάσσεσθαι: zu I, 24. — *πρὸς βορῆν ἄνεμον τῶν ὑπεροίκων τῆς χώρης*: nördlich von denjenigen unter den Scythen, welche die oberen (d. i. nördlichen) Theile des Landes bewohnen. — *ὑπὸ πτερῶν κεχυμένων*: vgl. IV, 31.

C. 8. *Σκύθαι μὲν ὧδε*: vgl. *τόνδε* I, 137. — *κατοικημένον*: activisch zu fassen, nimmt pleonastisch *οἰκέειν* wieder auf, wie I, 67 *ἐγεγόνεσαν . . . γενόμενοι*. II, 108. *ἐχρέωντο . . . χρεώμενοι*. Aehnlich VII, 10, 1 *αἱρεόμενον ἑλέσθαι*. — *Ἐρύθειαν νῆσον*: nach Hecatäus in Arrian's Anab. 2, 16 wohnte Geryones nicht auf der Insel Erytheia bei Cadix (*Γάδειρα*), sondern sei Beherrscher des Festlandes um Ambrakia und die Amphilocher gewesen, des nachmaligen Epirus; von da habe Hercules die Rinder weggetrieben und nach Mykene zum Eurystheus gebracht. Mit Her. stimmt Hesiod überein, Theog. 287 — 294. — *ἔξω Ἡρ. στηλέων*: zu II, 33 u. IV. 152. — *τὸν δὲ Ὠκεανόν*: vgl. II, 21. 23. — *θείῃ τύχῃ*: zu I, 126.

C. 9. *ὡς δ᾽ ἐγερθῆναι*: zu I, 24. — *ἐς τὴν Ὑλαίην*: (eigentlich

εὑρεῖν ἐν ἄντρῳ μιξοπάρθενόν τινα ἔχιδναν διφυέα, τῆς τὰ μὲν ἄνω ἀπὸ τῶν γλουτέων εἶναι γυναικός, τὰ δὲ ἔνερθε ὄφιος. ἰδόντα δὲ καὶ θωυμάσαντα ἐπείρεσθαί μιν εἴ κου ἴδοι ἵππους πλανωμένας· τὴν δὲ φάναι ἑωυτὴν ἔχειν; καὶ οὐκ ἀποδώσειν ἐκείνῳ πρὶν ἤ οἱ μιχθῆναι· τὸν δὲ Ἡρακλέα μιχθῆναι ἐπὶ τῷ μισθῷ τούτῳ. κείνην τε δὴ ὑπερβάλλεσθαι τὴν ἀπόδοσιν τῶν ἵππων, βουλομένην ὡς πλεῖστον χρόνον συνεῖναι τῷ Ἡρακλέι, καὶ τὸν κομισάμενον ἐθέλειν ἀπαλλάσσεσθαι· τέλος δὲ ἀποδιδοῦσαν αὐτὴν εἰπεῖν "ἵππους μὲν δὴ ταύτας ἀπικομένας ἐνθάδε ἔσωσά τοι ἐγώ, σῶστρα δὲ σὺ παρέσχες· ἔχω γὰρ ἐκ σέο παῖδας τρεῖς. τούτους, ἐπεὰν γένωνται τρόφιες, ὅ τι χρὴ ποιέειν, ἐξηγέο σύ, εἴτε αὐτοῦ κατοικίζω (χώρης γὰρ τῆσδε ἔχω τὸ κράτος αὐτή) εἴτε ἀποπέμπω παρὰ σέ." τὴν μὲν δὴ ταῦτα ἐπειρωτᾶν, τὸν δὲ λέγουσι πρὸς ταῦτα εἰπεῖν "ἐπεὰν ἀνδρωθέντας ἴδηαι τοὺς παῖδας, τάδε ποιεῦσα οὐκ ἂν ἁμαρτάνοις. τὸν μὲν ἂν ὁρᾷς αὐτέων τόδε τὸ τόξον ὧδε διατεινόμενον καὶ τῷ ζωστῆρι τῷδε κατὰ τάδε ζωννύμενον, τοῦτον

Waldgegend), Landschaft im Südosten des europäischen Sarmatiens zwischen dem Borysthenes u. Hypakyris. Noch erwähnt IV, 18. 19. 54. 55. 76. Heeren I, 2 S. 272: "Ob von jener waldigen Region noch gegenwärtig Spuren vorhanden sind, ist ungewiss. Auf einigen der älteren Charten findet man hier den Namen des schwarzen Waldes, der in früheren Jahrhunderten eine viel grössere Ausdehnung gehabt haben mag. Nach den mir mitgetheilten Nachrichten von Reisenden ist zwar der Wald dort verschwunden; aber die Sage lebt noch unter dem Volke, dass er einst hier gewesen sei." — τῆς ... εἶναι: zu I, 24. — τὰ δὲ ἔνερθε: zu I, 91. — ἑωυτήν: Subject wie I, 34. — καὶ τόν: zu I, 86. — κομισάμενον: receptis equabus. — ἵππους μέν: der durch μέν angekündigte Gegensatz ist so zu fassen: "Mit den Stuten, ihrer Erhaltung und dem Lohn dafür ist alles klar und in Ordnung; aber was mit den Söhnen werden soll, das ist noch nicht entschieden und das magst du nun bestimmen." Das zweite Glied hat die Form des Gegensatzes darum nicht bekommen, weil die παῖδες nur als Erläuterung an die σῶστρα geknüpft werden; diese aber gehören zum ersten Gliede und werden als eine gleichfalls abgemachte Sache durch τέ angeknüpft. Wollte man den Gegensatz ausdrücken, so müsste es etwa heissen: τὰς μὲν ἵππους ἔσωσα· τοὺς δὲ παῖδας, τοὺς ἀντὶ σώστρων παρέσχες ἐμοί, οὔπω οἶδα ὅ τι χρὴ ποιέειν. — τρόφιες: weiter unten variirt durch ἀνδρωθέντες. — κατὰ τάδε: ein variirter Ausdruck für das vorhergehende

μὲν τῆσδε τῆς χώρης οἰκήτορα ποιεῦ· ὃς δ' ἂν τουτέων
τῶν ἔργων τῶν ἐντέλλομαι λείπηται, ἔκπεμπε ἐκ τῆς χώρης.
καὶ ταῦτα ποιεῦσα αὐτή τε εὐφρανέαι καὶ τὰ ἐντεταλμένα
ποιήσεις." τὸν μὲν δὴ εἰρύσαντα τῶν τόξων τὸ ἕτερον (δύο 10
γὰρ δὴ φορέειν τέως Ἡρακλέα) καὶ τὸν ζωστῆρα προδέξαν-
τα, παραδοῦναι τὸ τόξον τε καὶ τὸν ζωστῆρα ἔχοντα ἐπ'
ἄκρης τῆς συμβολῆς φιάλην χρυσέην, δόντα δὲ ἀπαλλάσ-
σεσθαι. τὴν δ', ἐπεί οἱ γενομένους τοὺς παῖδας ἀνδρωθῆ-
ναι, τοῦτο μέν σφι οὐνόματα θέσθαι, τῷ μὲν Ἀγάθυρσον
αὐτέων, τῷ δ' ἑπομένῳ Γελωνόν, Σκύθην δὲ τῷ νεωτάτῳ,
τοῦτο δὲ τῆς ἐπιστολῆς μεμνημένην αὐτὴν ποιῆσαι τὰ ἐντε-
ταλμένα. καὶ δὴ δύο μὲν οἱ τῶν παίδων, τόν τε Ἀγάθυρ-
σον καὶ τὸν Γελωνόν, οὐκ οἵους τε γενομένους ἐξικέσθαι
πρὸς τὸν προκείμενον ἄεθλον, οἴχεσθαι ἐκ τῆς χώρης ἐκ-
βληθέντας ὑπὸ τῆς γειναμένης, τὸν δὲ νεώτατον αὐτέων
Σκύθην ἐπιτελέσαντα καταμεῖναι ἐν τῇ χώρῃ. καὶ ἀπὸ μὲν
Σκύθεω τοῦ Ἡρακλέος γενέσθαι τοὺς αἰεὶ βασιλέας γινο-
μένους Σκυθέων, ἀπὸ δὲ τῆς φιάλης ἔτι καὶ ἐς τόδε φιά-
λας ἐκ τῶν ζωστήρων φορέειν Σκύθας· τὸ δὴ μοῦνον μη-
χανήσασθαι τὴν μητέρα Σκύθῃ. ταῦτα δὲ Ἑλλήνων οἱ τὸν
Πόντον οἰκέοντες λέγουσι.

Ἔστι δὲ καὶ ἄλλος λόγος ἔχων ὧδε, τῷ μάλιστα λεγο- 11
μένῳ αὐτὸς πρόσκειμαι, Σκύθας τοὺς νομάδας οἰκέοντας
ἐν τῇ Ἀσίῃ, πολέμῳ πιεσθέντας ὑπὸ Μασσαγετέων, οἴ-
χεσθαι διαβάντας ποταμὸν Ἀράξεα ἐπὶ γῆν τὴν Κιμμερίην
(τὴν γὰρ νῦν νέμονται Σκύθαι, αὕτη λέγεται τὸ παλαιὸν
εἶναι Κιμμερίων), τοὺς δὲ Κιμμερίους ἐπιόντων Σκυθέων
βουλεύεσθαι ὡς στρατοῦ ἐπιόντος μεγάλου, καὶ δὴ τὰς

ὧδε, beides δεικτικῶς gebraucht. — *ἔκπεμπε:* vollständig τοῦτον δὲ ἔκπεμπε. Zu I, 113.

C. 10. *εἰρύσαντα* und *προδέξαντα*: das Eine *adducere arcum*, das Andere *cinguli aptandi rationem praemonstrare*. — *ἐπ' ἄκρης τῆς συμβολῆς*: **oben auf dem Gürtelschloss.** — *ἐπεὶ . . . ἀνδρωθῆναι*: zu I, 24. — *τῆς ἐπιστολῆς*: hier *mandatum*, wie VI, 50. — *ἐξικέσθαι*: zu I, 171.

C 11. *μάλιστα*: ist mit *πρόσκειμαι* zu verbinden. — *πρόσκειμαι*: zu I, 133. — *Ἀράξεα*: zu I,

γνώμας σφέων κεχωρισμένας, ἐντόνους μὲν ἀμφοτέρας, ἀμείνω δὲ τὴν τῶν βασιλέων· τὴν μὲν γὰρ δὴ τοῦ δήμου φέρειν γνώμην ὡς ἀπαλλάσσεσθαι πρῆγμα εἴη μηδὲ πρὸς πολλοὺς δέοι μένοντας κινδυνεύειν, τὴν δὲ τῶν βασιλέων διαμάχεσθαι περὶ τῆς χώρης τοῖσι ἐπιοῦσι. οὐκ ὦν δὴ ἐθέλειν πείθεσθαι οὔτε τοῖσι βασιλεῦσι τὸν δῆμον οὔτε τῷ δήμῳ τοὺς βασιλέας. τοὺς μὲν δὴ ἀπαλλάσσεσθαι βουλεύεσθαι ἀμαχητί, τὴν χώρην παραδόντας τοῖσι ἐπιοῦσι· τοῖσι δὲ βασιλεῦσι δόξαι ἐν τῇ ἑωυτῶν κέεσθαι ἀποθανόντας, μηδὲ συμφεύγειν τῷ δήμῳ, λογισαμένους ὅσα τε ἀγαθὰ πεπόνθασι καὶ ὅσα φεύγοντας ἐκ τῆς πατρίδος κακὰ ἐπίδοξα καταλαμβάνειν. ὡς δὲ δόξαι σφι ταῦτα, διαστάντας καὶ ἀριθμὸν ἴσους γενομένους μάχεσθαι πρὸς ἀλλήλους. καὶ τοὺς μὲν ἀποθανόντας πάντας ὑπ᾽ ἑωυτῶν θάψαι τὸν δῆμον τῶν Κιμμερίων παρὰ ποταμὸν Τύρην (καί σφεων ἔτι δῆλός ἐστι ὁ τάφος), θάψαντας δὲ οὕτω τὴν ἔξοδον ἐκ τῆς χώρης ποιέεσθαι, Σκύθας δὲ ἐπελθόντας
12 *λαβεῖν ἐρήμην τὴν χώρην. καὶ νῦν ἔστι μὲν ἐν τῇ Σκυθικῇ Κιμμέρια τείχεα, ἔστι δὲ πορθμήια Κιμμέρια, ἔστι δὲ καὶ χώρη οὔνομα Κιμμερίη, ἔστι δὲ Βόσπορος Κιμμέριος καλεόμενος. φαίνονται δὲ οἱ Κιμμέριοι φεύγοντες ἐς τὴν Ἀσίην τοὺς Σκύθας καὶ τὴν χερσόνησον κτίσαντες ἐν τῇ νῦν Σινώπη πόλις Ἑλλὰς οἴκισται. φανεροὶ δέ εἰσι καὶ οἱ Σκύθαι διώξαντες αὐτοὺς καὶ ἐσβαλόντες ἐς γῆν τὴν Μηδικήν, ἁμαρτόντες τῆς ὁδοῦ· οἱ μὲν γὰρ Κιμμέριοι αἰεὶ τὴν παρὰ θάλασσαν ἔφευγον, οἱ δὲ Σκύθαι ἐν δεξιῇ τὸν Καύκασον*

201. — *κεχωρισμένας:* nämlich: *εἶναι.* — *ἐντόνους:* eigentl. angespannt, d. h. heftig verfochten. — *πρῆγμα:* zu I, 79. — *ἐπίδοξα:* zu I, 89. — *ὡς δὲ δόξαι:* zu I, 24. — *σφί* und *διαστάντας* sind auf beide Parteien zu beziehen. — *καὶ τούς:* (zu I, 86) dass hierunter die königlich gesinnte Partei zu verstehen ist, ist aus dem Gegensatze *θάψαντας δέ*, nämlich *τὸν δῆμον*, ersichtlich. — *ὑπ᾽ ἑωυτῶν:* auf *τὸν δῆμον* zu beziehen. — *Τύρην:* zu IV, 51.

C. 12. *τείχεα:* Castell. — *πορθμήια:* (Plur. von *πορθμήιον*, eigentl. Ort zum Uebersetzen) Steph. Byz. p. 533 ed. Meinek. *Πορθμία καὶ Πορθμίον, κώμη ἐπὶ τῷ στόματι τῆς Μαιώτιδος λίμνης.* Noch IV, 45. Aber VII, 25 Fähre. — *Βόσπορος Κιμμέριος:* die Strasse von Caffa; noch IV, 28 und 100. — *οἱ Κιμμέριοι*

ἔχοντες ἐδίωκον, ἐς ὃ ἐσέβαλον ἐς τὴν Μηδικὴν γῆν, ἐς μεσόγαιαν τῆς ὁδοῦ τραφθέντες. οὗτος δὲ ἄλλος ξυνὸς Ἑλλήνων τε καὶ βαρβάρων λεγόμενος λόγος εἴρηται.

13 Ἔφη δὲ Ἀριστέης ὁ Καϋστροβίου ἀνὴρ Προκοννήσιος, ποιέων ἔπεα, ἀπικέσθαι ἐς Ἰσσηδόνας φοιβόλαμπτος γενόμενος, Ἰσσηδόνων δ' ὑπεροικέειν Ἀριμασποὺς ἄνδρας μουνοφθάλμους, ὑπὲρ δὲ τουτέων τοὺς χρυσοφύλακας γρῦπας, τουτέων δὲ τοὺς Ὑπερβορέους κατήκοντας ἐπὶ θάλασσαν. τούτους ὦν πάντας πλὴν Ὑπερβορέων, ἀρξάντων Ἀριμασπῶν, αἰεὶ τοῖσι πλησιοχώροισι ἐπιτίθεσθαι, καὶ ὑπὸ μὲν Ἀριμασπῶν ἐξωθέεσθαι ἐκ τῆς χώρης Ἰσσηδόνας, ὑπὸ δὲ Ἰσσηδόνων Σκύθας, Κιμμερίους δὲ οἰκέοντας ἐπὶ τῇ νοτίῃ θαλάσσῃ ὑπὸ Σκυθέων πιεζομένους ἐκλείπειν τὴν χώρην, οὕτω οὐδὲ οὗτος συμφέρεται περὶ τῆς χώρης ταύτης Σκύθῃσι.

14 καὶ ὅθεν μὲν ἦν Ἀριστέης ὁ ταῦτα ποιήσας, εἴρηται· τὸν δὲ περὶ αὐτοῦ ἤκουον λόγον ἐν Προκοννήσῳ καὶ Κυζίκῳ, λέξω. Ἀριστέην γὰρ λέγουσι, ἐόντα τῶν ἀστῶν

φεύγοντες: vgl. IV, 1. — *ἐς μεσόγαιαν τῆς ὁδοῦ τραφθέντες:* brachylogisch für: indem sie sich von ihrem bisherigen Wege abwendeten, um ihren Zug ins Binnenland zu richten. Sonst steht in diesem Sinne das Compos. *ἐκτράπεσθαι* I, 104. VI, 34. — *λεγόμενος εἴρηται:* pleonastisch, wie *ἔφη λέγων* I, 118.

C. 13. *Ἀριστέης:* soll 580 v. Ch. gelebt haben; indess nach Cap. 15 muss er dem Zeitalter des Homer angehören. Ueber ihn ist besonders nachzusehen C. Ritter, Vorhalle europäischer Völkergeschichten S. 271 ff. u. 357 ff. — *ποιέων ἔπεα* = *ἐποποιός*. Sein Gedicht hiess, wie aus dem folgenden Capitel erhellt, *Ἀριμάσπεα*. — *Ἰσσηδόνας:* zu IV, 25. — *φοιβόλαμπτος:* vom Anhauch des Apollon geführt. So IV, 79 *ἡμέας ὁ θεὸς λαμβάνει*. — *Ἀριμασπούς:* zu IV, 27. — *τοὺς Ὑπερβορέους:* zu IV, 32. — *κατήκοντας:* zu I, 148. — *ἐπὶ θάλασσαν:* natürlich, das nördliche. — *τούτους οὖν πάντας:* K. O. Müller, Dorier I, S. 275: "Die Sagen von jenen Wanderungen hatte der Dichter auf keinem andern Wege erhalten können, als woher sie Herodot hat; nämlich von den Hellenen am Pontos und Borysthenes und durch diese von den Skythen; die Delier in Chersonesos Taurike und die milesischen Colonieen mögen sie zuerst ausgebildet haben; von ihnen kamen sie zu den ebenfalls milesischen Proconnesiern in der Propontis." — *ἐπιτίθεσθαι:* zu I, 26. — *ἐπὶ τῇ νοτίῃ θαλ.:* im Gegensatz zu dem oben erwähnten nördlichen, also die Mäotis oder der Pontos. — *οὐδὲ οὗτος:* auch dieser nicht, so wie die am Pontos wohnenden Griechen in ihrer Erzählung C. 8 fg. — *συμφέρεται:* zu I, 173.

C. 14. *ποιήσας:* zu III, 38. —

*οὐδενὸς γένος ὑποδεέστερον, ἐσελθόντα ἐς κναφήιον ἐν
Προκοννήσῳ ἀποθανεῖν, καὶ τὸν κναφέα κατακληίσαντα τὸ
ἐργαστήριον οἴχεσθαι ἀγγελέοντα τοῖσι προσήκουσι τῷ
νεκρῷ. ἐσκεδασμένου δὲ ἤδη τοῦ λόγου ἀνὰ τὴν πόλιν ὡς
τεθνεὼς εἴη ὁ Ἀριστέης, ἐς ἀμφισβασίας τοῖσι λέγουσι
ἀπικέσθαι ἄνδρα Κυζικηνὸν ἥκοντα ἐξ Ἀρτάκης πόλιος,
φάντα συντυχεῖν τέ οἱ ἰόντι ἐπὶ Κυζίκου καὶ ἐς λόγους ἀπι-
κέσθαι. καὶ τοῦτον μὲν ἐντεταμένως ἀμφισβατέειν, τοὺς
δὲ προσήκοντας τῷ νεκρῷ ἐπὶ τὸ κναφήιον παρεῖναι ἔχον-
τας τὰ πρόσφορα ὡς ἀναιρησομένους· ἀνοιχθέντος δὲ τοῦ
οἰκήματος οὔτε τεθνεῶτα οὔτε ζώοντα φαίνεσθαι Ἀριστέην.
μετὰ δὲ ἑβδόμῳ ἔτεϊ φανέντα αὐτὸν ἐς Προκόννησον ποιῆ-
σαι τὰ ἔπεα ταῦτα τὰ νῦν ὑπ᾽ Ἑλλήνων Ἀριμάσπεα καλέε-
ται, ποιήσαντα δὲ ἀφανισθῆναι τὸ δεύτερον. ταῦτα μὲν αἱ
15 πόλιες αὗται λέγουσι, τάδε δὲ οἶδα Μεταποντίνοισι τοῖσι
ἐν Ἰταλίῃ συγκυρήσαντα μετὰ τὴν ἀφάνισιν τὴν δευτέρην
Ἀριστέω ἔτεσι τεσσεράκοντα καὶ τριηκοσίοισι, ὡς ἐγὼ συμ-
βαλλόμενος ἐν Προκοννήσῳ τε καὶ Μεταποντίῳ εὕρισκον.
Μεταποντῖνοί φασι αὐτὸν Ἀριστέην φανέντα σφι ἐς τὴν
χώρην κελεῦσαι βωμὸν Ἀπόλλωνι ἱδρύσασθαι καὶ Ἀρι-
στέω τοῦ Προκοννησίου ἐπωνυμίην ἔχοντα ἀνδριάντα παρ᾽
αὐτὸν στῆσαι· φάναι γάρ σφι τὸν Ἀπόλλωνα Ἰταλιωτέων
μούνοισι δὴ ἀπικέσθαι ἐς τὴν χώρην, καὶ αὐτός οἱ ἕπεσθαι*

ἐς ἀμφισβασίας τοῖσι λέγουσι ἀπικνέεσθαι: c o n t r o v e r s i a m i i s q u i i d d i c e r e n t m o v i s s e. Aehnlich VIII, 81 *ἐγίνετο λόγων ἀμφισβασίη*. Das Verbum *ἀμφισβατέειν* weiter unten u. IX, 74. — *ἐξ Ἀρτάκης:* Stadt und Hafen bei Kyzikos, oder vielmehr Vorstadt von K.; noch VI, 33. — *συντυχεῖν:* zu I, 51. — *τὰ πρόσφορα:* zu II 105. — *ἀναιρησομένους:* zu II, 52.

C. 15. *ὡς ἐγὼ . . . εὑρίσκω:* bezieht sich auf die eben davor stehende Zahl, die freilich mit dem C. 13 für das Zeitalter des Aristeas angegebenen Datum nicht übereinstimmt, da, wenn die Zahl 340 richtig ist, der Dichter viel älter sein muss, als wir es bestimmt haben. — *συμβαλλόμενος:* d u r c h V e r g l e i c h u n g d e s s e n, w a s i n P. u. M. e r z ä h l t w i r d. So *συμβάλλεσθαι* noch VII, 24. 184. VIII, 30, und das Activ IV, 42. 50. 53. Vgl. I, 68. — *φάναι γάρ:* d e n n e r (Aristeas) h ä t t e g e s a g t. — *Ἰταλιωτέων:* Ammon. p. 77: *Ἰταλοὶ καὶ Ἰταλιῶται διαφέρουσιν· Ἰταλοὶ μὲν γάρ, οἱ ἀρχῆθεν τὴν χώραν οἰκοῦντες. Ἰταλιῶται δέ, ὁπόσοι τῶν Ἑλλήνων*

ὁ νῦν ἐὼν Ἀριστέης· τότε δέ, ὅτε εἵπετο τῷ θεῷ, εἶναι κόραξ. καὶ τὸν μὲν εἴπαντα ταῦτα ἀφανισθῆναι, σφέας δὲ Μεταποντῖνοι λέγουσι ἐς Δελφοὺς πέμψαντας τὸν θεὸν ἐπειρωτᾶν ὅ τι τὸ φάσμα τοῦ ἀνθρώπου εἴη. τὴν δὲ Πυθίην σφέας κελεύειν πείθεσθαι τῷ φάσματι, πειθομένοισι δὲ ἄμεινον συνοίσεσθαι. καὶ σφέας δεξαμένους ταῦτα ποιῆσαι ἐπιτελέα. καὶ νῦν ἕστηκε ἀνδριὰς ἐπωνυμίην ἔχων Ἀριστέω παρ' αὐτῷ τὠγάλματι τοῦ Ἀπόλλωνος, πέριξ δὲ αὐτὸν δάφναι ἑστᾶσι· τὸ δὲ ἄγαλμα ἐν τῇ ἀγορῇ ἵδρυται. Ἀριστέω μέν νυν πέρι τοσαῦτα εἰρήσθω.

Τῆς δὲ γῆς τῆς πέρι ὅδε ὁ λόγος ὥρμηται λέγεσθαι, οὐ- 16
δεὶς οἶδε ἀτρεκέως ὅ τι τὸ κατύπερθε ἐστί· οὐδενὸς γὰρ δὴ αὐτόπτεω εἰδέναι φαμένου δύναμαι πυθέσθαι· οὐδὲ γὰρ οὐδὲ Ἀριστέης, τοῦ περ ὀλίγῳ πρότερον τούτων μνήμην ἐποιεύμην, οὐδὲ οὗτος προσωτέρω Ἰσσηδόνων ἐν αὐτοῖσι τοῖσι ἔπεσι ποιέων ἔφησε ἀπικέσθαι, ἀλλὰ τὰ κατύπερθε ἔλεγε ἀκοῇ, φὰς Ἰσσηδόνας εἶναι τοὺς ταῦτα λέγοντας. ἀλλ' ὅσον μὲν ἡμεῖς ἀτρεκέως ἐπὶ μακρότατον οἷοί τ' ἐγενόμεθα ἀκοῇ ἐξικέσθαι, πᾶν εἰρήσεται.

Ἀπὸ τοῦ Βορυσθενεϊτέων ἐμπορίου (τοῦτο γὰρ τῶν 17

ἐπῴκησαν μετὰ ταῦτα. — αὐτός οἱ ἕπεσθαι: anacoluthisch, als ob nicht φάναι sondern ἔφη voranstünde. — κόραξ: Aehnliches kommt IV, 95 über den Zalmoxis vor. — καὶ τόν: zu I, 86. — ἄμεινον συνοίσεσθαι: zu II, 111. Ueber den Comparativ: zu II, 46. — πέριξ δὲ αὐτόν: mit dem Accusativ I, 99. 196. II, 29. III, 158. IV, 36. 52. 79. 152. 180. Mit dem Genitiv nur I, 179. II, 91. Ohne Casus III, 155. V, 87. 115. VII, 41.

C. 16. τῆς δὲ γῆς: der Genitiv hängt von τὸ κατύπερθε ab. — οὐδενὸς γὰρ δὴ . . . πυθέσθαι: gerade dieselbe Redeweise III, 115, womit II, 29 zu vergleichen. — οὐδὲ γὰρ οὐδέ: nach homerischer Weise verstärkte Negation; noch V, 98 u. VI, 72; selten in der Prosa, einmal bei Xenoph. Cyrop. 7, 2, 20, und bei Arrian I, 12, 5 u. 5, 24, 6. — Ἰσσηδόνων = ἢ πρὸς τοὺς Ἰσσηδόνας. Zu I, 133. — ἐν αὐτοῖσι τοῖσι ἔπεσι: nämlich in seinem Gedicht Ἀριμάσπεα, vgl. C. 13. — ποιέων: zu III, 38. — ὅσον μὲν . . . ἐξικέσθαι: zu I, 171. Das μέν hinter ὅσον, welchem kein nachfolgendes δέ entspricht, implicirt folgenden gedachten Gegensatz: wie viel oder wie wenig es auch sein möge, was ich ἀτρεκέως erfuhr, "mehr aber nicht."

C. 17. ἐμπορίου: dieser Handelshafen ist vermuthlich da zu suchen, wo der Borysthenes und der Hypanis (Bug) ihre Gewässer vereinigen, also die Stadt Olbia; vgl.

παραθαλασσίων μεσαίτατόν ἐστι πάσης τῆς Σκυθικῆς), ἀπὸ τούτου πρῶτοι Καλλιπίδαι νέμονται ἐόντες Ἕλληνες Σκύθαι, ὑπὲρ δὲ τούτων ἄλλο ἔθνος οἳ Ἀλαζῶνες καλέονται. οὗτοι δὲ καὶ οἱ Καλλιπίδαι τὰ μὲν ἄλλα κατὰ ταὐτὰ Σκύθῃσι ἐπασκέουσι, σῖτον δὲ καὶ σπείρουσι καὶ σιτέονται, καὶ κρόμμυα καὶ σκόροδα καὶ φακοὺς καὶ κέγχρους. ὑπὲρ δὲ Ἀλαζώνων οἰκέουσι Σκύθαι ἀροτῆρες, οἳ οὐκ ἐπὶ σιτήσι σπείρουσι τὸν σῖτον ἀλλ' ἐπὶ πρήσι. τουτέων δὲ κατύπερθε οἰκέουσι Νευροί. Νευρῶν δὲ τὸ πρὸς βορῆν ἄνεμον ἔρημος ἀνθρώπων, ὅσον ἡμεῖς ἴδμεν. ταῦτα μὲν παρὰ τὸν Ὕπανιν ποταμόν ἐστι ἔθνεα πρὸς ἑσπέρης τοῦ Βορυ-
18 σθένεος· ἀτὰρ διαβάντι τὸν Βορυσθένεα ἀπὸ θαλάσσης πρῶτον μὲν ἡ Ὑλαίη, ἀπὸ δὲ ταύτης ἄνθρωποι οἰκέουσι Σκύθαι γεωργοί, τοὺς Ἕλληνες οἱ οἰκέοντες ἐπὶ τῷ Ὑπάνι ποταμῷ καλέουσι Βορυσθενεΐτας, σφέας δὲ αὐτοὺς Ὀλβιοπολίτας. οὗτοι ὦν οἱ γεωργοὶ Σκύθαι νέμονται τὸ μὲν πρὸς τὴν ἠῶ ἐπὶ τρεῖς ἡμέρας ὁδοῦ, κατήκοντες ἐπὶ ποταμὸν τῷ οὔνομα κεῖται Παντικάπης, τὸ δὲ πρὸς βορῆν ἄνε-

IV, 78. — *ἀπὸ τούτου*: pleonastisch wie II, 13. — *Καλλιπίδαι*: nach Heeren I, 2 S. 271 wohnten sie oberhalb der Stadt Olbia. — *Ἕλληνες Σκύθαι*: ein aus Griechen u. Skythen gemischtes Volk. — *ὑπὲρ δὲ τούτων*: n ö r d l i c h, weiter ins Land hinein. — *Ἀλαζῶνες*: nach Heeren ebendaselbst zu suchen, wo der Dnieper und der Bug sich einander am meisten nähern (*συνάγουσι τὰ τέρματα* IV, 52). — *κέγχρους*: zu II, 93. — *ἐπὶ πρήσι*: zu I, 41. Dieser Zusatz führt Heeren darauf die ackerbautreibenden Skythen namentlich in die Ukraine zu setzen, die damals, so wie gegenwärtig, ein reiches Kornland war; die grosse Niederlage des Getreides war in der Stadt Olbia. — *Νευροί*: nach Heeren S. 276 wohnten sie in dem inneren Polen und Litthauen, und zogen sich von den Karpaten und dem See, aus dem der Dniester entspringt (vgl. IV, 51), nördlich bis zum Dnieper hin. — *Νευρῶν δὲ τὸ πρὸς βορῆν ἄνεμον*: variirter Ausdruck für *ὑπὲρ δὲ Νευρῶν*. Der Genitiv *Νευρῶν* hängt ab von *τὸ πρὸς β. ἄ.*, wie IV, 185 *τὸ πρὸς νότον καὶ μεσόγαιαν τῆς Λιβύης*. — *ἔρημος ἀνθρώπων*: nämlich *χώρη ἐστί*.

C. 18. *διαβάντι*: zu I, 14. — *Ὑλαίη*: zu IV, 9. — *σφέας δὲ αὐτοὺς Ὀλβ.*: kann, denke ich, nur heissen: w ä h r e n d s i e (d. h. die am Hypanis wohnenden Hellenen) s i c h s e l b s t O l b i o p o l i t e n n e n n e n; ganz anders als L a n g e übersetzt. — *κατήκοντες*: zu I, 148. — *Παντικάπης*: Heeren S. 274 hält ihn für einen der südlicheren Flüsse, die in den Dnieper fallen, entweder die Sula oder den Psol. — *ἕνδεκα*: dafür steht IV,

μον πλόον ἀνὰ τὸν Βορυσθένεα ἡμερέων ἕνδεκα. ἤδη δὲ
κατύπερθε τούτων ἐρῆμός ἐστι ἐπὶ πολλόν. μετὰ δὲ τὴν
ἐρῆμον Ἀνδροφάγοι οἰκέουσι, ἔθνος ἐὸν ἴδιον καὶ οὐδαμῶς
Σκυθικόν. τὸ δὲ τούτων κατύπερθε ἐρῆμος ἤδη ἀληθέως
καὶ ἔθνος ἀνθρώπων οὐδέν, ὅσον ἡμεῖς ἴδμεν. τὰ δὲ πρὸς 19
ἠῶ τῶν γεωργῶν τούτων Σκυθέων, διαβάντι τὸν Παντικά-
πην ποταμόν, νομάδες ἤδη Σκύθαι νέμονται, οὔτ' ἔτι σπεί-
ροντες οὐδὲν οὔτε ἀροῦντες· ψιλὴ δὲ δενδρέων ἡ πᾶσα
αὕτη γῆ πλὴν τῆς Ὑλαίης. οἱ δὲ νομάδες οὗτοι τὸ πρὸς
τὴν ἠῶ ἡμερέων τεσσέρων καὶ δέκα ὁδὸν νέμονται χώρην
κατατείνουσαν ἐπὶ ποταμὸν Γέρρον. πέρην δὲ τοῦ Γέρρου 20
ταῦτα δὴ τὰ καλεύμενα βασιλήιά ἐστι καὶ Σκύθαι οἱ ἄρι-
στοί τε καὶ πλεῖστοι καὶ τοὺς ἄλλους νομίζοντες Σκύθας
δούλους σφετέρους εἶναι· κατήκουσι δὲ οὗτοι τὸ μὲν πρὸς
μεσαμβρίην ἐς τὴν Ταυρικήν, τὸ δὲ πρὸς ἠῶ ἐπί τε τάφρον
τὴν δὴ οἱ ἐκ τῶν τυφλῶν γενόμενοι ὤρυξαν, καὶ ἐπὶ τῆς
λίμνης τῆς Μαιήτιδος τὸ ἐμπόριον τὸ καλέεται Κρημνοί·

53 *δέκα.* — *Ἀνδροφάγοι:* Heeren S. 271: "Die Androphagen und die Melanchläpen (vgl. IV, 107) umgaben die Nordgränze des Skythenlandes. Das erste dieser Völker fällt in das Gouvernement Smolensk, das andere in die Nähe von Moskau. Die Namen dieser Völkerschaften, welche ihnen nur von den Griechen gegeben waren, waren offenbar nicht Namen der Stämme, sondern vielmehr von ihren Sitten und Kleidungen hergenommen. H. bemerkt ausdrücklich, dass sie nicht von skythischem Stamme waren; ihren wahren Namen erfahren wir erst später, sie hiessen Bastarner. Diese Bastarner sind aber ein Zweig des grossen germanischen Stamms, der wahrscheinlich einst selber die skythischen Länder besetzt hatte und von andern Völkern vorwärts gedrängt ward. So bleibt also H. auch das Verdienst, der erste zu sein, der unserer Vorfahren erwähnt, als sie noch in Thierfelle sich kleideten, und Menschenfleisch assen."

C. 19. *διαβάντι*: zu I, 14. — *Ὑλαίης*: zu IV, 9. — *ἡμερέων τεσσέρων καὶ δέκα ὁδόν*: "Die Nomaden haben das Gebiet gegen Morgen inne, einen Weg von 14 Tagen bis zum Gerrhos; hierin liegt ein offenbarer Fehler; vom Borysthenes bis zur Maietis rechnet H. 10 Tagereisen oder 2000 Stadien (IV, 101), und diesen Nomaden allein räumt er 14 Tagereisen ein; die 14 ist entweder geradezu in 4 zu verwandeln, wobei Alles ganz gut stimmt, oder man muss vielleicht statt *ἐπί* lesen *ἀνά*; sie wohnten 14 Tagereisen den Gerrhos entlang." Bobrik S. 93. — *ποταμὸν Γέρρον*: zu IV, 56.

C. 20. *βασιλήια*: das Gebiet der königlichen Skythen. — *κατήκουσι*: zu I, 148. — *ἐπί τε τάφρον*: erwähnt IV, 3. — *Κρημνοί*: (eigentlich die Klippen) wahrscheinlich zu suchen in dem heutigen Dorfe Stari-

τὰ δὲ αὐτῶν κατήκουσι ἐπὶ ποταμὸν Τάναϊν. τὰ δὲ κατύπερθε πρὸς βορῆν ἄνεμον τῶν βασιληίων Σκυθέων οἰκέουσι Μελάγχλαινοι, ἄλλο ἔθνος καὶ οὐ Σκυθικόν. Μελαγχλαίνων δὲ τὸ κατύπερθε λίμναι καὶ ἐρῆμος ἔστι ἀνθρώπων, κατ᾽ ὅσον ἡμεῖς ἴδμεν.

21 Τάναϊν δὲ ποταμὸν διαβάντι οὐκέτι Σκυθική, ἀλλ᾽ ἡ
μὲν πρώτη τῶν λαξίων Σαυροματέων ἐστί, οἳ ἐκ τοῦ μυχοῦ
ἀρξάμενοι τῆς Μαιήτιδος λίμνης νέμονται τὸ πρὸς βορέην
ἄνεμον, ἡμερέων πεντεκαίδεκα ὁδόν, πᾶσαν ἐοῦσαν ψιλὴν
καὶ ἀγρίων καὶ ἡμέρων δενδρέων· ὑπεροικέουσι δὲ τουτέων
δευτέρην λάξιν ἔχοντες Βουδῖνοι, γῆν νεμόμενοι πᾶσαν δα-
22 σέαν ὕλῃ παντοίῃ. Βουδίνων δὲ κατύπερθε πρὸς βορῆν
ἐστὶ πρώτη μὲν ἐρῆμος ἐπ᾽ ἡμερέων ἑπτὰ ὁδόν, μετὰ δὲ

Krim, unweit der Stadt Mariupol. — *τὰ δὲ αὐτῶν κατήκουσι*: eig.: in Bezug auf ein anderes Stück von ihnen, d. h. was ihnen gehört, oder: mit einem andern Theile ihres Landes erstrecken sie sich an den Tanais: *τὰ δὲ αὐτῶν* entspricht dem vorangehenden *τὸ μὲν πρὸς μεσημβρίην . . . τὸ δὲ πρὸς ἠῶ*, und H. hat *τὰ δὲ αὐτῶν* gesetzt, wie wenn es auch vorher geheissen hätte *τὰ μὲν αὐτῶν*: in Ansehung eines Theils ihres Landes erstrecken sie sich bis zur Taurike, in Ansehung eines andern Theiles (*τὰ δὲ αὐτῶν*) dahin und dahin. — *Μελάγχλαινοι*: zu IV, 18.

C. 21. *διαβάντι*: zu I, 14. — *λαξίων*: Gloss. Her. *λάξιν· μερισμόν, κλῆρον* (vgl. zu I, 76), also *portio terrae*, *regio*, Landschaft. — *Σαυροματέων*: nach Heeren S. 278 der Stamm der Sarmaten; sie hatten die Steppe inne, wo jetzt die Donischen Kosacken wohnen, vielleicht auch noch einen Theil der Steppe von Astrakan; sie zogen sich bis in die Gegend hinauf, wo der Don und die Wolga sich einander nähern. — *μυχοῦ*: zu II, 11. — *Βουδῖνοι*: Heeren S. 279: "Die Wohnsitze der Budinen fangen da an, wo die der Sarmaten endigen, und wo die Steppe aufhört und die Wälder anfangen, d. i. in dem Gouvernement Saratow. Wie weit sie aber nach Norden oder nach Osten sich hinaufzogen", sagt uns H. nicht; sie müssen gleichwohl einen weiten Umfang gehabt haben, da er das Volk ein grosses und mächtiges Volk nennt (vgl. IV, 108 u. 109). Setzen wir ihn auch nur dem der Sarmaten gleich, so waren ihre Sitze in den jetzigen Gouvernements von Pensa, Simbirsk, Kasan bis nach Perm hin, und bis in die Nähe des südlichen Ural. Es ist bekannt, dass diese Provinzen noch gegenwärtig voll von Eichenwäldern sind, den grossen Magazinen für den russischen Schiffbau; und die Angabe von H., dass die Budinen in dichten Wäldern wohnen, die damals noch nicht so wie gegenwärtig gelichtet waren, passt vollkommen. Den See, den H. erwähnt, sucht man vergebens; er beschreibt ihn aber selbst mehr als einen Morast; und dass die morastigen Gegenden hier ihren An-

τὴν ἐρῆμον ἀποκλίνοντι μᾶλλον πρὸς ἀπηλιώτην ἄνεμον νέμονται Θυσσαγέται, ἔθνος πολλὸν καὶ ἴδιον· ζώουσι δὲ ἀπὸ θήρης. συνεχέες δὲ τούτοισι ἐν τοῖσι αὐτοῖσι τόποισι κατοικημένοι εἰσὶ τοῖσι οὔνομα κεῖται Ἰύρκαι, καὶ οὗτοι ἀπὸ θήρης ζώοντες τρόπῳ τοιῷδε. λοχᾷ ἐπὶ δένδρεον ἀναβάς, τὰ δέ ἐστι πυκνὰ ἀνὰ πᾶσαν τὴν χώρην· ἵππος δὲ ἑκάστῳ δεδιδαγμένος ἐπὶ γαστέρα κεῖσθαι ταπεινότητος εἵνεκα ἑτοῖμός ἐστι καὶ κύων· ἐπεὰν δὲ ἀπίδῃ τὸ θηρίον ἀπὸ τοῦ δενδρέου, τοξεύσας καὶ ἐπιβὰς ἐπὶ τὸν ἵππον διώκει, καὶ ὁ κύων ἔχεται. ὑπὲρ δὲ τούτων τὸ πρὸς τὴν ἠῶ ἀποκλίνοντι οἰκέουσι Σκύθαι ἄλλοι, ἀπὸ τῶν βασιληίων Σκυθέων ἀποστάντες καὶ οὕτω ἀπικόμενοι ἐς τοῦτον τὸν χῶρον.

Μέχρι μὲν δὴ τῆς τούτων τῶν Σκυθέων χώρης ἐστὶ ἡ 23

fang nehmen, die dann in gewissen Jahreszeiten das Land zum See machen, ist bekannt."

C. 22. ἀποκλίνοντι: zu I, 14. — Θυσσαγέται: Heeren S. 280: "Die nördlichen Gränzen der Budinen gehen nach dem Obigen bis gegen 54° d. B. hinauf; und die siebentägige Wüste dazu gerechnet, oder 35 Meilen, führt uns bis in das Gouvernement Wiatka, gegen 56° d. B. Hier sollen wir uns gegen Osten (πρὸς ἀπηλιώτην ἄνεμον) wenden, um in das Land der Thyssageten und Iyrken zu kommen. Offenbar also gelangen wir in das grosse Gouvernement von Perm und nähern uns dem Ural. Die Th. heissen wieder bei ihm ein grosses und ausgebreitetes Volk; sie werden also die Stadthalterschaft Perm wohl ausgefüllt haben, und gingen vielleicht nördlich noch darüber hinaus." — Ἰύρκαι: ebend. "Aber neben ihnen in demselben Lande wohnen die Iyrken. Nach der Ordnung, in der H. geht, müssen sie aber doch den östlichen Theil des Landes inne gehabt haben, und erstreckten sich gewiss bis zum Ural und vielleicht noch in denselben hinein." S. 306: "Das Land, welches unter dem Namen Iugrien sonst im nordwestlichen Russland gesucht wurde, ist kein anderes, als dasjenige, welches H. den Iyrken als Wohnsitze anweist, indem es die Gegenden zu beiden Seiten des Urals, die Stadthalterschaft Perm und den westlichen Theil von Tobolsk bis zum Oby umfasste. Die Bewohner desselben aber, die Iugrier, sind dieselben, die jetzt unter dem Namen der Wogulen und der Ostiaken am Ob begriffen werden." — ἀπὸ θήρης: nämlich Behufs des Pelzhandels; vgl. C. 23. — λοχᾷ: zu II, 38. — ταπεινότητος εἵνεκα: um niedriger zu sein. — ἀπίδῃ: hier schwebt noch dasselbe Subject wie zu λοχᾷ vor. — ἔχεται: nämlich τοῦ διώκοντος, zu I, 134. — ἀποστάντες: Heeren S. 302: "Die Auswanderung scheint freiwillig gewesen zu sein und konnte wohl keinen andern Zweck haben als eine Niederlassung an der grossen Handelsstrasse zu stiften."

C. 23. τούτων τῶν Σκυθέων: nämlich, dieser Colonie skythischer

καταλεχθεῖσα πᾶσα πεδιάς τε γῆ καὶ βαθύγαιος, τὸ δ' ἀπὸ τούτου λιθώδης τ' ἐστὶ καὶ τρηχέα. διεξελθόντι δὲ καὶ τῆς τρηχέης χῶρον πολλὸν οἰκέουσι ὑπώρεαν οὐρέων ὑψηλῶν ἄνθρωποι λεγόμενοι εἶναι πάντες φαλακροὶ ἐκ γενεῆς γινόμενοι, καὶ ἔρσενες καὶ θήλεαι ὁμοίως, καὶ σιμοὶ καὶ γένεια ἔχοντες μεγάλα, φωνὴν δὲ ἰδίην ἱέντες, ἐσθῆτι δὲ χρεώμενοι Σκυθικῇ, ζώοντες δὲ ἀπὸ δενδρέων. ποντικὸν μὲν οὔνομα τῷ δενδρέῳ ἀπ' οὗ ζώουσι, μέγαθος δὲ κατὰ συκέην μάλιστά κῃ· καρπὸν δὲ φορέει κυάμῳ ἴσον, πυρῆνα δὲ ἔχει. τοῦτο ἐπεὰν γένηται πέπον, σακκέουσι ἱματίοισι, ἀπορρέει δ' ἀπ' αὐτοῦ παχὺ καὶ μέλαν· οὔνομα δὲ τῷ ἀπορρέοντί ἐστι ἄσχυ· τοῦτο καὶ λείχουσι καὶ γάλακτι συμμίσγοντες πίνουσι, καὶ ἀπὸ τῆς παχύτητος αὐτοῦ τῆς τρυγὸς παλάθας συντιθέασι, καὶ ταύτας σιτέονται. πρόβατα γάρ σφι οὐ πολλά ἐστι· οὐ γάρ τι σπουδαῖαι νομαὶ αὐτόθι

Emigranten. Heeren S. 281: "Die bis jetzt erwähnten Völkerschaften müssen sämmtlich an der Westseite des Uralgebirgs gesucht werden; aber sie reichen auch bis an seinen Fuss oder selbst noch in dasselbe hinein. Wir stehen also an den Gränzen Sibiriens." — *λιθώδης*: ebend. S. 282: "Das steinigte Gebirgsland ist der Ural, dessen Kette an der Nordseite des caspischen Meeres anfängt und sich bis zum Eismeer hinauf zieht." — *διεξελθόντι*: zu I, 14. — *ὑπώρεαν*: zu I, 110. — *φαλακροί*: merkwürdig ähnlich Plinius H. N. 6, 14: .... *ibique Arimphaeos quosdam accepimus, haud dissimilem Hyperboreis gentem. Sedes illis nemora, alimenta baccae, capillus iuxta feminis virisque in probro existimatur, ritus clementes. Itaque sacros haberi narrant inviolatosque esse etiam feris accolarum populis; nec ipsos modo, sed illos quoque, qui ad eos profugerint.* — *καὶ σιμοὶ καὶ γένεια ἔχοντες μεγάλα*: sie haben eingedrückte Nasen und grosse Kinnbacken. Heeren S. 282: "Was dies für ein Volk sei, kann nach den physiologischen Angaben des Schriftstellers wohl gar keinen Zweifel leiden. Wer erkennt in ihnen nicht sogleich die Calmücken, den einen Hauptzweig des mongolischen Völkerstammes?" — *ἱέντες*: zu I, 57. — *Ποντικόν*: nach Heeren S. 283 der Vogelkirschbaum (*Prunus Padus. Linn.*). "Die Calmücken kochen die schwarzen Beeren in Milch, lassen sie durch ein Sieb, und kochen das Durchgelassene zu einer festen Masse. Ein kleines Stück davon, in Wasser aufgelöst, giebt eine nahrhafte Suppe." — *κατὰ σ.*: zu I, 98. — *τοῦτο*: ist *κατὰ σύνεσιν* auf *καρπόν* zu beziehen. — *ἱματίοισι*: in einem Sack von Zeug. Lange. — *ἀπὸ τῆς παχύτητος αὐτοῦ τῆς τρυγός*: ex faecum eius crassitudine. — *παλάθας*: Gloss. Her. *παλάθας· λέγεται καὶ ἐκ τρυγὸς πλάσματα· κυρίως δὲ ἡ τῶν σύκων ἐπάλληλος θέσις.* — *σπου-*

εἰσί. ὑπὸ δενδρέῳ δὲ ἕκαστος κατοίκηται, τὸν μὲν χειμῶνα ἐπεὰν τὸ δένδρεον περικαλύψῃ πίλῳ στεγνῷ λευκῷ, τὸ δὲ θέρος ἄνευ πίλου. τούτους οὐδεὶς ἀδικέει ἀνθρώπων· ἱροὶ γὰρ λέγονται εἶναι· οὐδέ τι ἀρήιον ὅπλον ἐκτέαται. καὶ τοῦτο μὲν τοῖσι περιοικέουσι οὗτοί εἰσι οἱ τὰς διαφορὰς διαιρέοντες, τοῦτο δέ, ὃς ἂν φεύγων καταφύγῃ ἐς τούτους, ὑπ' οὐδενὸς ἀδικέεται. οὔνομα δέ σφι ἐστι Ἀργιππαῖοι.

24 Μέχρι μέν νυν τῶν φαλακρῶν τουτέων πολλὴ περιφάνεια τῆς χώρης ἐστὶ καὶ τῶν ἔμπροσθε ἐθνέων· καὶ γὰρ Σκυθέων τινὲς ἀπικνέονται ἐς αὐτούς, τῶν οὐ χαλεπόν ἐστι πυθέσθαι καὶ Ἑλλήνων τῶν ἐκ Βορυσθένεός τε ἐμπορίου καὶ τῶν ἄλλων Ποντικῶν ἐμπορίων. Σκυθέων δὲ οἳ ἂν ἔλθωσι ἐς αὐτούς, δι' ἑπτὰ ἑρμηνέων καὶ δι' ἑπτὰ γλωσσέων

θαῖαι: tauglich; zu I, 8. — *πίλῳ*: Heeren S. 283: "Ihre Gezelte waren damals so wie jetzt von weissem Filz. Sie hatten aber noch die künstlichen Gestelle nicht, die sie gegenwärtig haben; sondern sie breiteten sie im Winter über einen Baum (ein Misverstand, weil die Gestelle die Baumform haben. Es giebt in der Steppe bekanntlich keine Bäume); im Sommer aber lebten sie ohne dieselben unter freiem Himmel." Und S. 299: "Als Calmücken oder Mongolen erscheinen sie schon durch ihre aus Filzen bereiteten Gezelte; während die Skythen, die ihre Wohnung auf ihren Wagen oder Karren (*ἐπὶ ζευγέων* IV, 46) hatten, dadurch ihre tartarische Herkunft verrathen." — *ἱροὶ γὰρ λέγονται εἶναι*: Heeren S. 312: "Sie scheinen bei den Mongolen das gewesen zu sein, was bei andern Völkern die Priesterkaste ist. Auch die obige Nachricht, dass sie völlig kahl seien, erhält alsdann eine neue Bestätigung; denn auch noch jetzt sind die Lamas oder Priester bei den Calmücken gänzlich kahl." — *διαιρέοντες*: zu II, 6. — *ὑπ' οὐδενὸς ἀδικέεται*: ihr Land war also ein Asyl, die natürliche Freistatt für den Handel.

C. 24. *τῶν φαλακρῶν*: Heeren S. 299: "Die Sitze der Argippäer lassen sich nur in so weit bestimmen, dass sie in der westlichen Hälfte der grossen Mongolei, wahrscheinlich in dem jetzigen Kirgisen-Lande zu suchen sind. Aber auch so konnten ihre Sitze einen grossen Umfang haben, und sich sehr wohl bis zu dem Iaxartes in Süden ausdehnen, wo sie an die Völker der grossen Tartarei und Bucharei stiessen. — *Ἑλλήνων*: parallel mit dem vorangehenden *Σκυθέων*. — *ἐκ Βορ. ἐμπορίου*: zu IV, 17. — *τῶν ἄλλων Ποντικῶν ἐμπορίων*: Dioskurias an der Mündung des Phasis, Sinope, Heraclea, Amisus, und am Azowschen Meere Pantikapäum, Phanagoria und Tanais. — *δι' ἑπτὰ ἑρμηνέων*: Heeren S. 302: "Durch sieben andersredende Völkerschaften zogen sie und bedurften daher eben so vieler Dolmetscher sich verständlich zu machen. Diese Völkerschaften können keine anderen sein als die H. selber beschrieben hat: die Taurier, die Sarmaten, die Budinen und Gelo-

διαπρήσσονται. 25 μέχρι μὲν δὴ τουτέων γινώσκεται· τὸ δὲ τῶν φαλακρῶν κατύπερθε οὐδεὶς ἀτρεκέως οἶδε φράσαι· οὔρεα γὰρ ὑψηλὰ ἀποτάμνει ἄβατα, καὶ οὐδείς σφεα ὑπερβαίνει. οἱ δὲ φαλακροὶ οὗτοι λέγουσι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, οἰκέειν τὰ οὔρεα αἰγίποδας ἄνδρας, ὑπερβάντι δὲ τούτους ἄλλους ἀνθρώπους οἳ τὴν ἑξάμηνον καθεύδουσι. τοῦτο δὲ οὐκ ἐνδέκομαι ἀρχήν. ἀλλὰ τὸ μὲν πρὸς ἠῶ τῶν φαλακρῶν γινώσκεται ἀτρεκέως ὑπ' Ἰσσηδόνων οἰκεόμενον, τὸ μέντοι κατύπερθε πρὸς βορῆν ἄνεμον οὐ γινώσκεται,

nen, die Thyssageten, die Iyrken, und endlich die Argippäer." S. 299: "Dieser merkwürdige Bericht enthält offenbar die Beschreibung eines Caravanenhandels, der über das Uralgebirge nördlich um das caspische Meer bis in das Innere der grossen Mongolei getrieben wurde." S. 304: "Es war die älteste Strasse des Pelzhandels." S. 309: "H. sagt zwar bestimmt, dass die Züge der Skythen nicht weiter als bis zu den Argippäern gingen; aber aus seiner Erzählung geht auch klar hervor, dass die Sitze der Argippäer deshalb keineswegs die Gränzen dieses Handels waren. Es ist nämlich mehr als wahrscheinlich, dass die Wohnsitze jener Völker blos die Plätze waren, wo die Caravanen des Osten und des Westen zusammenstiessen, und wo der Austausch ihrer Waaren geschah. Denn wie wichtig auch der Pelzhandel sein mochte, so war er es doch gewiss nicht allein, um desseptwillen die Griechen in diese fernen Länder kamen. Dass bei diesen Hirtenvölkern auch der natürliche Markt zum Einkauf der Lastthiere war, bedarf keines Beweises; aber auch nicht weniger der Metalle, der edlen wie der unedlen. Das Erz fand sich bei ihnen nach H. in grosser Menge. Aber die einen wie die andern jener Völker waren auch äusserst goldreiche Völker. Es mag also das Gold der Hauptgegenstand dieses Handels gewesen oder auch die Erzeugnisse Indiens, wie in späteren Zeiten geschah, zugleich hier eingetauscht worden sein."

C. 25. *οὔρεα γὰρ ὑψηλά*: Heeren S. 284: "Die Kette jener unersteiglichen Gebirge ist offenbar keine andere als die Kette des Altai, die das südliche Sibirien begränzt, und hier zum erstenmal, aber so wie der Ural noch ohne bestimmten Namen in der Geschichte erscheint." — *ἀποτάμνει*: *intr.* schneiden ab, kommen als Scheidewand. — *ἐμοὶ μέν*: zu I, 131. — *αἰγίποδας ἄνδρας*: Heeren S. 284: "Die fabelhafte Sage von den Menschen mit Ziegenfüssen gehört in die Classe der Legenden, welche man von den Bewohnern ferner Länder und namentlich auch von Sibirien zu hören pflegte." — *ὑπερβάντι*: zu I, 14. — *τὴν ἑξάμηνον*: nämlich *ὥρην*. Heeren ebend. "Aber in der Erzählung von den sechs Monate schlafenden Menschen erkennt jeder den Schimmer historischer Wahrheit. Die ununterbrochene Nacht, die nach Maassgabe der Breitengrade mehrere oder wenigere Monate nicht durch das Licht der Sonne, sondern nur durch Mond- und Nordschein aufgehellt, jene Nordländer bedeckt, ist gegenwärtig keine Fabel mehr." — *τὴν ἀρχήν*: zu II, 95. — *Ἰσσηδόνων*:

οὔτε τῶν φαλακρῶν οὔτε τῶν Ἰσσηδόνων, εἰ μὴ ὅσα αὐτέων τουτέων λεγόντων. νόμοισι δὲ Ἰσσηδόνες τοιοισίδε λέγονται χρᾶσθαι. ἐπεὰν ἀνδρὶ ἀποθάνῃ πατήρ, οἱ προσήκοντες πάν- 26 τες προσάγουσι πρόβατα, καὶ ἔπειτα ταῦτα θύσαντες καὶ καταταμόντες τὰ κρέα κατατάμνουσι καὶ τὸν τοῦ δεκομένου τεθνεῶτα γονέα, ἀναμίξαντες δὲ πάντα τὰ κρέα δαῖτα προτιθέαται. τὴν δὲ κεφαλὴν αὐτοῦ ψιλώσαντες καὶ ἐκκαθήραντες καταχρυσοῦσι καὶ ἔπειτα ἅτε ἀγάλματι χρέωνται, θυσίας μεγάλας ἐπετέους ἐπιτελέοντες. παῖς δὲ πατρὶ τοῦτο ποιέει, κατά περ οἱ Ἕλληνες τὰ γενέσια. ἄλλως δὲ δίκαιοι καὶ οὗτοι λέγονται εἶναι, ἰσοκρατέες δὲ ὁμοίως αἱ γυναῖκες τοῖσι ἀνδράσι. γινώσκονται μὲν δὴ καὶ οὗτοι, τὸ 27 δὲ ἀπὸ τουτέων τὸ κατύπερθε Ἰσσηδόνες εἰσὶ οἱ λέγοντες τοὺς μουνοφθάλμους ἀνθρώπους καὶ τοὺς χρυσοφύλακας γρῦπας εἶναι· παρὰ δὲ τούτεων Σκύθαι παραλαβόντες λέγουσι, παρὰ δὲ Σκυθέων ἡμεῖς οἱ ἄλλοι νενομίκαμεν, καὶ

Heeren S. 286: "Wenn gleich H. uns über die Wohnsitze dieses Volks keine bestimmte Nachricht geben kann, so kann darüber im Ganzen kein Zweifel sein. Sie wohnten in dem Inneren der grossen Mongolei, den jetzigen Sitzen der Sungaren, bis nach dem alten Serika hin, dessen Einwohner nur ein Zweig von ihnen gewesen zu sein scheinen." Vgl. I, 201. — *οὔτε τῶν φαλακρῶν οὔτε τῶν Ἰσσηδόνων*: die Genitive hängen von *τὸ κατύπερθε πρὸς βορῆν ἄνεμον* ab. — *ὅσα*: nämlich *γινώσκεται*.

C. 26. *τοῦ δεκομένου*: des Wirthes; in demselben Sinne *δέκεσθαι* I, 126. Aehnliches erzählt H. III, 99 von einem indischen Volke, den Padäern. — *ἅτε ἀγάλματι*: als Götzenbild. — *τὰ γενέσια*: das Fest der *γενέται*, zum Andenken an die *γενέται*, was also ebenso gut ihr Todestag wie ihr Geburtstag sein kann. Dagegen Ammon. p. 35 *Γενέθλια τάσσεται ἐπὶ τῶν ζώντων, καὶ ἐν ᾗ ἕκαστος ἡμέρᾳ ἐγεννήθη· Γενέσια δὲ ἐπὶ τῶν τεθνηκότων, ἐν ᾗ ἕκαστος ἡμέρᾳ τετελεύτηκε.*

C. 27. *χρυσοφύλακας γρῦπας*: Heeren I, 1 S. 239: "Die Dichtung von dem Greif hat sich über ganz Asien nicht nur, sondern auch bereits im Alterthum über Europa verbreitet. Er gehört in den baktrisch-indischen Gebirgen und der daranstossenden goldreichen Sandwüste zu Hause." Ebendas. I, 2 S. 287: "So wie die Goldgebirge des östlichen Asiens sich nach Norden nicht weniger als nach Süden hinziehen, so hat sich auch diese Fabel bis dahin verbreitet. Wenn man aber die von H. ausdrücklich beigefügte Bestimmung hinzunimmt, dass diese Arimaspen und Greifen in dem Norden der Issedonen das Gold hüteten, so findet dadurch die Vermuthung, dass die Goldgruben des südlichen Sibiriens schon im hohen Alterthum nicht unbekannt

οὐνομάζομεν αὐτοὺς σκυθιστὶ Ἀριμασπούς· ἄριμα γὰρ ἓν καλέουσι Σκύθαι, σποῦ δὲ τὸν ὀφθαλμόν.

28 *Δυσχείμερος δὲ αὕτη ἡ καταλεχθεῖσα πᾶσα χώρη οὕτω δή τί ἐστι, ἔνθα τοὺς μὲν ὀκτὼ τῶν μηνῶν ἀφόρητος οἷος γίνεται κρυμός, ἐν τοῖσι ὕδωρ ἐκχέας πηλὸν οὐ ποιήσεις, πῦρ δὲ ἀνακαίων ποιήσεις πηλόν· ἡ δὲ θάλασσα πήγνυται καὶ ὁ Βόσπορος πᾶς ὁ Κιμμέριος, καὶ ἐπὶ τοῦ κρυστάλλου οἱ ἐντὸς τάφρου Σκύθαι κατοικημένοι στρατεύονται, καὶ τὰς ἁμάξας ἐπελαύνουσι πέρην ἐς τοὺς Σίνδους. οὕτω μὲν δὴ τοὺς ὀκτὼ μῆνας διατελέει χειμὼν ἐών, τοὺς δ' ἐπιλοίπους τέσσερας ψύχεα αὐτόθι ἐστί. κεχώρισται δὲ οὗτος ὁ χειμὼν τοὺς τρόπους πᾶσι τοῖσι ἐν ἄλλῃσι χώρῃσι γινομένοισι χειμῶσι, ἐν τῷ τὴν μὲν ὡραίην οὐκ ὕει λόγου ἄξιον οὐδέν, τὸ δὲ θέρος ὕων οὐκ ἀνίει· βρονταί τε ἦμος τῇ ἄλλῃ γίνονται, τηνικαῦτα μὲν οὐ γίνονται, θέρεος δὲ ἀμφιλαφέες· ἢν δὲ χειμῶνος βροντὴ γένηται, ὡς τέρας θωυμάζεται. ὣς δὲ καὶ ἢν σεισμὸς γένηται ἤν τε θέρεος ἤν τε χειμῶνος ἐν τῇ Σκυθικῇ, τέρας νενόμισται. ἵπποι δὲ ἀνεχόμενοι φέρουσι τὸν χειμῶνα τοῦτον, ἡμίονοι δὲ οὐδὲ ὄνοι ἀνέχονται ἀρχήν· τῇ δὲ ἄλλῃ ἵπποι μὲν ἐν κρυμῷ ἑστεῶτες ἀποσφα-*
29 *κελίζουσι, ὄνοι δὲ καὶ ἡμίονοι ἀνέχονται. δοκέει δέ μοι καὶ*
τὸ γένος τῶν βοῶν τὸ κόλον διὰ ταῦτα οὐ φύειν κέρεα αὐ-

gewesen sein, ihre Bestätigung." Vgl. noch III, 16.

C. 28. *δυσχείμερος*: Heeren S. 297: "Nach allen vorhandenen Nachrichten war das Klima in den Ländern zunächst um das schwarze Meer, und denen, die mit ihnen in gleichen Breitengraden liegen, um vieles kälter als gegenwärtig." Daher das Bedürfniss von Thierfellen und der oben erwähnte Pelzhandel. — *οὕτω δή τί ἐστι, ἔνθα*: zu III, 12. — *ἀφόρητος οἷος*: zu III, 113. — *ο Βόσπορος ὁ Κ.*: zu IV, 12. — *ἐντὸς τάφρου*: erwähnt IV, 3. — *Σινδούς*: Steph. Byz. p. 569: *Σινδοί, ἀπὸ μεσημβρίας τῆς Μαιώτιδος λίμνης.* Sie wohnten in dem östlich vom kimmerischen Bosporus gelegenen Landstrich, welcher IV, 86 *ἡ Σινδική* heisst. — *τοὺς τρόπους:* in seiner Art. — *κεχώρισται ... πᾶσι*: nur hier mit dem Dativ; sonst stets mit dem Genitiv I, 140. 172. II, 91. III, 20. V, 18. 61. VII, 46. — *τὴν ὡραίην* = *τὴν ὥρην* zur rechten, gewöhnlichen Zeit, also in unserer (der Griechen) Regenzeit. — *ὕων*: nämlich *ὁ θεός*, wie II, 13. III, 117 steht. — *ἀνίει*: zu I, 213. — *ἀμφιλαφέες*: zu III, 114. — *ἀνεχόμενοι φέρουσι*: pleonastisch für *ἀνέχονται.*

C. 29. *οὐ φύειν κέρεα:* auch Hippocrates (de aer. aq. et locc. p.

τόθι. μαρτυρέει δέ μοι τῇ γνώμῃ καὶ Ὁμήρου ἔπος ἐν Ὀδυσσείῃ ἔχον ὧδε,

καὶ Λιβύην, ὅθι τ᾽ ἄρνες ἄφαρ κεραοὶ τελέθουσι,

ὀρθῶς εἰρημένον, ἐν τοῖσι θερμοῖσι ταχὺ παραγίνεσθαι τὰ κέρεα· ἐν δὲ τοῖσι ἰσχυροῖσι ψύχεσι ἢ οὐ φύει κέρεα τὰ κτήνεα ἀρχήν, ἢ φύοντα φύει μόγις.

30 Ἐνθαῦτα μέν νυν διὰ τὰ ψύχεα γίνεται ταῦτα· θωυμάζω δέ (προσθήκας γὰρ δή μοι ὁ λόγος ἐξ ἀρχῆς ἐδίζητο) ὅτι ἐν τῇ Ἠλείῃ πάσῃ χώρῃ οὐ δυνέαται γίνεσθαι ἡμίονοι, οὔτε ψυχροῦ τοῦ χώρου ἐόντος οὔτε ἄλλου φανεροῦ αἰτίου οὐδενός. φασὶ δὲ αὐτοὶ Ἠλεῖοι ἐκ κατάρης τευ οὐ γίνεσθαι σφίσι ἡμιόνους. ἀλλ᾽ ἐπεὰν προσίῃ ἡ ὥρη κυΐσκεσθαι τὰς ἵππους, ἐξελαύνουσι ἐς τοὺς πλησιοχώρους αὐτάς, καὶ ἔπειτά σφι ἐν τῇ τῶν πέλας ἐπιεῖσι τοὺς ὄνους, ἐς οὗ ἂν σχῶσι αἱ ἵπποι ἐν γαστρί· ἔπειτα δὲ ὀπίσω ἀπελαύνουσι.

31 Περὶ δὲ τῶν πτερῶν τῶν Σκύθαι λέγουσι ἀνάπλεον εἶναι τὸν ἠέρα, καὶ τουτέων εἵνεκα οὐκ οἷά τε εἶναι οὔτε ἰδεῖν τὸ πρόσω τῆς ἠπείρου οὔτε διεξιέναι, τήνδε ἔχω περὶ αὐτέων γνώμην. τὰ κατύπερθε ταύτης τῆς χώρης αἰεὶ νίφεται, ἐλάσσονι δὲ τοῦ θέρεος ἢ τοῦ χειμῶνος, ὥσπερ καὶ οἰκός· ἤδη ὦν ὅστις ἀγχόθεν χιόνα ἁδρὴν πίπτουσαν εἶδε οἶδε τὸ λέγω· ἔοικε γὰρ ἡ χιὼν πτεροῖσι· καὶ διὰ τὸν χειμῶνα τοῦτον ἐόντα τοιοῦτον ἀνοίκητα τὰ πρὸς βορῆν ἐστὶ τῆς ἠπείρου ταύτης. τὰ ὦν πτερὰ εἰκάζοντας τὴν χιόνα τοὺς

291) sagt von den Rindern der Skythen: *οὐκ ἔχουσι κέρατα ὑπὸ ψύχεος*. — *ἐν Ὀδυσσείῃ*: nämlich 4, 85. — *ἄφαρ κεραοὶ τελ.*: sofort gehörnt werden, d. h. sofort Hörner bekommen. — *ἀρχήν*: zu II, 95.

C. 30. *προσθήκας*: eigentl. Zusatz, Vermehrung; daher Einschiebsel in eine Erzählung, Abschweifung von der Hauptsache. — *τῶν πέλας*: variirter Ausdruck statt *τῶν πλησιοχώρων*. — *ἐς οὗ ἄν*: zu III, 31. — *σχῶσι ... ἐν γαστρί*: zu III, 32. — *ὀπίσω ἀπελαύνουσι*: zu III, 16.

C. 31. *τῶν πτερῶν*: mit Bezug auf IV, 7. — *ταύτης τῆς χώρης*: das Land, was er im Anfang des C. 28 durch *αὕτη ἡ καταλεχθεῖσα πᾶσα χώρη* bezeichnet hat. — *ἐλάσσονι*: aus *νίφεται* ist *νιφετῷ* (= *χιόνι*) zu entnehmen, welches IV, 50. VIII, 98 vorkommt. Vgl. IV, 50. — *ἁδρήν*: zu I, 17. — *τὰ ὦν πτερὰ ... λέγειν*: construire *τὰ ὦν πτερὰ δοκέω τοὺς Σκύθας λέγειν τὴν χιόνα εἰκάζοντας*, nämlich *τὴν*

Σκύθας τε καὶ τοὺς περιοίκους δοκέω λέγειν. ταῦτα μέν νυν τὰ λέγεται μακρότατα, εἴρηται.

32 Ὑπερβορέων δὲ πέρι ἀνθρώπων οὔτε τι Σκύθαι λέγουσι οὔτε τινὲς ἄλλοι τῶν ταύτῃ οἰκημένων, εἰ μὴ ἄρα Ἰσσηδόνες. ὡς δ᾽ ἐγὼ δοκέω, οὐδ᾽ οὗτοι λέγουσι οὐδέν· ἔλεγον γὰρ ἂν καὶ Σκύθαι, ὡς περὶ τῶν μουνοφθάλμων λέγουσι. ἀλλ᾽ Ἡσιόδῳ μὲν ἔστι περὶ Ὑπερβορέων εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι, εἰ δὴ τῷ ἐόντι γε
33 Ὅμηρος ταῦτα τὰ ἔπεα ἐποίησε. πολλῷ δέ τι πλεῖστα περὶ αὐτέων Δήλιοι λέγουσι, φάμενοι ἱρὰ ἐνδεδεμένα ἐν καλάμῃ πυρῶν ἐξ Ὑπερβορέων φερόμενα ἀπικνέεσθαι ἐς Σκύθας, ἀπὸ δὲ Σκυθέων ἤδη δεκομένους αἰεὶ τοὺς πλησιοχώρους ἑκάστους κομίζειν αὐτὰ τὸ πρὸς ἑσπέρης ἑκαστάτω ἐπὶ τὸν Ἀδρίην, ἐνθεῦτεν δὲ πρὸς μεσαμβρίην προπεμπόμενα πρώτους Δωδωναίους Ἑλλήνων δέκεσθαι, ἀπὸ δὲ τουτέων καταβαίνειν ἐπὶ τὸν Μηλιέα κόλπον καὶ διαπορεύεσθαι ἐς Εὔβοιαν, πόλιν τε ἐς πόλιν πέμπειν μέχρι Καρύστου, τὸ δ᾽ ἀπὸ ταύτης ἐκλιπεῖν Ἄνδρον· Καρυστί-

χιόνα τοῖς πτεροῖς. — *μακρότατα*: gehört als Prädikat zu *τά*, aber mittelst der relativen Anknüpfung auch zu *ταῦτα*. Nach deutscher Weise aufgelöst, würde es heissen: *ταῦτα μέν νυν εἴρηται τὰ μακρότατα ἃ λέγεται*, oder *τῶν λεγομένων ταῦτα ἃ εἴρηται, τὰ μακρότατά ἐστιν*, oder *ταῦτα μέν νυν τὰ μακρότατά ἐστιν ἃ λέγεται*.

C. 32. *Ὑπερβορέων*: mit Bezug auf C. 13. K. O. Müller, Dorier I S. 273: "Die Hyperboreer wohnen über dem Boreas, damit das glückselige Volk der kalte Nordwind nicht treffe, so wie nach Homer das Haupt des Olympos, weil es über den Schneewolken sich erhebt, nie Schnee umstöbert, sondern ewig milde Heitre umgiebt." — *ἐν Ἐπιγόνοισι*: im Epigonengedicht. Unter den sogenannten cyclischen Gedichten war das erste nach der Gigantomachie die Thebais von unbekanntem Verfasser und deshalb von vielen dem Homer zugeschrieben; diese enthielt nicht blos den ersten thebanischen Krieg, den Zug der sieben gegen Theben vereinigten Fürsten, sondern auch den zweiten, den Zug derer Söhne, welche *οἱ Ἐπίγονοι* genannt werden. — *ἐποίησε*: zu III, 38.

C. 33. *ἱρὰ ... πυρῶν*: in Waizenstroh gewickelte Heiligthümer, worunter *primitiae frugum* zu verstehen sind. — *ἐπὶ τὸν Ἀδρίην*: zu I, 163. — *ἐκλιπεῖν*: intr., würde überschlagen; d. h. die Gaben kämen direct von Karystos (einer auf der Südküste von Euböa gelegenen Stadt) nach der Insel Tenos, obgleich Andros mitten zwischen beiden liegt. So *ἐκλείπειν* VII, 239. —

ους γὰρ εἶναι τοὺς κομίζοντας ἐς Τῆνον, Τηνίους δὲ ἐς Δῆλον. ἀπικνέεσθαι μέν νυν ταῦτα τὰ ἱρὰ οὕτω λέγουσι ἐς Δῆλον, πρῶτον δὲ τοὺς Ὑπερβορέους πέμψαι φερούσας τὰ ἱρὰ δύο κόρας, τὰς οὐνομάζουσι Δήλιοι εἶναι Ὑπερόχην τε καὶ Λαοδίκην· ἅμα δὲ αὐτῇσι ἀσφαλείης εἵνεκεν πέμψαι τοὺς Ὑπερβορέους τῶν ἀστῶν ἄνδρας πέντε πομπούς, τούτους οἳ νῦν περφερέες καλέονται, τιμὰς μεγάλας ἐν Δήλῳ ἔχοντες. ἐπεὶ δὲ τοῖσι Ὑπερβορέοισι τοὺς ἀποπεμφθέντας ὀπίσω οὐκ ἀπονοστέειν, δεινὰ ποιευμένους εἴ σφεας αἰεὶ καταλάμψεται ἀποστέλλοντας μὴ ἀποδέκεσθαι, οὕτω δὴ φέροντας ἐς τοὺς οὔρους τὰ ἱρὰ ἐνδεδεμένα ἐν πυρῶν καλάμῃ τοῖς πλησιοχώροις ἐπισκήπτειν, κελεύοντας προπέμπειν σφέα ἀπ᾽ ἑωυτῶν ἐς ἄλλο ἔθνος. καὶ ταῦτα μὲν οὕτω προπεμπόμενα ἀπικνέεσθαι λέγουσι ἐς Δῆλον, οἶδα δὲ αὐτὸς τούτοισι τοῖσι ἱροῖσι τόδε ποιεύμενον προσφερές, τὰς Θρηικίας καὶ τὰς Παιονίδας γυναῖκας, ἐπεὰν θύωσι τῇ Ἀρτέμιδι τῇ βασιληίῃ, οὐκ ἄνευ πυρῶν καλάμης ἐρδούσας τὰ ἱρά. καὶ ταῦτα μὲν δὴ οἶδα ταύτας ποιεύσας, τῇσι δὲ 34
παρθένοισι ταύτῃσι τῇσι ἐξ Ὑπερβορέων τελευτησάσῃσι ἐν Δήλῳ κείρονται καὶ αἱ κόραι καὶ οἱ παῖδες οἱ Δηλίων· αἱ μὲν πρὸ γάμου πλόκαμον ἀποταμνόμεναι καὶ περὶ ἄτρακτον εἱλίξασαι ἐπὶ τὸ σῆμα τιθεῖσι (τὸ δὲ σῆμά ἐστι ἔσω ἐς τὸ Ἀρτεμίσιον ἐσιόντι ἀριστερῆς χειρός, ἐπιπέφυκε δέ οἱ ἐλαίη), οἱ δὲ παῖδες τῶν Δηλίων περὶ χλόην τινὰ εἱλίξαντες τῶν τριχῶν τιθεῖσι καὶ οὗτοι ἐπὶ τὸ σῆμα. αὗται

οὐνομάζουσι . . . εἶναι: zu II, 44. — Ὑπερόχην τε καὶ Λαοδίκην: Hort und Volkrecht. — πομπούς: als Geleiter. — Περφερέες: dieselben heissen auch ἀμαλλοφόροι und οὐλοφόροι (Garbenträger). Hesych. II, p. 945 πέρφερες· θεωροί. — ἐπεὶ δέ: zu I, 24. — ὀπίσω οὐκ ἀπ.: zu III, 16. — δεινὰ ποιευμένους: zu I, 61. — εἴ σφεας: dem ὅτι synonym, wie nach θαυμάζειν I, 129. — καταλάμψεται: zu II, 66. — μὴ ἀποδέκεσθαι: als Object zu suppliren τοὺς ἀποπεμφθέντας. — ἐπισκήπτειν: zu III, 73. — προσφερές: zu II, 105.

C. 34. τῇσι δὲ παρθένοισι ταύτῃσι: diesen Jungfrauen zu Ehren. — ἐπὶ τὸ σῆμα: auf ihr Grab. — ἔσω: nicht in dem Gotteshause, sondern in dem dasselbe umgebenden τέμενος. — ἐσιόντι: zu I, 14. — ἀριστερῆς χειρός: sonst steht ἐκ vor diesem Genitiv, wie II, 30. — περὶ χλόην τινά: um einen jungen Zweig. — τῶν τριχῶν: Gen. partit., ein va-

μὲν δὴ ταύτην τιμὴν ἔχουσι πρὸς τῶν Δήλου οἰκητόρων·

35 φασὶ δὲ οἱ αὐτοὶ καὶ τὴν Ἄργην τε καὶ τὴν Ὦπιν ἐούσας παρθένους ἐξ Ὑπερβορέων, κατὰ τοὺς αὐτοὺς τούτους ἀνθρώπους πορευομένας, ἀπικέσθαι ἐς Δῆλον ἔτι πρότερον Ὑπερόχης τε καὶ Λαοδίκης. ταύτας μέν νυν τῇ Εἰλειθυίῃ ἀποφερούσας ἀντὶ τοῦ ὠκυτόκου τὸν ἐτάξαντο φόρον ἀπικέσθαι, τὴν δὲ Ἄργην τε καὶ τὴν Ὦπιν ἅμα αὐτοῖσι τοῖσι θεοῖσι ἀπικέσθαι λέγουσι καί σφι τιμὰς ἄλλας δεδόσθαι πρὸς σφέων· καὶ γὰρ ἀγείρειν σφι τὰς γυναῖκας, ἐπουνομαζούσας τὰ οὐνόματα ἐν τῷ ὕμνῳ τόν σφι Ὠλὴν ἀνὴρ Λύκιος ἐποίησε, παρὰ δὲ σφέων μαθόντας νησιώτας τε καὶ Ἴωνας ὑμνέειν Ὦπίν τε καὶ Ἄργην οὐνομάζοντάς τε καὶ ἀγείροντας (οὗτος δὲ ὁ Ὠλὴν καὶ τοὺς ἄλλους τοὺς παλαιοὺς ὕμνους ἐποίησε ἐκ Λυκίης ἐλθὼν τοὺς ἀειδομένους ἐν Δήλῳ), καὶ τῶν μηρίων καταγιζομένων ἐπὶ τῷ βωμῷ τὴν σποδὸν ταύτην ἐπὶ τὴν θήκην τῆς Ὤπιός τε καὶ Ἄργης ἀναισιμοῦσθαι ἐπιβαλλομένην. ἡ δὲ θήκη αὐτέων ἐστὶ ὄπισθε τοῦ Ἀρτεμισίου, πρὸς ἠῶ τετραμμένη, ἀγχοτάτω τοῦ Κηίων ἱστιητορίου.

36 Καὶ ταῦτα μὲν Ὑπερβορέων πέρι εἰρήσθω· τὸν γὰρ

riirter Ausdruck für das obige *πλόκαμος*.

C. 35. *οἱ αὐτοί:* also die Delier. — *κατὰ τοὺς αὐτοὺς τούτους ἀνθρώπους:* also auf demselben Wege, auf welchem Hyperoche und Laodike gereist waren. — *τῇ Εἰλειθυίῃ*: die Geburtsgöttin, die den Kreisenden beisteht, später eins mit der Artemis. — *ἀποφερούσας*: ein Tribut an Eileithyia abzutragen zur Lösung eines Gelübdes für die glückliche Geburt der Götter. Ueber *ἐτάξαντο*: zu III, 13. — *ἅμα αὐτοῖσι τοῖσι θεοῖσι*: zugleich mit den göttlichen Geschwistern selbst. — *ἀγείρειν σφι*: für sie sammelten die Weiber. — *Ὠλήν*: "der als der erste Prophet des Phöbos zuerst alter Worte Gesang zimmerte." Paus. 10, 5, 4. — *ἐποίησε*: zu III, 38. — *τὴν σποδὸν ταύτην:* das Demonstrativum weist auf das vorhergehende; es ist diese Asche, die aus den auf dem Altar verbrannten Schenkeln entsteht. — *ἀναισιμοῦσθαι*: zu I, 179. — *ἐπιβαλλομένην*: geht auf *τὴν σποδόν*. Die beiden Jungfrauen Opis und Arge hatten also zu Delos ein Grab aus Opferasche. — *πρὸς ἠῶ τετραμμένη*: dies zeigt, dass die *θήκη* aus kretischer Zeit war, da die Dorier ihre Todten gegen Osten, die Ionier gegen Westen legten. — *Κηίων*: att. *Κείων*, Einwohner der cycladischen Insel *Κέως*. Noch V, 102. — *ἱστιητορίου:* att. *ἑστιατ*..., Bewirthungshaus für ihre zu den Panegyrien angekommenen Bürger und Gäste.

περὶ Ἀβάριος λόγον τοῦ λεγομένου εἶναι Ὑπερβορέω οὐ
λέγω, λέγων ὡς τὸν ὀιστὸν περιέφερε κατὰ πᾶσαν τὴν γῆν,
οὐδὲν σιτεόμενος. εἰ δὲ εἰσί τινες ὑπερβόρεοι ἄνθρωποι,
εἰσὶ καὶ ὑπερνότιοι ἄλλοι. γελῶ δὲ ὁρέων γῆς περιόδους
γράψαντας πολλοὺς ἤδη, καὶ οὐδένα νόον ἐχόντως ἐξηγη-
σάμενον· οἳ Ὠκεανόν τε ῥέοντα γράφουσι πέριξ τὴν γῆν
ἐοῦσαν κυκλοτερέα ὡς ἀπὸ τόρνου, καὶ τὴν Ἀσίην τῇ Εὐ-
ρώπῃ ποιεύντων ἴσην. ἐν ὀλίγοισι γὰρ ἐγὼ δηλώσω μέγα-
θός τε ἑκάστης αὐτέων, καὶ οἵη τις ἐστὶ ἐς γραφὴν ἑκάστη.

Πέρσαι οἰκέουσι κατήκοντες ἐπὶ τὴν νοτίην θάλασσαν 37
τὴν Ἐρυθρὴν καλεομένην· τουτέων δ' ὑπεροικέουσι πρὸς
βορέω ἀνέμου Μῆδοι, Μήδων δὲ Σάσπειρες, Σασπείρων δὲ
Κόλχοι κατήκοντες ἐπὶ τὴν βορηίην θάλασσαν, ἐς τὴν Φᾶ-
σις ποταμὸς ἐκδιδοῖ. ταῦτα τέσσερα ἔθνεα οἰκέει ἐκ θα-
λάσσης ἐς θάλασσαν. ἐνθεῦτεν δὲ τὸ πρὸς ἑσπέρης ἀκταὶ 38
διφάσιαι ἀπ' αὐτῆς κατατείνουσι ἐς θάλασσαν, τὰς ἐγὼ

C. 36. *Ἀβάριος*: Abāris (Ohneschiff, vgl. II, 96), ein Priester des Apollo, den Pindar (Fr. inc. 90) zum Zeitgenossen des Crösus macht. Mit H.'s Bericht über denselben stimmt überein Eustath. ad Dionys. Perieg. 31 *ὅτι ὁ Ἄβαρις ὁ ὑμνούμενος Ὑπερβόρειος ἦν, ὃς οὐδέν γε σιτεῖσθαι λέγεται καὶ τὸν ὀιστὸν περιφέρειν κατὰ πᾶσαν τὴν γῆν.*, und Schol. ad Greg. Naz. in catal. bibl. Bodl. p. 51 *οὗτος ὁ Ἄβαρις λέγεται ἔνθους γενόμενος περιϊέναι τὴν Ἑλλάδα κύκλῳ μετὰ τοῦ βέλους καὶ χρησμούς τινας καὶ μαντείας λέγειν.* Der Artikel, der im Texte und in der ersten citirten Stelle vor *ὀιστόν*, und in der zweiten vor *βέλους* steht, bezeichnet das Mährchen als ein überall bekanntes. Nach einer andern Sage umreitet Abaris als *αἰθροβάτης* auf einem Pfeil die ganze Welt. — *εἰ δὲ εἰσί τινες . . . ἄλλοι:* wohl nicht so zu verstehen, als ob H. an der Existenz einer Nation Namens Hyperboreer zweifelte, sondern er leugnet blos, dass es Menschen geben könne, die, wie es die damaligen Dichter geschildert zu haben scheinen, über dem Boreas (vgl. C. 32) wohnen. — *γράψαντας* und *γράφουσι* sind hauptsächlich vom Malen zu verstehen. — *νόον ἐχόντως*: verständigerweise. — *Ὠκεανόν τε ῥέοντα*: zu II, 21. — *πέριξ*: zu IV, 15. — *ὡς ἀπὸ τόρνου:* wie vermittelst des Zirkels. — *ποιεύντων*: dafür müsste nach unserm Gefühl *ποιεῦσι* stehen, parallel mit *γράφουσι*. *ποιεύντων* ist als *Gen. abs.* zu fassen, indem aus dem vorangehenden Relativ *αὐτῶν* zu entnehmen ist.

C. 37. *κατήκοντες*: zu I, 148. — *Σάσπειρες*: zu I, 104. — *ἐπὶ τὴν βορηίην θάλ.*: hier offenbar der Pontos, der im Gegensatz zu der *νοτίη* hier so bezeichnet wird, da er doch C. 13 eines umgekehrten Gegensatzes wegen *ἡ νοτίη θάλ.* hiess.

C. 38. *ἀπ' αὐτῆς*: nähere Erklärung von *ἐνθεῦτεν*, wobei dem


ἀπηγήσομαι. ἔνθεν μὲν ἡ ἀκτὴ ἡ ἑτέρη τὰ πρὸς βορῆν ἀπὸ Φάσιος ἀρξαμένη παρατέταται ἐς θάλασσαν παρά τε τὸν Πόντον καὶ τὸν Ἑλλήσποντον μέχρι Σιγείου τοῦ Τρωικοῦ· τὰ δὲ πρὸς νότον ἡ αὐτὴ αὕτη ἀκτὴ ἀπὸ τοῦ Μυριανδρικοῦ κόλπου τοῦ πρὸς Φοινίκῃ κειμένου τείνει τὰ ἐς θάλασσαν μέχρι Τριοπίου ἄκρης. οἰκέει δ' ἐν τῇ ἀκτῇ ταύτῃ ἔθνεα
39 ἀνθρώπων τριήκοντα. αὕτη μέν νυν ἡ ἑτέρη τῶν ἀκτέων, ἡ δὲ δὴ ἑτέρη ἀπὸ Περσέων ἀρξαμένη παρατέταται ἐς τὴν Ἐρυθρὴν θάλασσαν, ἥ τε Περσικὴ καὶ ἡ ἀπὸ ταύτης ἐκδεκομένη Ἀσσυρίη καὶ ἀπὸ Ἀσσυρίης ἡ Ἀραβίη· λήγει δὲ αὕτη, οὐ λήγουσα εἰ μὴ νόμῳ, ἐς τὸν κόλπον τὸν Ἀράβιον,

Schriftsteller der im vorigen Capitel beschriebene Länderstrich vorschwebt, den er als das Continent von **Asien** hält. "*Inde vero, ait Herodotus, i. e. ab illo inde terrarum tractu, qui per mediam Asiam a meridie ad septentrionem porrigitur, quae est continens Asiae terra ac veluti meditullium* (Mitte): *inde, inquam, versus occidentem excurrunt* ἀπ' αὐτῆς, *ab hac continente Asia* ἀκταὶ διφάσιαι *duae orae in mare porrectae, duae regiones ita in mare porrectae, ut earum maior pars mari adluatur, adeoque duae veluti paeninsulae. Harum una est Asia minor in boreali parte a Phasi, in australi a Phoenicia in mare mediterraneum excurrens. Altera ora ac veluti paeninsula incipit a Perside, maiorque eius pars in australe s. erythraeum mare excurrit, eoque circumluitur, minor quaedam pars mediterraneum mare attingit.*" **Schweigh.** Niebuhr's vermischte Schriften I, S. 151: "Ein Land, welches weit in die See hineintritt, und nur an einer Seite nicht umflossen ist, nennt die griechische Sprache ἀκτή; daher trägt Attica diesen Namen, und das vortretende Land, wo Epidaurus und die drei übrigen von Argos unabhängigen Städte lagen; χερσόνησος bezeichnet eine eigentliche Halbinsel." — ἀπηγήσομαι: zu I, 2. — παρατέταται: zu I, 180. — τείνει: **tendit**, intrans. wie παρατείνειν I, 180. — τὰ ἐς θάλασσαν: der Artikel wie oben τὸ πρὸς ἑσπέρης. — Τριοπίου: zu I, 144.

C. 39. παρατέταται: zu I, 180. — ἥ τε Περσικὴ ... ἡ Ἀραβίη: Apposition zu ἡ ἑτέρη. — οὐ λήγουσα εἰ μὴ νόμῳ: **freilich nur durch Menschensatzung. Lange.** "*Non vere quidem ait oram desinere eo loco, ubi sinus Arabicus interiecto isthmo a mari mediterraneo separatur, sed ex usu recepto tantum loquendive more* (νόμῳ) *illic desinere putari, cum revera illic non desinat, sed ulterius progressa, per omnem continuetur Africam; ita ut etiam Africa, quae Arabico sinu ab Asia terminari vulgo dicatur, verum si quaeras, pro huius alterius orae sive paeninsulae parte quadam quodammodo haberi debeat. Usu tantum hoc receptum esse ac loquendi consuetudine, ut illa ora Arabico sinu iam terminata existimetur, cum revera, longius progressa, omnem Africam, quam ab Asia vul-*

ἐς τὸν Δαρεῖος ἐκ τοῦ Νείλου διώρυχα ἐσήγαγε. μέχρι μέν
νυν Φοινίκης ἀπὸ Περσέων χῶρος πλατὺς καὶ πολλός ἐστι·
τὸ δ' ἀπὸ Φοινίκης παρήκει διὰ τῆσδε τῆς θαλάσσης ἡ
ἀκτὴ αὕτη παρά τε Συρίην τὴν Παλαιστίνην καὶ Αἴγυπτον,
ἐς τὴν τελευτᾷ· ἐν τῇ ἔθνεα ἔστι τρία μοῦνα. ταῦτα μὲν
ἀπὸ Περσέων τὰ πρὸς ἑσπέρης τῆς Ἀσίης ἔχοντά ἐστι· τὰ 40
δὲ κατύπερθε Περσέων καὶ Μήδων καὶ Σασπείρων καὶ
Κόλχων, τὰ πρὸς ἠῶ τε καὶ ἥλιον ἀνατέλλοντα, ἔνθεν μὲν

go separatam, tertiam orbis terrarum constituant partem, comprehendat." Bähr nach Schweigh. — *διώρυχα*: schon II, 158. Dahlmann meint, dass die Erwähnung dieses Canals, durch welchen das mittelländische Meer mit dem erythräischen verbunden wird, darum geschehe, weil durch denselben die *ἀκτή* vollständig wird. — *χῶρος πλατὺς καὶ πολλός ἐστι*: "*Nimirum e mente Herodoti haec altera paeninsula talis est, quae a Perside inde usque ad Phoeniciam magnam exhibeat planitiem, sed inde a Phoenicia aliam sequatur directionem, mediterraneum per mare secundum Syriacam oram porrecta ad Aegyptum usque, ubi desinat.*" Bähr. — *Παλαιστίνην*: zu I, 105. — *τελευτᾷ*: Niebuhr (verm. Schriften I, S. 153) veranschaulicht beide *ἀκταί* durch folgende Figur:



"*abcd* ist der Raum, den die Kolcher, Saspirer, Meder und Perser von Meer zu Meer bewohnen; *lefg* die südliche Akte; *akih* die nördliche; und das Land *hglm* dasjenige, woran sich beide lehnen, von Phönike bis zu den Persern: Syrien nämlich (im weiten Sinne), Armenien, Matiene u. s. w. Auf der südlichen Akte folgen sich (*ἐκδέκονται* IV, 39), Perser, Assyrier (Babylonier) und Araber, von Norden nach Süden; also Babylon wohl südwestlich von Susa." — *τρία*: doch wohl die im Anfang des Cap. erwähnten.

C. 40. *τὰ δὲ κατύπερθε*: darüber hinaus, näher erklärt durch das folgende *τὰ πρὸς ἠῶ τε καὶ* ... — *ἀνατέλλοντα*: zu III, 104. — *ἔν-*

ἡ Ἐρυθρὴ πάρηκει θάλασσα, πρὸς βορέω δὲ ἡ Κασπίη τε θάλασσα καὶ ὁ Ἀράξης ποταμός, ῥέων πρὸς ἥλιον ἀνίσχοντα. μέχρι δὲ τῆς Ἰνδικῆς οἰκέεται Ἀσίη· τὸ δὲ ἀπὸ ταύτης ἐρῆμος ἤδη τὸ πρὸς τὴν ἠῶ, οὐδ᾽ ἔχει οὐδεὶς φράσαι οἷον δή τι ἐστί. τοιαύτη μὲν καὶ τοσαύτη ἡ Ἀσίη ἐστί, ἡ
41 δὲ Λιβύη ἐν τῇ ἀκτῇ τῇ ἑτέρῃ ἐστί· ἀπὸ γὰρ Αἰγύπτου Λιβύη ἤδη ἐκδέκεται. κατὰ μέν νυν Αἴγυπτον ἡ ἀκτὴ αὕτη στεινή ἐστι· ἀπὸ γὰρ τῆσδε τῆς θαλάσσης ἐς τὴν Ἐρυθρὴν θάλασσαν δέκα μυριάδες εἰσὶ ὀργυιέων, αὗται δ᾽ ἂν εἶεν χίλιοι στάδιοι: τὸ δὲ ἀπὸ τοῦ στεινοῦ τούτου κάρτα πλατέα
42 τυγχάνει ἐοῦσα ἡ ἀκτὴ ἥτις Λιβύη κέκληται. Θωυμάζω ὦν τῶν διουρισάντων καὶ διελόντων Λιβύην τε καὶ Ἀσίην καὶ Εὐρώπην· οὐ γὰρ σμικρὰ τὰ διαφέροντα αὐτέων ἐστί· μήκεϊ μὲν γὰρ παρ᾽ ἀμφοτέρας παρήκει ἡ Εὐρώπη, εὖρεος δὲ πέρι οὐδὲ συμβαλέειν ἀξίη φαίνεταί μοι εἶναι. Λιβύη μὲν γὰρ δηλοῖ ἑωυτὴν ἐοῦσα περίρρυτος, πλὴν ὅσον αὐτῆς πρὸς τὴν Ἀσίην οὐρίζει, Νεκῶ τοῦ Αἰγυπτίων βασιλέος πρώτου τῶν ἡμεῖς ἴδμεν καταδέξαντος, ὃς ἐπείτε τὴν διώρυχα ἐπαύσατο ὀρύσσων τὴν ἐκ τοῦ Νείλου διέχουσαν ἐς τὸν Ἀράβιον κόλπον, ἀπέπεμψε Φοίνικας ἄνδρας πλοίοισι,

θεν μέν: wird durch seinen Gegensatz *πρὸς βορέω δέ* klár. — *ὁ Ἀράξης*: zu I, 201. — *ῥέων πρὸς ἥλιον ἀνίσχοντα:* er entspringt nämlich nach I, 202 im Lande der *Ματιηνοί*, über die zu vergleichen I, 72.

C. 41. *ἐν τῇ ἀκτῇ τῇ ἑτέρῃ*: mit Bezug auf C. 39 *οὐ λήγουσα εἰ μὴ νόμῳ*. — *ἀπὸ γὰρ Αἰγύπτου .... ἐκδέκεται*: *est enim Libya Aegypto contigua*. — *στεινή*: die Landenge von Suez. — *ἂν εἶεν*: Vermuthung des Schriftstellers: zu I, 70. — *χίλιοι στάδιοι*: schon gesagt II, 158.

C. 42. *διελόντων*: zu I, 94. — *τὰ διαφέροντα*: zu I, 85. — *μήκεϊ*: offenbar die Dimension von Westen nach Osten. — *παρ᾽ ἀμφ. παρήκει*: zu Einleitg. S. XV. — *συμβαλέειν*: (zu IV, 15) "*quod ad latitudinem Europae attinet, hanc terrae partem ne dignam quidem iudico, quae cum reliquis terrae partibus (Asia sc. et Africa) conferatur, quippe multo minoribus.*" Bähr. Man hätte erwartet *συμβληθῆναι*, wie II, 10 und III, 125 steht; allein in solchen Verbindungen (dem lateinischen Supinum auf *u* entsprechend) ist der Infinitiv des Activs Regel. Thuc. I, 138, 3: *ὁ Θεμιστοκλῆς μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι*. Auch wir sagen "bewundernswerth." — *Λιβύη μὲν γὰρ ... οὐρίζει*: hieraus ist ersichtlich, dass H. Aegypten zu Afrika rechnet, und als Gränze zwischen beiden Welttheilen den arabischen Meerbusen annimmt. — *καταδέξαντος*: zu I, 163. — *τὴν διώρυχα*: schon er-

ἐντειλάμενος ἐς τὸ ὀπίσω δι' Ἡρακλέων στηλέων διεκπλέειν ἕως ἐς τὴν βορηίην θάλασσαν καὶ οὕτω ἐς Αἴγυπτον ἀπικνέεσθαι. ὁρμηθέντες ὦν οἱ Φοίνικες ἐκ τῆς Ἐρυθρῆς θαλάσσης ἔπλεον τὴν νοτίην θάλασσαν· ὅκως δὲ γίνοιτο φθινόπωρον, προσίσχοντες ἂν σπείρεσκον τὴν γῆν, ἵνα ἑκάστοτε τῆς Λιβύης πλέοντες γινοίατο, καὶ μένεσκον τὸν ἄμητον· θερίσαντες δ' ἂν τὸν σῖτον ἔπλεον, ὥστε δύο ἐτέων διεξελθόντων τρίτῳ ἔτεϊ κάμψαντες Ἡρακλέας στήλας ἀπίκοντο ἐς Αἴγυπτον. καὶ ἔλεγον ἐμοὶ μὲν οὐ πιστά, ἄλλῳ δὲ δή τεῳ, ὡς περιπλώοντες τὴν Λιβύην τὸν ἥλιον ἔσχον ἐς τὰ δεξιά. οὕτω μὲν αὕτη ἐγνώσθη τὸ πρῶτον, μετὰ δὲ 43
Καρχηδόνιοί εἰσι οἱ λέγοντες, ἐπεὶ Σατάσπης γε ὁ Τεάσπιος ἀνὴρ Ἀχαιμενίδης οὐ περιέπλωσε Λιβύην, ἐπ' αὐτὸ τοῦτο πεμφθείς, ἀλλὰ δείσας τό τε μῆκος τοῦ πλόου καὶ τὴν ἐρημίην ἀπῆλθε ὀπίσω, οὐδ' ἐπετέλεσε τὸν ἐπέταξέ οἱ ἡ μήτηρ ἄεθλον. θυγατέρα γὰρ Ζωπύρου τοῦ Μεγαβύζου παρθένον ἐβιήσατο· ἔπειτα μέλλοντος αὐτοῦ διὰ ταύτην

wähnt II, 158. — Ἡρακλέων στηλέων: zu IV, 152. — ἐς τὴν βορηίην θάλ.: natürlich das mittelländische, hier so bezeichnet des Gegensatzes wegen, da dem Schriftsteller der Gedanke vorschwebt, dass sie zunächst τὴν νοτίην θάλ. beschiffen sollten. — ἂν σπείρεσκον: zu I, 42. — ἵνα . . . γενοίατο: wo sie immer gerade in Libyen waren; τῆς Λιβύης gehört zu ἵνα, wie *ubi terrarum*. — μένεσκον: aus dem Vorhergehenden ἂν σπείρεσκον schwebt noch ἂν vor. — τὸν ἄμητον: zu II, 14. — θερίσαντες . . . ἔπλεον: ἂν gehört zu ἔπλεον, denn wenn das Participium θερίσαντες aufgelöst wäre, hiesse es: ὅκως δὲ θερίσαιεν τὸν σῖτον, ἀναγόμενοι ἂν ἔπλεον. Aehnlich ist ἂν gestellt II, 109. III, 148. IV, 78. — ἐμοὶ μέν: vgl. I, 131. — ἐς τὰ δεξιά: Heeren I, 2 S. 80: "Aeusserst interessant ist der Zusatz am Ende der Erzählung, wodurch der Schriftsteller gleichsam wider seinen Willen, weil er keine Fabel nacherzählen mag, die Wahrheit der Geschichte unwidersprechlich verbürgt, indem er den Umstand bemerkt, dass die Seeleute auf ihrer Fahrt die Sonne rechter Hand (im Norden) gesehen hätten. Denn das musste ja auf einer Reise geschehen, auf der man den Aequator passirte; und wer fühlt nicht, dass so etwas unmöglich zu erdichten war?" — ἐγνώσθη τὸ πρῶτον: nämlich περίρρυτος ἐοῦσα.

C. 43. μετὰ δὲ . . . ἐπεὶ . . .: "*Postea* (*post illam Phoenicum navigationem*) *Carthaginienses dicunt, scilicet cognovisse se circumfluam esse Africam; nam* (*hoc suo nomine, non Carthaginiensium verbis adiicit Herodotus*) *Sataspes quidem non circumnavigavit Africam, ad hoc licet missus.*" Schweigh. — ἀπῆλθε ὀπίσω: zu III, 16. — Ζωπύρου: zu III, 160. — ἐβιήσατο: zu I, 19.

τὴν αἰτίην ἀνασκολοπιεῖσθαι ὑπὸ Ξέρξεω βασιλέος, ἡ μήτηρ τοῦ Σατάσπεος ἐοῦσα Δαρείου ἀδελφεὴ παραιτήσατο, φᾶσά οἱ αὐτὴ μέζω ζημίην ἐπιθήσειν ἤπερ ἐκεῖνον· Λιβύην γάρ οἱ ἀνάγκην ἔσεσθαι περιπλώειν, ἐς ὃ ἂν ἀπίκηται περιπλώων αὐτὴν ἐς τὸν Ἀράβιον κόλπον. συγχωρήσαντος δὲ Ξέρξεω ἐπὶ τούτοισι, ὁ Σατάσπης ἀπικόμενος ἐς Αἴγυπτον καὶ λαβὼν νέα τε καὶ ναύτας παρὰ τουτέων ἔπλεε ἐπὶ Ἡρακλέας στήλας· διεκπλώσας δέ, καὶ κάμψας τὸ ἀκρωτήριον τῆς Λιβύης τῷ οὔνομα Σολόεις ἐστί, ἔπλεε πρὸς μεσαμβρίην· περήσας δὲ θάλασσαν πολλὴν ἐν πολλοῖσι μησί, ἐπείτε τοῦ πλεῦνος αἰεὶ ἔδεε, ἀποστρέψας ὀπίσω ἀπέπλεε ἐς Αἴγυπτον. ἐκ δὲ ταύτης ἀπικόμενος παρὰ βασιλέα Ξέρξεα ἔλεγε φὰς τὰ προσωτάτω ἀνθρώπους μικροὺς παραπλέειν, ἐσθῆτι φοινικηίῃ διαχρεωμένους, οἳ ὅκως σφεῖς καταγοίατο τῇ νηὶ φεύγεσκον πρὸς τὰ οὔρεα λείποντες τὰς πόλις· αὐτοὶ δὲ ἀδικέειν οὐδὲν ἐσιόντες, πρόβατα δὲ μοῦνα ἐξ αὐτέων λαμβάνειν. τοῦ δὲ μὴ περιπλῶσαι Λιβύην παντελέως αἴτιον τόδε ἔλεγε, τὸ πλοῖον τὸ πρόσω οὐ δυνατὸν ἔτι εἶναι προβαίνειν ἀλλ' ἐνίσχεσθαι. Ξέρξης δὲ οὔ οἱ συγγινώσκων λέγειν ἀληθέα, οὐκ ἐπιτελέσαντά τε τὸν προκείμενον ἄεθλον ἀνεσκολόπισε, τὴν ἀρχαίην δίκην ἐπιτιμῶν. τούτου δὲ τοῦ Σατάσπεος εὐνοῦχος ἀπέδρη ἐς Σάμον, ἐπείτε ἐπύθετο τάχιστα τὸν δεσπότεα τετελευτηκότα, ἔχων χρήματα μεγάλα, τὰ Σάμιος ἀνὴρ κατέσχε, τοῦ ἐπιστάμενος τὸ οὔνομα ἑκὼν ἐπιλήθομαι.

— *ἐς ὃ ἄν*: zu III, 31. — *παρὰ τούτων*: auf *Αἴγυπτον* zu beziehen, wie III, 134. — *Σολόεις*: zu II, 32. — *ἐπείτε τοῦ πλεῦνος αἰεὶ ἔδεε*: *cum maior semper itineris pars emetienda superesset.* — *ἀποστρέψας ὀπίσω*: zu III, 16. — *ἔλεγε φάς*: zu I, 118. — *φοινικηίῃ*: nach Larcher nicht, purpurne, sondern, von Rinde oder Blättern vom Palmbaum gefertigte. — *ἐσιόντες*: **indem sie** in die Städte oder Häuser **hineingingen.** — *πρόβατα*: zu I, 133. — *Ξέρξης δὲ οὔ οἱ συγγινώσκων*: er glaubte ihm nicht, stimmte ihm nicht darin bei, dass er die Wahrheit sagte. *οἱ* ist auf Sataspes zu beziehen. Das Gegentheil wäre *καταγιγνώσκων αὐτοῦ μὴ λέγειν ἀληθέα.* — *ἐπιτελέσαντα*: ist parallel mit *λέγειν*, indem nach *συγγινώσκειν* sowohl der Infinitiv als das Participium üblich ist; zu beiden ist *Σατάσπεα* als Object zu ergänzen. — *ἑκὼν ἐπιλήθομαι*:

Τῆς δὲ Ἀσίης τὰ πολλὰ ὑπὸ Δαρείου ἐξευρέθη, ὃς βου- 44
λόμενος Ἰνδὸν ποταμόν, ὃς κροκοδείλους δεύτερος οὗτος
ποταμῶν πάντων παρέχεται, τοῦτον τὸν ποταμὸν εἰδέναι
τῇ ἐς θάλασσαν ἐκδιδοῖ, πέμπει πλοίοισι ἄλλους τε τοῖσι
ἐπίστευε τὴν ἀληθείην ἐρέειν, καὶ δὴ καὶ Σκύλακα ἄνδρα
Καρυανδέα. οἳ δὲ ὁρμηθέντες ἐκ Κασπατύρου τε πόλιος
καὶ τῆς Πακτυϊκῆς γῆς ἔπλεον κατὰ ποταμὸν πρὸς ἠῶ τε
καὶ ἡλίου ἀνατολὰς ἐς θάλασσαν, διὰ θαλάσσης δὲ πρὸς
ἑσπέρην πλέοντες τριηκοστῷ μηνὶ ἀπικνέονται ἐς τοῦτον
τὸν χῶρον ὅθεν ὁ Αἰγυπτίων βασιλεὺς τοὺς Φοίνικας, τοὺς
πρότερον εἶπα, ἀπέστειλε περιπλώειν Λιβύην. μετὰ δὲ
τούτους περιπλώσαντας Ἰνδούς τε κατεστρέψατο Δαρεῖος
καὶ τῇ θαλάσσῃ ταύτῃ ἐχρᾶτο. οὕτω καὶ τῆς Ἀσίης, πλὴν
τὰ πρὸς ἥλιον ἀνίσχοντα, τὰ ἄλλα ἀνεύρηται ὁμοῖα παρε-
χομένη τῇ Λιβύῃ. ἡ δὲ Εὐρώπη πρὸς οὐδαμῶν φανερή ἐστι 45
γινωσκομένη, οὔτε τὰ πρὸς ἥλιον ἀνατέλλοντα οὔτε τὰ πρὸς
βορῆν, εἰ περίρρυτός ἐστι· μήκεϊ δὲ γινώσκεται παρ᾽ ἀμ-
φοτέρας παρήκουσα. οὐδ᾽ ἔχω συμβαλέσθαι ἐπ᾽ ὅτεν μιῇ
ἐούσῃ γῇ οὐνόματα τριφάσια κέεται ἐπωνυμίας ἔχοντα γυ-

ähnliche Redeweisen I, 51. II, 123. III, 75. 147.

C. 44. *δεύτερος οὗτος*: und zwar ist dies der zweite unter allen Flüssen. — *τοῦτον τὸν ποταμόν*: pleonastisch wie II, 13. — *Καρυανδέα*: aus Karyanda, einer Insel mit einer gleichnamigen Stadt an der Küste von Karien. — *Κασπατύρου τε πόλιος καὶ τῆς Π. γῆς*: zu III, 102. Heeren I, 1 S. 355: "Es heisst zwar, Kaspatyrus habe am Indus gelegen; allein die Flüsse, die nördlich sich in den Indus ergiessen, und aus deren Vereinigung er eigentlich entsteht, konnten leicht mit ihm verwechselt werden. Auch der Glaube des H., dass der Indus von Westen nach Osten fliesse, könnte diese Meinung bestätigen. Denn dieser Irrthum erklärt sich von selbst, sobald man annimmt, Kaspatyrus habe am Gureus (Kameh) gelegen, u. H. nenne diesen Fluss den Indus." — *τοὺς πρ. εἶπα*: nämlich C. 42. — *μετὰ δὲ τούτους περιπλώσαντας*: qua confecta navigatione. — *τὰ πρὸς ἥλιον ἀνίσχοντα*: die östlich von Indien gelegenen Länder, worüber vgl. C. 40. — *παρεχομένη*: anacoluthisch, als wenn voranstände: *οὕτω καὶ ἡ Ἀσίη πλὴν τὰ αὐτῆς πρὸς ἥ. ἀν . . .* Aehnliches vgl. I, 114. Der Sinn ist: so hat man entdeckt, dass auch Asien sowie Libyen, den Osten ausgenommen, rings vom Wasser umflossen ist.

C. 45. *ἀνατέλλοντα*: zu III, 104. — *μήκεϊ . . . παρήκουσα*: schon C. 42. — *συμβαλέσθαι*: zu I, 68. — *ἐπ᾽ ὅτευ*: warum. —

ναικῶν, καὶ οὐρίσματα αὐτῇ Νεῖλός τε ὁ Αἰγύπτιος ποταμὸς ἐτέθη καὶ Φᾶσις ὁ Κόλχος (οἱ δὲ Τάναϊν ποταμὸν τὸν Μαιήτην καὶ πορθμήια τὰ Κιμμέρια λέγουσι), οὐδὲ τῶν διουρισάντων τὰ οὐνόματα πυθέσθαι, καὶ ὅθεν ἔθεντο τὰς ἐπωνυμίας. ἤδη γὰρ Λιβύη μὲν ἐπὶ Λιβύης λέγεται ὑπὸ τῶν πολλῶν Ἑλλήνων ἔχειν τοὔνομα, γυναικὸς αὐτόχθονος, ἡ δὲ Ἀσίη ἐπὶ τῆς Προμηθέος γυναικὸς τὴν ἐπωνυμίην. καὶ τούτου μὲν μεταλαμβάνονται τοῦ οὐνόματος Λυδοί, φάμενοι ἐπ᾽ Ἀσίεω τοῦ Κότυος τοῦ Μάνεω κεκλῆσθαι τὴν Ἀσίην, ἀλλ᾽ οὐκ ἐπὶ τῆς Προμηθέος Ἀσίης· ἀπ᾽ ὅτευ καὶ τὴν ἐν Σάρδισι φυλὴν κεκλῆσθαι Ἀσιάδα. ἡ δὲ δὴ Εὐρώπη οὔτε εἰ περίρρυτός ἐστι γινώσκεται πρὸς οὐδαμῶν ἀνθρώπων, οὔτε ὁκόθεν τὸ οὔνομα ἔλαβε τοῦτο, οὔτε ὅστις οἱ ἦν ὁ θέμενος φαίνεται, εἰ μὴ ἀπὸ τῆς Τυρίης φήσομεν Εὐρώπης λαβεῖν τὸ οὔνομα τὴν χώρην· πρότερον δὲ ἦν ἄρα ἀνώνυμος ὥσπερ αἱ ἕτεραι. ἀλλ᾽ αὕτη γε ἐκ τῆς Ἀσίης τε φαίνεται ἐοῦσα καὶ οὐκ ἀπικομένη ἐς τὴν γῆν ταύτην ἥτις νῦν ὑπ᾽ Ἑλλήνων Εὐρώπη καλέεται, ἀλλ᾽ ὅσον ἐκ Φοινίκης

οὐρίσματα αὐτῇ: "*Istud* αὐτῇ *non ad Asiam refertur sed ad universam terram, quae cum una atque continua sit* (μία ἐοῦσα γῆ), *mirum sibi videri ait Herodotus, cur tribus nominibus illa distinguatur, quasi tres essent terrae, Nilo et Phasi aut Tanai fluviis disterminatae; videturque hoc significare: quum tres, quae vulgo nominantur terrae partes, non sint interiecto mari usquequaque a se invicem seiunctae, debebat una continens universa terra censeri; sin maiorum quorundam fluminum cursus satis caussae est, cur terra in partes divisa statuatur, multo plures quam tres partes fuisse numerandas.*" Schweigh. — καὶ Φᾶσις: zu Einleitg. S. XV. — Τάναϊν π. τὸν Μαιήτην: wie vorhin Νεῖλος ὁ Αἰγύπτιος, Φᾶσις ὁ Κόλχος. — πορθμήια τὰ Κ.: zu IV, 12. — πυθέσθαι: parallel mit συμβαλέσθαι. — ἐπὶ Λιβύης: zu I, 14. — καὶ τούτου μὲν ... Λυδοί: und doch (μέν, das restringirende *quamquam*) massen sich dieses Namens die L. an. Das Activ μεταλαμβάνειν Theil woran nehmen IV, 64 u. VIII, 5. Das Medium nur hier. — Ἀσίεω τοῦ Κότυος τοῦ Μάνεω: eine andere Genealogie kommt heraus, wenn man I, 7 u. I, 94 zusammenstellt; danach heisst des Manes Sohn Atys, und des Atys Sohn Lydos. — τῆς Προμηθέος: aus dem Vorhergehenden schwebt noch γυναικός vor. — ἀπ᾽ ὅτευ ... κεκλῆσθαι: zu I, 24. — φαίνεται: ist bekannt. — πρότερον δὲ ἦν: "*non servat noster constructionem; nam dicere debebat:* πρότερον δὲ αὐτὴν (*sc.* τὴν χώραν) γενέσθαι ἄρα ἀνώνυμον, *cum haec verba putanda sint pendere etiam ab illo verbo* φήσομεν." Steger. —

ἐς Κρήτην, ἐκ Κρήτης δὲ ἐς Λυκίην. ταῦτα μέν νυν ἐπὶ τοσοῦτο εἰρήσθω· τοῖσι γὰρ νομιζομένοισι αὐτέων χρησόμεθα.

Ὁ δὲ Πόντος ὁ Εὔξεινος, ἐπ' ὃν ἐστρατεύετο Δαρεῖος, 46
χωρέων πασέων παρέχεται ἔξω τοῦ Σκυθικοῦ ἔθνεα ἀμαθέστατα· οὔτε γὰρ ἔθνος τῶν ἐντὸς τοῦ Πόντου οὐδὲν ἔχομεν προβαλέσθαι σοφίης πέρι, οὔτε ἄνδρα λόγιον οἴδαμεν γενόμενον πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος καὶ Ἀναχάρσιος. τῷ δὲ Σκυθικῷ γένεϊ ἓν μὲν τὸ μέγιστον τῶν ἀνθρωπηίων πρηγμάτων σοφώτατα πάντων ἐξεύρηται τῶν ἡμεῖς ἴδμεν, τὰ μέντοι ἄλλα οὐκ ἄγαμαι. τὸ δὲ μέγιστον οὕτω σφι ἀνεύρηται ὥστε ἀποφυγέειν τε μηδένα ἐπελθόντα ἐπὶ σφέας, μὴ βουλομένους τε ἐξευρεθῆναι καταλαβεῖν μὴ οἷόν τε εἶναι· τοῖσι γὰρ μήτε ἄστεα μήτε τείχεα ᾖ ἐκτισμένα, ἀλλὰ φερέοικοι ἐόντες πάντες ἔωσι ἱπποτοξόται, ζώοντές μὴ ἀπ' ἀρότου ἀλλ' ἀπὸ κτηνέων, οἰκήματά τε σφι ᾖ

ἀλλ' ὅσον: sondern so weit als = sondern blos. — ταῦτα μέν νυν . . . χρησόμεθα: Sinn: "Diese geographischen Bemerkungen mögen so weit und nicht weiter ausgedehnt sein; denn wir wollen uns an Das halten, uns darauf beschränken, was von den Dingen (αὐτέων) allgemein angenommen wird." Das letzte ist der Grund davon, dass die Bemerkungen nicht weiter ausgedehnt werden.

C. 46. ἐπ' ὃν ἐστρατεύετο Δ.: gelegentliche Anknüpfung an den schon im ersten Capitel abgebrochenen und nicht wieder aufgenommenen Faden der Erzählung. Das Imperfectum ἐστρατεύετο ist zu fassen wie I, 68. — οὔτε γὰρ ἔθνος . . . Ἀναχάρσιος = οὔτε γὰρ ἔθνος . . . . σοφίης πέρι πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος, οὔτε ἄνδρα . . . . γενόμενον πάρεξ Ἀναχάρσιος, καὶ αὐτοῦ Σκύθεω ἐόντος. Ueber προβαλέσθαι: zu I, 98; und über λόγιον: zu I, 1. — σοφώτατα πάντων τῶν ἡμεῖς ἴδμεν: *prae ceteris omnibus quos novimus hominibus sapientissime.* — ἄγαμαι: zu IV, 75. — ἐπελθόντα: der ihnen feindlich naht. — μὴ βουλομένους . . . εἶναι: construire: μήτε οἷόν τε εἶναι καταλαβεῖν (αὐτοὺς) μὴ βουλομένους ἐξευρεθῆναι. — ἀλλὰ φερέοικοι: hinter ἀλλά ist aus dem vorangehenden Relativ τοῖσι im Gedanken οἵ zu ergänzen. — ζώοντες μὴ ἀπ' ἀρότου ἀλλ' ἀπὸ κτηνέων: also von Milch, was schon C. 2 erzählt ist. — οἰκήματά τε σφι ᾖ: dritter Relativsatz, also nach unserm Gefühl = οἷς τε οἰκήματα ᾖ. Auffallen möchte in allen drei Relativsätzen das Nichtvorhandensein der Partikel ἄν, doch Krüger Gr. 54, 15 A. 3: "Wie εἰ, so findet sich auch das Relativ ohne ἄν mit dem Conjunctiv, wo keine Modificirung des Gedankens als eines nur eventuell (vorkommenden Falls) zu erwartenden auszudrük-

ἐπὶ ζευγέων, κῶς οὐκ ἂν εἴησαν οὗτοι ἄμαχοί τε καὶ ἄποροι
47 προσμίσγειν· ἐξεύρηται δέ σφι ταῦτα τῆς τε γῆς ἐούσης ἐπιτηδέης καὶ τῶν ποταμῶν ἐόντων σφι συμμάχων· ἥ τε γὰρ γῆ ἐοῦσα πεδιὰς αὕτη ποιώδης τε καὶ εὔυδρός ἐστι, ποταμοί τε δι' αὐτῆς ῥέουσι οὐ πολλῷ τέῳ ἀριθμὸν ἐλάσσονες τῶν ἐν Αἰγύπτῳ διωρύχων. ὅσοι δὲ οὐνομαστοί τέ εἰσι αὐτέων καὶ προσπλωτοὶ ἀπὸ θαλάσσης, τούτους οὐνομανέω. Ἴστρος μὲν πεντάστομος, μετὰ δὲ Τύρης τε καὶ Ὕπανις καὶ Βορυσθένης καὶ Παντικάπης καὶ Ὑπάκυρις
48 καὶ Γέρρος καὶ Τάναϊς· ῥέουσι δὲ οὗτοι κατὰ τάδε. Ἴστρος μὲν ἐὼν μέγιστος ποταμῶν πάντων τῶν ἡμεῖς ἴδμεν, ἴσος αἰεὶ αὐτὸς ἑωυτῷ ῥέει καὶ θέρεος καὶ χειμῶνος, πρῶτος δὲ τὸ ἀπ' ἑσπέρης τῶν ἐν τῇ Σκυθικῇ ῥέων κατὰ τοιόνδε μέγιστος γέγονε, ποταμῶν καὶ ἄλλων ἐς αὐτὸν ἐκδιδόντων. εἰσὶ δὲ οἵδε οἱ μέγαν αὐτὸν ποιεῦντες, διὰ μέν γε τῆς Σκυθικῆς χώρης πέντε μὲν οἱ ῥέοντες, τόν τε Σκύθαι Πόρατα καλέουσι Ἕλληνες δὲ Πυρετόν, καὶ ἄλλος Τιαραντὸς καὶ Ἄραρός τε καὶ Νάπαρις καὶ Ὀρδησσός. ὁ μὲν πρῶτος λε-

ken ist. Bei Dichtern ist dieser Sprachgebrauch unzweifelhaft, bei Prosaikern hat man die Stellen häufig geändert; Thuc. 4, 17, 2: *Τοὺς λόγους οὐ μηκυνοῦμεν, ἐπιχώριον ὂν ἡμῖν οὐ βραχεῖς ἀρκῶσι μὴ πολλοῖς χρῆσθαι.*" Auch II, 85 ist die Auslassung von *ἄν* bemerkt worden; doch anders zu erklären. — *ἐπὶ ζευγέων*: zu IV, 23. — *ἄποροι προσμίσγειν*: *difficiles quibuscum ad manus venias*; der Infinitiv bezeichnet die Rücksicht, in der das Prädikat *ἄποροι* den Skythen zukommt; vgl. IV, 53. 90. 150. 198. *προσμίσγειν*, so noch V, 64 u. VI, 112. Aber VI, 96. VII, 168. VIII, 130 *anlanden*.

C. 47. *συμμάχων*: wie *συμμαχέει* I, 98. — *πεντάστομος*: wie der Nil II, 10.

C. 48. *κατὰ τοιόνδε*: näher erklärt durch den folgenden *Gen. abs.*: *indem auch andere Flüsse sich in ihn entladen*. — *διὰ μέν γε τῆς Σκυθικῆς χώρης πέντε μὲν οἱ ῥέοντες*: das doppelte *μέν* ist so zu fassen: H. will zeigen, wie bedeutend an Zahl die Neben- und Zuflüsse des Ister sind; er bildet daher bei ihrer Aufzählung zu gleicher Zeit zweierlei Gegensätze: 1) zwischen den Ländern, in denen sie fliessen oder aus denen sie kommen; 2) zwischen den verschiedenen Zahlen der Nebenflüsse jedes Landes. Er hätte entweder sagen können: *διὰ μὲν τῆς Σκυθικῆς χώρης πέντε, ἐκ δὲ Ἀγαθύρσων εἷς* u. s. w., oder: *πέντε μὲν οἱ διὰ τῆς Σκυθικῆς χώρης ῥέοντες, εἷς δὲ ἐξ Ἀγαθύρσων.* Aber er hat beiderlei Gegensätze durch das doppelte *μέν* verbunden. — *Πυρετόν*: heutzutage Pruth. In Bezug auf die vier andern sind die

χθεὶς τῶν ποταμῶν μέγας καὶ πρὸς ἠῶ ῥέων ἀνακοινοῦται
τῷ Ἴστρῳ τὸ ὕδωρ, ὁ δὲ δεύτερος λεχθεὶς Τιαραντὸς πρὸς
ἑσπέρης τε μᾶλλον καὶ ἐλάσσων, ὁ δὲ δὴ Ἄραρός τε καὶ ὁ
Νάπαρις καὶ ὁ Ὀρδησσὸς διὰ μέσου τούτων ἰόντες ἐσβάλ-
λουσι ἐς τὸν Ἴστρον. οὗτοι μὲν αὐτιγενέες ποταμοὶ Σκυθι-
κοὶ συμπληθύουσι αὐτόν, ἐκ δὲ Ἀγαθύρσων Μάρις πρτα-
μὸς ῥέων συμμίσγεται τῷ Ἴστρῳ, ἐκ δὲ τοῦ Αἵμου τῶν 49
κορυφέων τρεῖς ἄλλοι μεγάλοι ῥέοντες πρὸς βορῆν ἄνεμον
ἐσβάλλουσι ἐς αὐτόν, Ἄτλας καὶ Αὔρας καὶ Τίβισις. διὰ
δὲ Θρηίκης καὶ Θρηίκων τῶν Κροβύζων ῥέοντες Ἄθρυς καὶ
Νόης καὶ Ἀρτάνης ἐκδιδοῦσι ἐς τὸν Ἴστρον· ἐκ δὲ Παιό-
νων καὶ οὔρεος Ῥοδόπης Σκίος ποταμὸς μέσον σχίζων τὸν
Αἷμον ἐκδιδοῖ ἐς αὐτόν. ἐξ Ἰλλυριῶν δὲ ῥέων πρὸς βορῆν
ἄνεμον Ἄγγρος ποταμὸς ἐσβάλλει ἐς πεδίον τὸ Τριβαλλι-
κὸν καὶ ἐς ποταμὸν Βρόγγον, ὁ δὲ Βρόγγος ἐς τὸν Ἴστρον·
οὕτω ἀμφοτέρους ἐόντας μεγάλους ὁ Ἴστρος δέκεται. ἐκ δὲ
τῆς κατύπερθε χώρης Ὀμβρίκων Κάρπις ποταμὸς καὶ ἄλ-
λος Ἄλπις πρὸς βορῆν ἄνεμον καὶ οὗτοι ῥέοντες ἐκδιδοῦσι
ἐς αὐτόν. ῥέει γὰρ δὴ διὰ πάσης τῆς Εὐρώπης ὁ Ἴστρος,

Geographen nicht einig. — *οὗτοι μέν:* das *μέν* hinter *πέντε* ist hier wieder aufgenommen. — *αὐθιγενέες;* zu II, 17. — *Ἀγαθύρσων:* zu IV, 104. — *Μάρις:* heut, Marosch.

C. 49. *τοῦ Αἵμου*: der Balkan. — *Ῥοδόπης:* zieht sich vom Skomios-Gebirge ab an der rechten Seite des Nestos bis fast zur Mündung dieses Flusses, jetzt Despoto. — *Σκίος*: jetzt Esker. — *ἐς πεδίον τὸ Τριβαλλικόν:* die Triballer bewohnten nach Niebuhr (röm. Gesch. II S. 578 4. Aufl.) die Ebenen Slavoniens und Niederungarns — *Βρόγγος:* nach den meisten die Morava, nach Niebuhr a. a. O. die Sau. — *Ὀμβρικῶν:* Niebuhr I, S. 152: "Der Griechen Ombrika erstreckt sich bei H. bis unter die Alpen: denn aus dem Lande über den Ombrikern fliessen in den Ister die Ströme Karpis und Alpis, deren einer allerdings der Inn sein mag." — *ἐκ Κελτῶν:* vgl. II, 33. Niebuhr II S. 575: "H. kannte die Celten nur erst im äussersten Westen Europas, in so weiter Ferne, dass er sie ausserhalb der Säulen des Hercules denkt. Nicht sie setzt er an den Fuss der Gebirge, aus denen Drau und Inn (Karpis und Alpis) fliessen, sondern Umbrer; auch nennt er sie nicht unter den Völkern, aus denen das Heer geworben war, welches Hamilkar wider Gelon und Theron geführt hatte (VII, 165); nachmals aber bildeten die Gallier immer einen grossen Theil der karthaginiensischen Armeen; also waren sie noch fern von den Gegenden, wo punische Werber sie

ἀρξάμενος ἐκ Κελτῶν, οἳ ἔσχατοι πρὸς ἡλίου δυσμέων μετὰ Κύνητας οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ· ῥέων δὲ διὰ πάσης

50 *τῆς Εὐρώπης ἐς τὰ πλάγια τῆς Σκυθικῆς ἐσβάλλει. τουτέων ὧν τῶν καταλεχθέντων καὶ ἄλλων πολλῶν συμβαλλομένων τὸ σφέτερον ὕδωρ γίνεται ὁ Ἴστρος ποταμῶν μέγιστος, ἐπεὶ ὕδωρ γε ἓν πρὸς ἓν συμβάλλειν ὁ Νεῖλος πλήθεϊ ἀποκρατέει· ἐς γὰρ δὴ τοῦτον οὔτε ποταμὸς οὔτε κρήνη οὐδεμία ἐσδιδοῦσα ἐς πλῆθός οἱ συμβάλλεται. ἴσος δὲ αἰεὶ ῥέει ἔν τε θέρεϊ καὶ χειμῶνι ὁ Ἴστρος κατὰ τοιόνδε τι, ὡς ἐμοὶ δοκέει. τοῦ μὲν χειμῶνός ἐστι ὅσος περ ἐστί, ὀλίγῳ τε μέζων τῆς ἑωυτοῦ φύσιος γίνεται· ὕεται γὰρ ἡ γῆ αὕτη τοῦ χειμῶνος πάμπαν ὀλίγῳ, νιφετῷ δὲ πάντα χρᾶται. τοῦ δὲ θέρεος ἡ χιὼν ἡ ἐν τῷ χειμῶνι πεσοῦσα, ἐοῦσα ἀμφιλαφής, τηκομένη πάντοθεν ἐσδιδοῖ ἐς τὸν Ἴστρον. αὕτη τε δὴ ἡ χιὼν ἐσδιδοῦσα ἐς αὐτὸν συμπληθύει, καὶ ὄμβροι πολλοί τε καὶ λάβροι σὺν αὐτῇ· ὕει γὰρ δὴ τὸ θέρος. ὅσῳ δὲ πλέον ἐπ᾽ ἑωυτὸν ὕδωρ ὁ ἥλιος ἐπέλκεται ἐν τῷ θέρεϊ ἢ ἐν τῷ χειμῶνι, τοσούτῳ τὰ συμμισγόμενα τῷ Ἴστρῳ πολλαπλήσιά ἐστι τοῦ θέρεος ἤπερ τοῦ χειμῶνος· ἀντιτιθέμενα δὲ ταῦτα ἀντισήκωσις γίνεται, ὥστε ἴσον μιν αἰεὶ φαίνεσθαι ἐόντα.*

51 *Εἷς μὲν δὴ τῶν ποταμῶν τοῖσι Σκύθῃσί ἐστι ὁ Ἴστρος, μετὰ δὲ τοῦτον Τύρης, ὃς ἀπὸ βορέω μὲν ἀνέμου ὁρμᾶται, ἄρχεται δὲ ῥέων ἐκ λίμνης μεγάλης ἣ οὐρίζει τήν τε Σκυ-*

annehmen u. einschiffen konnten." — *μετὰ Κύνητας:* also wohnten die *Κύνητες* (II, 33 *Κυνήσιοι* genannt) noch weiter nach Westen als die Kelten. — *ἐς τὰ πλάγια τῆς Σ. ἐσβάλλει:* *Scythiam a latere adluit.*

C. 50. *συμβαλλομένων:* zu I, 68. — *ὕδωρ ἓν πρὸς ἕν:* so Thuc. II, 97, 5 *ἔθνος ἓν πρὸς ἕν.* — *συμβάλλειν:* zu IV, 15. Der Infinitiv ist absolut: wenn man vergleicht, wie I, 61 *οὐ πολλῷ λόγῳ εἰπεῖν,* um es kurz zu sagen; in der Regel steht vor diesem Infinitiv die Partikel *ὡς.* — *συμβάλλεται:* trägt bei. — *ἐστὶ ὅσος περ ἐστί:* wie *εἶπε τὰ εἶπε* I, 91. — *ὀλίγῳ:* nämlich *ὑετῷ.* I, 193. Vgl. noch IV, 31 *ἐλάσσονι.* — *πάντα:* durchaus, in Einem fort. — *ἀμφιλαφής:* zu III, 114. — *λάβροι:* zu I, 87. — *τὰ συμμισγόμενα:* nämlich *ὕδατα.* — *ἀντιτιθέμενα δὲ ταῦτα:* als absoluter Accusativ zu fassen, wie *ταῦτα γινόμενα* II, 66: wenn man dies gegeneinander hält.

C. 51. *Τύρης* (att. *Τύρας*): der Dniester. — *ἐκ λίμνης μεγάλης:*

θικὴν καὶ τὴν Νευρίδα γῆν. ἐπὶ δὲ τῷ στόματι αὐτοῦ κατοίκηνται Ἕλληνες, οἳ Τυρῖται καλέονται. τρίτος δὲ Ὕπα- 52
νις ποταμὸς ὁρμᾶται μὲν ἐκ τῆς Σκυθικῆς, ῥέει δὲ ἐκ λίμνης μεγάλης τὴν πέριξ νέμονται ἵπποι ἄγριοι λευκοί· καλέεται δ' ἡ λίμνη αὕτη ὀρθῶς μήτηρ Ὑπάνιος. ἐκ ταύτης ὦν ἀνατέλλων ὁ Ὕπανις ποταμὸς ῥέει ἐπὶ μὲν πέντε ἡμερέων πλόον βραχὺς καὶ γλυκὺς ἔτι, ἀπὸ δὲ τούτου πρὸς θαλάσσης τεσσέρων ἡμερέων πλόον πικρὸς αἰνῶς· ἐκδιδοῖ γὰρ ἐς αὐτὸν κρήνη πικρή, οὕτω δή τι ἐοῦσα πικρή, ἣ μεγάθεϊ σμικρὴ ἐοῦσα κιρνᾷ τὸν Ὕπανιν ἐόντα ποταμὸν ἐν ὀλίγοισι μέγαν. ἔστι δὲ ἡ κρήνη αὕτη ἐν οὔροισι χώρης τῆς τε ἀροτήρων Σκυθέων καὶ Ἀλαζώνων· οὔνομα δὲ τῇ κρήνῃ, καὶ ὅθεν ῥέει τῷ χώρῳ, σκυθιστὶ μὲν Ἐξαμπαῖος, κατὰ δὲ τὴν Ἑλλήνων γλῶσσαν Ἱραὶ ὁδοί. συνάγουσι δὲ τὰ τέρματα

"nämlich der nördliche Arm desselben in dem Sembrowschen Kreise in Gallicien 49° d. B." Heeren I, 2 S. 268. — *τὴν Νευρίδα γῆν*: zu IV, 17.

C. 52. *Ὕπανις*: d e r B u g. — *πέριξ*: zu IV, 15. — *μήτηρ Ὑπάνιος*: so wie das azowsche Meer *μήτηρ τοῦ Πόντου* IV, 86 genannt wird. Dasselbe berichtet P. Mela II, 1, 65: "*Callipidas Hypanis includit. Ex grandi palude oritur, quam matrem eius accolae appellant.*" Es mögen die Sümpfe, die heutzutage noch nicht weit von der Quelle herumliegen, vor Alters einen Landsee gebildet haben. — *ἀνατέλλων*: zu III, 104. — *τεσσέρων ἡμερέων πλόον*: beim Accusativ *πλόον* schwebt noch vom vorigen *ἐπὶ μὲν πέντε ἡμερέων πλόον* die Präposition *ἐπί* vor. — *αἰνῶς* = *δεινῶς*, nur noch IV, 61 u. 76. — *οὕτω δή τι . . . ἥ*: zu III, 12. Das *τὶ*, was in den meist dort angeführten Beispielen hinter *οὕτω δή* steht, gehört zum Verbum und gilt adverbial, i r g e n d w i e, i c h w e i s s n i c h t w i e; so Hom. Od. 9, 11 *τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι.* — *μεγάθεϊ σμικρή*: zu I, 51. — *ἐόντα ποταμὸν ἐν ὀλίγοισι μέγαν*: nicht *f l u v i u m i n t e r m i n o r e s m a g n u m*, wie Schweigh., sondern der Zusammenhang erfordert "d e r s e i n e s g l e i c h e n s u c h t" wie Lange übersetzt, d. h. der unter wenigen, die das Prädikat g r o s s verdienen, es auch behauptet, der dies Prädikat nicht verliert, wenn man es auf wenige beschränkt, es also damit streng nimmt. Er ist also ein wahrhaft g r o s s e r Strom und darum ist es so wunderbar, dass ihn eine kleine Quelle bitter machen kann. — *ἀροτήρων Σκυθέων καὶ Ἀλαζώνων*: vgl. IV, 17. — *τῷ χώρῳ*, worauf sich das Relativ *ὅθεν* bezieht, ist parallel mit *τῇ κρήνῃ*. — *Ἐξαμπαῖος*: über diese Quelle sind die Geographen nicht einig; Mannert 4 S. 94 sucht sie bei der Stadt Braclow; Reichard S. 25 bei einem Orte in Podolien Namens Ladyschin, wo sich die Selnitza in den Bug ergiesst; auch führt Bähr die Meinung Köhler's an, das vom Winde zurückgestaute Meerwasser müsse damals diese

ὅ τε Τύρης καὶ ὁ Ὕπανις κατ' Ἀλάζωνας· τὸ δὲ ἀπὸ τούτου ἀποστρέψας ἑκάτερος ῥέει εὐρύνων τὸ μέσον.

53 Τέταρτος δὲ Βορυσθένης ποταμός, ὅς ἐστι μέγιστός τε μετ' Ἴστρον τουτέων καὶ πολυαρκέστατος κατὰ γνώμας τὰς ἡμετέρας οὔτι μοῦνον τῶν Σκυθικῶν ποταμῶν ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων πλὴν Νείλου τοῦ Αἰγυπτίου· τούτῳ γὰρ οὐκ οἷά τέ ἐστι συμβαλέειν ἄλλον ποταμόν· τῶν δὲ λοιπῶν Βορυσθένης ἐστὶ πολυαρκέστατος, ὃς νομάς τε καλλίστας καὶ εὐκομιδεστάτας κτήνεσι παρέχεται ἰχθῦς τε ἀρίστους διακριδὸν καὶ πλείστους, πίνεσθαί τε ἥδιστός ἐστι, ῥέει τε καθαρὸς παρὰ θολεροῖσι, σπόρος τε παρ' αὐτὸν ἄριστος γίνεται, ποίη τε, τῇ οὐ σπείρεται ἡ χώρη, βαθυτάτη. ἅλες τε ἐπὶ τῷ στόματι αὐτοῦ αὐτόματοι πήγνυνται ἄπλετοι· κήτεά τε μεγάλα ἀνάκανθα, τὰ ἀντακαίους καλέουσι, παρέχεται ἐς ταρίχευσιν, ἄλλα τε πολλὰ θωυμάσαι ἄξια. μέχρι μέν νυν Γέρρου χώρου, ἐς τὸν τεσσεράκοντα ἡμερέων πλόος ἐστί, γινώσκεται ῥέων ἀπὸ βορέω ἀνέμου· τὸ δὲ κατύπερθε δι' ὧν ῥέει ἀνθρώπων οὐδεὶς ἔχει φράσαι, φαίνεται δὲ ῥέων δι' ἐρήμου ἐς τῶν γεωργῶν Σκυθέων τὴν χώρην· οὗτοι γὰρ οἱ Σκύθαι παρ' αὐτὸν ἐπὶ δέκα ἡμερέων πλόον νέμονται. μούνου δὲ τούτου τοῦ ποταμοῦ καὶ Νείλου οὐκ ἔχω φράσαι τὰς πηγάς· δοκέω δέ, οὐδὲ οὐδεὶς Ἑλλήνων. ἀγχοῦ τε δὴ θαλάσσης ὁ Βορυσθένης ῥέων γίνεται, καί οἱ συμμίσγεται ὁ Ὕπανις ἐς τὠυτὸ ἕλος ἐκδιδούς. τὸ δὲ μεταξὺ τῶν ποταμῶν τουτέων ἐὸν ἔμβολον τῆς χώρης

Bitterkeit hervorgebracht haben, wovon jetzt keine Spur zu finden sei. Dagegen wird von demselben (Bähr) noch der Bericht eines neueren Reisenden angeführt, bei der Stadt Nicolajef, ob sie gleich 70 Werst vom Meere abliege, sei das Wasser des Bug doch salzig. — *συνάγουσι τὰ τέρματα:* zu IV, 17.

C. 53. *συμβαλέειν:* zu IV, 15. — *πίνεσθαι ἥδιστος:* wie *ἄποροι προσμίσγειν* IV, 46. — *αὐτόματοι πήγνυνται:* setzt sich von selbst fest oder ab. Gerade so Arrian An. I, 29, 1 vom phrygischen Landsee Ascania. — *κήτεα ἀνάκανθα:* sollen eine Art Störe oder Welse sein. — *Γέρρου:* zu IV, 56. — *γινώσκεται ῥέων:* weiss man dass er fliesst. — *τῶν γεωργῶν Σ.:* vgl. IV, 18. — *ἐπὶ δέκα:* IV, 18 steht *ἕνδεκα*. — *καὶ Νείλου:* vgl. II, 34. — *ἀγχοῦ τε . . . καί:* wie III, 76; wo der B. sich dem Meere nähert, da vereinigt sich . . . . — *ἕλος:* Lagune. — *ἔμβολον:* eig. der-

Ἱππόλεω ἄκρη καλέεται, ἐν δὲ αὐτῷ ἱρὸν Δήμητρος ἐνίδρυται· πέρην δὲ τοῦ ἱροῦ ἐπὶ τῷ Ὑπάνι Βορυσθενεΐται κατοίκηνται.

Ταῦτα μὲν τὰ ἀπὸ τουτέων τῶν ποταμῶν, μετὰ 54 δὲ τούτους πέμπτος ποταμὸς ἄλλος τῷ οὔνομα Παντικάπης· ῥέει δὲ καὶ οὗτος ἀπὸ βορέω τε καὶ ἐκ λίμνης, καὶ τὸ μεταξὺ τούτου τε καὶ τοῦ Βορυσθένεος νέμονται οἱ γεωργοὶ Σκύθαι, ἐκδιδοῖ δὲ ἐς τὴν Ὑλαίην, παραμειψάμενος δὲ ταύτην τῷ Βορυσθένεϊ συμμίσγεται. ἕκτος δὲ Ὑπάκυρις ποταμός, ὃς ὁρμᾶται μὲν ἐκ λίμ- 55 νης, διὰ μέσων δὲ τῶν νομάδων Σκυθέων ῥέων ἐκδιδοῖ κατὰ Καρκινῖτιν πόλιν, ἐς δεξιὴν ἀπέργων τήν τε Ὑλαίην καὶ τὸν Ἀχιλλήιον καλεόμενον δρόμον. ἕβδομος δὲ Γέρρος 56 ποταμὸς ἀπέσχισται μὲν ἀπὸ τοῦ Βορυσθένεος κατὰ

Keil, daher hier der keilförmige von den beiden Flüssen eingeschlossene Landstrich. Aber I, 166 Schiffsschnabel.

C. 54. τὰ ἀπὸ τούτων τῶν ποταμῶν: ähnlich IV, 195 τὰ ἀπὸ τῆς νήσου., und VII, 195 ἀπὸ τῆς Ξέρξεω στρατιῆς. Schweigh. — Παντικάπης: zu I, 18 u. IV, 56. — Ὑλαίην: zu IV, 9.

C. 55. Ὑπάκυρις: zu IV, 56. — Καρκινῖτιν πόλιν: soll heutzutage Akmeschid heissen mit einem Meerbusen desselben Namens. — ἀπέργων: zu I, 72. — τὸν Ἀχιλλήιον δρόμον: die Achilleische Rennbahn, eine lange schmale Erdzunge unweit der Mündung des Borysthenes, woselbst Achilles einen Wettlauf gehalten haben soll.

C. 56. Γέρρος: vgl. IV, 19; Heeren I, 2 S. 267 Anm. "Zwischen dem Borysthenes und dem Tanais setzt H. drei Nebenflüsse, den Pantikapes, den Hypakyris und den Gerrhus, von denen der erste ungewiss ist, die beiden andern, so wie er sie beschreibt, nicht vorhanden sind." — Dagegen Völcker, Myth. Geographie I S. 176: "Der Gerrhus scheint von H. als ein Arm des Borysthenes betrachtet zu werden, zumal derselbe über die Quellen aller anderen Skythenströme spricht, die des Gerrhus aber weiter nicht berührt. Höchst wahrscheinlich ist es der Molocznafluss der heutigen Geographie, der zu Anfang des azowschen Meers fliesst, und in seinem oberen Laufe dem Dnieper sich nähert. Ohne in die Mäetis selbst zu fallen, vielmehr nur in einen See dicht an der Mäetis, scheint er sich dadurch mit dem Hypakyris zu vereinigen, welcher in dem Fluss zu finden ist, den unsere Karten hart an jenem See sich münden lassen. Der einzige Anstand ist, dass Herodot's Gerrhus und Hypakyris nicht in die Mäetis, sondern in den Pontus strömen. Allein in den Pontus fliessen auf unsern Karten zwischen Borysthenes und Mäetis keine Ströme, und denkt man sich die Mäetis nach Norden aufgerichtet, so nähert sich der Gerrhus mit seinen Quellen desto auffallender dem Borysthenes, so dass er dadurch leicht

τοῦτο τῆς χώρης ἐς ὃ γινώσκεται ὁ Βορυσθένης· ἀπέσχισται μέν νυν ἐκ τούτου τοῦ χώρου, οὔνομα δὲ ἔχει τό περ ὁ χῶρος αὐτός, Γέρρος, ῥέων δ᾽ ἐς θάλασσαν οὐρίζει τήν τε τῶν νομάδων χώρην καὶ τὴν τῶν βασιληίων Σκυθέων, ἐκδι-
57 *δοῖ δὲ ἐς τὸν Ὑπάκυριν. ὄγδοος δὲ δὴ Τάναϊς ποταμός, ὃς ῥέει τἀνέκαθεν ἐκ λίμνης μεγάλης ὁρμεώμενος, ἐκδιδοῖ δὲ ἐς μέζω ἔτι λίμνην καλεομένην Μαιῆτιν, ἣ οὐρίζει Σκύθας τε τοὺς βασιληίους καὶ Σαυρομάτας. ἐς δὲ Τάναϊν τοῦτον ἄλλος ποταμὸς ἐσβάλλει τῷ οὔνομά ἐστι Ὕργις.*

58 *Τοῖσι μὲν δὴ οὐνομαστοῖσι ποταμοῖσι οὕτω δή τι οἱ Σκύθαι ἐσκευάδαται, τοῖσι δὲ κτήνεσι ἡ ποίη ἀναφυομένη ἐν τῇ Σκυθικῇ ἐστὶ ἐπιχολωτάτη πασέων ποιέων τῶν ἡμεῖς ἴδμεν· ἀνοιγομένοισι δὲ τοῖσι κτήνεσι ἔστι σταθμώσασθαι ὅτι τοῦτο οὕτω ἔχει.*

59 *Τὰ μὲν δὴ μέγιστα οὕτω σφι εὔπορά ἐστι, τὰ δὲ λοιπὰ νόμαια κατὰ τάδε σφι διακέεται. θεοὺς μὲν μούνους τούσδε ἱλάσκονται, Ἱστίην μὲν μάλιστα, ἐπὶ δὲ Δία τε καὶ Γῆν, νομίζοντες τὴν Γῆν τοῦ Διὸς εἶναι γυναῖκα, μετὰ δὲ τούτους Ἀπόλλωνά τε καὶ οὐρανίην Ἀφροδίτην καὶ Ἡρακλέα καὶ Ἄρεα. τούτους μὲν πάντες οἱ Σκύθαι νενομίκασι, οἱ δὲ καλεόμενοι βασιλήιοι Σκύθαι καὶ τῷ Ποσειδέωνι θύουσι.*

den Glauben veranlasst haben mag, als sei er ein Arm des Dniepers. Der Pantikapes muss einer der unbedeutenden Bäche an der Mündung des Borysthenes sein, der Karaderesi oder Helinderesi, oder ein anderes uns unbekanntes Flüsschen." — *ἀπέσχισται μὲν . . . ὁ Βορυσθένης:* strömt getrennt von dem B. in der Gegend, bis wohin man den B. kennt; also nach IV, 53 vierzig Tagschifffahrten den Fluss hinauf; aus demselben Grunde kann nach Heeren I, 2 S. 275 der *χῶρος Γέρρος* (vgl. IV, 53) nicht anders als am obern Dnieper gesucht werden. — *τῶν Νομάδων* und *τῶν βασιληίων Σκ.*: vgl. IV, 19 u. 20.

C. 57. *τἀνέκαθεν:* zu I, 170. — *ἐκ λίμνης*: nach Ritter (Vorhalle S. 305) der See Iwan oder Iwanowskoe-Osero an der Gränze der Statthalterschaften Riaesan u. Tula. — *Σαυρομάτας*: zu IV, 21. — *Ὕργις*: jetzt Denez. Derselbe ist IV, 123 *Σύργις* genannt.

C. 58. *σταθμώσασθαι*: zu II, 2.

C. 59. *τὰ μὲν δὴ . . . . ἐστι*: *istis igitur maximis commodis quum abundent Scythae.* — *ἐπὶ δέ*: hernach aber. — *οὐρανίην Ἀφροδίτην:* zu I, 105. — *τούτους μὲν . . . νενομίκασι:* gerade wie Plat. Apol. p. 18 b *οἱ γὰρ ἀκούοντες ἡγοῦνται τοὺς ταῦτα ζητοῦντας οὐδὲ θεοὺς νομίζειν.* Sonst (IV, 94 und 127) steht

οὐνομάζεται δὲ σκυθιστὶ Ἱστίη μὲν Ταβιτί, Ζεὺς δὲ ὀρθό-
τατα κατὰ γνώμην γε τὴν ἐμὴν καλεόμενος Παπαῖος, Γῆ
δὲ Ἀπί, Ἀπόλλων δὲ Οἰτόσυρος, οὐρανίη δὲ Ἀφροδίτη
Ἀρτίμπασα, Ποσειδέων δὲ Θαμιμασάδας. ἀγάλματα δὲ
καὶ βωμοὺς καὶ νηοὺς οὐ νομίζουσι ποιέειν. πλὴν Ἄρηι·
τούτῳ δὲ νομίζουσι. θυσίη δὲ ἡ αὐτὴ πᾶσι κατέστηκε περὶ 60
πάντα τὰ ἱρὰ ὁμοίως, ἐρδομένη ὧδε. τὸ μὲν ἱρήιον αὐτὸ
ἐμπεποδισμένον τοὺς ἐμπροσθίους πόδας ἕστηκε· ὁ δὲ
θύων ὄπισθε τοῦ κτήνεος ἑστεὼς σπάσας τὴν ἀρχὴν τοῦ
στρόφου καταβάλλει μιν, πίπτοντος δὲ τοῦ ἱρηίου ἐπικα-
λέει τὸν θεὸν τῷ ἂν θύῃ, καὶ ἔπειτα βρόχῳ περὶ ὦν ἔβαλε
τὸν αὐχένα, σκυταλίδα δὲ ἐμβαλὼν περιάγει καὶ ἀποπνίγει,
οὔτε πῦρ ἀνακαύσας οὔτε καταρξάμενος οὔτ' ἐπισπείσας·
ἀποπνίξας δὲ καὶ ἀποδείρας τράπεται πρὸς ἕψησιν. τῆς 61
δὲ γῆς τῆς Σκυθικῆς αἰνῶς ἀξύλου ἐούσης ὧδέ σφι ἐς τὴν
ἕψησιν τῶν κρεῶν ἐξεύρηται. ἐπεὰν ἀποδείρωσι τὰ ἱρήια,
γυμνοῦσι τὰ ὀστέα τῶν κρεῶν, ἔπειτα ἐσβάλλουσι, ἢν μὲν
τύχωσι ἔχοντες, ἐς λέβητας ἐπιχωρίους, μάλιστα Λεσβίοισι
κρητῆρσι προσικέλους, χωρὶς ἢ ὅτι πολλῷ μέζονας· ἐς τού-
τους ἐσβάλλοντες ἕψουσι ὑποκαίοντες τὰ ὀστέα τῶν ἱρηίων.
ἢν δὲ μή σφι παρῇ λέβης, οἱ δὲ ἐς τὰς γαστέρας τῶν ἱρηίων
ἐσβάλλοντες τὰ κρέα πάντα καὶ παραμίξαντες ὕδωρ ὑπο-
καίουσι τὰ ὀστέα· τὰ δὲ αἴθεται κάλλιστα, αἱ δὲ γαστέρες

noch dabei *θεοὺς εἶναι*. — *ὀρθότατα ... καλέεται Παπαῖος*: "*non aliam, opinor, ob rationem Iupiter videri potuit Herodoto Scythis rectissime dictus Παπαῖος, nisi quod crediderit hoc nomine Scythis etiam patrem fuisse designatum.*" Valck.

C. 60. *θυσίη*: zu fassen wie *μαντηίαι* II, 83. — *τὰ ἱρά*: da die Skythen keine Tempel haben, wie es im vorigen Cap. heisst, so sind wohl hier die für das Opfer bestimmten heiligen Orte gemeint. — *ἐμπεποδισμένον*: zu IV, 69. — *σκυταλίδα δὲ ἐμβαλὼν περιάγει*: *insertum laqueo fustem circumagit*. — *καταρξάμενος*: zu II, 45.

C. 61. *αἰνῶς*: zu IV, 52. — *ἐσβάλλουσι*: näml. *τὰ κρέα*. — *χωρὶς ἢ ὅτι*: nicht *praeterquam quod* wie I, 94, sondern adverbialisch *praeterquam*, wie häufig *δηλονότι* oder das lateinische *nescio an* = *fortasse*; Cic. ad Q. fr. I, 1 *tanti tibi honores habiti sunt, quanti haud scio an nemini*. — *ἐς τούτους ἐσβάλλοντες*: pleonastisch, wie II, 13. — *οἱ δέ*: wie I, 112. —

χωρέουσι εὐπετέως τὰ κρέα ἐψιλωμένα τῶν ὀστέων· καὶ οὕτω βοῦς τε ἑωυτὸν ἐξέψει καὶ τἆλλα ἱρήια ἑωυτὸ ἕκαστον. ἐπεὰν δὲ ἑψηθῇ τὰ κρέα, ὁ θύσας τῶν κρεῶν καὶ τῶν σπλάγχνων ἀπαρξάμενος ῥίπτει ἐς τὸ ἔμπροσθε. θύουσι δὲ καὶ τἆλλα πρόβατα καὶ ἵππους μάλιστα.

62 *Τοῖσι μὲν δὴ ἄλλοισι τῶν θεῶν οὕτω θύουσι καὶ ταῦτα τῶν κτηνέων, τῷ δὲ Ἄρηι ὧδε. κατὰ νομοὺς ἑκάστοισι τῶν ἀρχηίων ἐσίδρυταί σφι Ἄρηος ἱρὸν τοιόνδε. φρυγάνων φάκελοι συννενέαται ὅσον τ' ἐπὶ σταδίους τρεῖς μῆκος καὶ εὖρος, ὕψος δὲ ἔλασσον· ἄνω δὲ τούτου τετράγωνον ἄπεδον πεποίηται, καὶ τὰ μὲν τρία τῶν κώλων ἐστὶ ἀπότομα, κατὰ δὲ τὸ ἓν ἐπιβατόν. ἔτεος δὲ ἑκάστου ἁμάξας πεντήκοντα καὶ ἑκατὸν ἐπινέουσι φρυγάνων· ὑπονοστέει γὰρ δὴ αἰεὶ ὑπὸ τῶν χειμώνων. ἐπὶ τούτου δὴ τοῦ ὄγκου ἀκινάκης σιδήρεος ἵδρυται ἀρχαῖος ἑκάστοισι, καὶ τοῦτ' ἐστὶ τοῦ Ἄρηος τὸ ἄγαλμα. τούτῳ δὲ τῷ ἀκινάκεϊ θυσίας ἐπετέους προσάγουσι προβάτων καὶ ἵππων, καὶ δὴ καὶ τοῖσδ' ἔτι πλέω θύουσι ἢ τοῖσι ἄλλοισι θεοῖσι· ὅσους ἂν τῶν πολεμίων ζωγρήσωσι, ἀπὸ τῶν ἑκατὸν ἀνδρῶν ἄνδρα ἕνα θύουσι, τρόπῳ οὐ τῷ αὐτῷ καὶ τὰ πρόβατα, ἀλλ' ἑτεροίῳ. ἐπεὰν γὰρ οἶνον ἐπισπείσωσι κατὰ τῶν κεφαλέων, ἀποσφάζουσι τοὺς ἀνθρώπους ἐς ἄγγος καὶ ἔπειτα ἀνενείκαντες ἄνω ἐπὶ τὸν ὄγκον τῶν φρυγάνων καταχέουσι τὸ αἷμα τοῦ ἀκινάκεος. ἄνω μὲν δὴ φορέουσι τοῦτο, κάτω δὲ παρὰ τὸ ἱρὸν ποιεῦσι τάδε· τῶν ἀποσφαγέντων ἀνδρῶν τοὺς δεξιοὺς ὤμους πάντας ἀποτάμνοντες σὺν τῇσι χερσὶ ἐς τὸν*

ἀπαρξάμενος: zu III, 24. — *πρόβατα:* zu I, 133.

C. 62. *κατὰ νομοὺς ἑκάστοισι . . . ἐσίδρυταί σφι: σφί* geht auf alle Skythen und *ἑκάστοισι* ist die specificirende Apposition zu *σφί*. *κατὰ νομούς* ist zu fassen wie II, 79. Der Genitiv *τῶν ἀρχηίων* ist zu verbinden mit *κατὰ νομούς*: nach den Provinzen oder Abtheilungen ihrer Regierung und Staatsverwaltung. — *ἱρόν:* wie vorhin C. 60. — *φάκελοι:* Ammon. p. 141: *φάκελος φορτίον ξύλων*. Noch IV, 67. — *ἄπεδον:* zu I, 110. — *κώλων:* zu II, 126. — *ὑπονοστέει:* sinkt; so vom Fluss I, 191. — *τοῖσδ':* nämlich, den Schwertern; zu I, 137. — *τοῦ ἀκινάκεος:* der Genitiv gehört zu *καταχέουσι*. —

*ἠέρα ἱεῖσι, καὶ ἔπειτα καὶ τὰ ἄλλα ἀπέρξαντες ἱρήια ἀπαλ-
λάσσονται. χεὶρ δὲ τῇ ἂν πέσῃ κέεται, καὶ χωρὶς ὁ νεκρός.*
Θυσίαι μέν νυν αὗταί σφι κατεστέασι, ὕσὶ δὲ οὗτοι οὐ- 63
*δὲν νομίζουσι, οὐδὲ τρέφειν ἐν τῇ χώρῃ τὸ παράπαν θέ-
λουσι· τὰ δ' ἐς πόλεμον ἔχοντα ὧδέ σφι διακέεται. ἐπεὰν* 64
*τὸν πρῶτον ἄνδρα καταβάλῃ ἀνὴρ Σκύθης, τοῦ αἵματος ἐμ-
πίνει. ὅσους δ' ἂν φονεύσῃ ἐν τῇ μάχῃ, τουτέων τὰς κεφα-
λὰς ἀποφέρει τῷ βασιλέι· ἀπενείκας μὲν γὰρ κεφαλὴν τῆς
ληίης μεταλαμβάνει τὴν ἂν λάβωσι, μὴ ἐνείκας δὲ οὔ. ἀπο-
δείρει δὲ αὐτὴν τρόπῳ τοιῷδε· περιταμὼν κύκλῳ περὶ τὰ
ὦτα καὶ λαβόμενος τῆς κεφαλῆς ἐκσείει, μετὰ δὲ σαρκίσας
βοὸς πλευρῇ δέψει τῇσι χερσί, ὀργήσας δὲ αὐτὸ ἅτε χειρό-
μακτρον ἔκτηται, ἐκ δὲ τῶν χαλινῶν τοῦ ἵππου τὸν αὐτὸς
ἐλαύνει, ἐκ τούτου ἐξάπτει καὶ ἀγάλλεται· ὃς γὰρ ἂν πλεῖ-
στα δέρματα χειρόμακτρα ἔχῃ, ἀνὴρ ἄριστος οὗτος κέκρι-
ται. πολλοὶ δὲ αὐτέων ἐκ τῶν ἀποδερμάτων καὶ χλαίνας
ἐπείνυσθαι ποιεῦσι, συρράπτοντες κατά περ βαίτας. πολ-
λοὶ δὲ ἀνδρῶν ἐχθρῶν τὰς δεξιὰς χέρας νεκρῶν ἐόντων
ἀποδείραντες αὐτοῖσι ὄνυξι καλύπτρας τῶν φαρετρέων
ποιεῦνται· δέρμα δὲ ἀνθρώπου καὶ παχὺ καὶ λαμπρὸν ἦν
ἄρα, σχεδὸν δερμάτων πάντων λαμπρότατον λευκότητι.*

ἀπέρξαντες: **kommt her von** *ἀπέρδειν,* **und zwar ist** *ἕρδειν* **so zu fassen wie I, 131. IV, 33. 60, die Präposition aber, wie wir sie erklärt haben bei** *ἀποτύψωνται* **II, 40; also, wie Schweigh. übersetzt:** ***postquam caedendarum reliquarum victimarum finem fecerunt.***

C. 63. *ὑσί:* **zunächst in Bezug auf das Opfer. —** *νομίζουσι: νομίζειν* **als Sitte üben findet sich auch mit dem Dativ; so II, 50. IV, 117. Auch bei Thuc. I, 77, 4. 2, 38. 3, 82, 9.**

C. 64. *μεταλαμβάνει:* **zu IV, 45. —** *τῆς κεφαλῆς* **gehört zu** *ἐκσείει,* **erschüttelt aus dem Kopf heraus; zu** *λαβόμενος* **ist** *τοῦ δέρματος* **aus** *ἀποδείρει* **zu entnehmen. —** *σαρκίσας:* **nämlich** *τὸ δέρμα.* **Pollux II, 233:** *σαρκίσαι, τὸ τοῦ δέρματος τὴν σάρκα ἀφελεῖν.* **—** *ὀργήσας:* **es scheint nach Portus** *ὀργάσας* **gelesen werden zu müssen, von** *ὀργάζειν* **weich machen, kneten;** *ὀργᾶν* **schwellen, strotzen, wird IV, 199 vom schwellenden Heranreifen der Früchte gebraucht. —** *ἐκ τούτου:* **pleonastisch wie II, 13. —** *ἐπείνυσθαι:* **att.** *ἐφέννυσθαι.* **Der Infinitiv ist locker verbunden mit dem Hauptverbum, wie I, 176. —** *αὐτοῖσι ὄνυξι:* **zu II, 47. —** *ἦν ἄρα:* **dieser Ausdruck wird gebraucht, wenn man den Anschein einer Sache, die falsche Meinung**

πολλοὶ δὲ καὶ ὅλους ἄνδρας ἐκδείραντες καὶ διατείναντες
65 *ἐπὶ ξύλων ἐπ᾽ ἵππων περιφέρουσι. ταῦτα μὲν δὴ οὕτω σφι νενόμισται, αὐτὰς δὲ τὰς κεφαλάς, οὔτι πάντων ἀλλὰ τῶν ἐχθίστων, ποιεῦσι τάδε. ἀποπρίσας ἕκαστος πᾶν τὸ ἔνερθε τῶν ὀφρύων ἐκκαθαίρει· καὶ ἢν μὲν ᾖ πένης, ὁ δ᾽ ἔξωθεν ὠμοβοέην μούνην περιτείνας οὕτω χρᾶται, ἢν δὲ ᾖ πλούσιος, τὴν μὲν ὠμοβοέην περιτείνει, ἔσωθεν δὲ καταχρυσώσας οὕτω χρᾶται ποτηρίῳ. ποιεῦσι δὲ τοῦτο καὶ ἐκ τῶν οἰκηίων, ἤν σφι διάφοροι γένωνται καὶ ἢν ἐπικρατήσῃ αὐτοῦ παρὰ τῷ βασιλέι. ξείνων δέ οἱ ἐλθόντων τῶν ἂν λόγον ποιέηται, τὰς κεφαλὰς ταύτας παραφέρει, καὶ ἐπιλέγει ὡς οἱ ἐόντες οἰκήιοι πόλεμον προσεθήκαντο καί σφεων αὐτὸς*
66 *ἐπεκράτησε, ταύτην ἀνδραγαθίην λέγοντες. ἅπαξ δὲ τοῦ ἐνιαυτοῦ ἑκάστου ὁ νομάρχης ἕκαστος ἐν τῷ ἑωυτοῦ νομῷ κιρνᾷ κρητῆρα οἴνου, ἀπ᾽ οὗ πίνουσι τῶν Σκυθέων τοῖσι ἂν ἄνδρες πολέμιοι ἀραιρημένοι ἔωσι· τοῖσι δ᾽ ἂν μὴ κατεργασμένον ᾖ τοῦτο, οὐ γεύονται τοῦ οἴνου τούτου, ἀλλ᾽ ἠτιμωμένοι ἀποκατέαται· ὄνειδος δέ σφί ἐστι μέγιστον τοῦτο. ὅσοι δὲ ἂν αὐτῶν καὶ κάρτα πολλοὺς ἄνδρας ἀραι-*

über sie in Gegensatz stellt gegen ihr wahres Wesen. Diese Wahrheit, die hinterher kommt, liegt zwar thatsächlich in der Gegenwart; aber man unterscheidet die vorherige falsche und die nunmehr berichtigte Ansicht auch der Zeit nach; man sagt also, dass die Sache immer schon so war, auch als man anders darüber dachte, dass man das nur nicht gewusst hat und erst jetzt darüber aufgeklärt wird. So wird *ἄρα c. imperf.* bei verschiedenen Verben gesetzt (vgl. III, 64 u. Aristoph. Nub. 334. Acharn. 90), am häufigsten aber in der Verbindung *ἦν ἄρα*, worüber zu vgl. Matthiae Gr. §. 505. 2. Der Sinn ist also hier: was blos als ein Ueberzug des Köchers erscheint, das ist in Wahrheit, wenn man sich näher darüber unterrichtet hat, Menschenhaut und zwar stark und glänzend weiss. — *διατείναντες*: auch hier ist *τὸ δέρμα* als Object aus *ἐκδείραντες* zu entnehmen. — *ἐπ᾽ ἵππων περιφέρουσι:* sie führen sie zu Pferde mit umher.

C. 65. *ἀποπρίσας:* nachdem er weggesägt hat. — *ἐκκαθαίρει:* nämlich den oberhalb der Augenbraunen liegenden Theil des Kopfs, also den Schädel. — *ὁ δέ*: wie I, 112. — *καὶ ἐκ τῶν οἰκηίων*: brachylogisch für *καὶ τοὺς ἐκ τῶν οἰκηίων αὐτῶν ὄντας*. — *παρὰ βασιλέι:* nämlich *κριτῇ*, wie es III, 160 heisst. — *ἐπιλέγει*: zu I, 214. — *λέγοντες:* zurückbezogen auf das Subject zu *ποιεῦσι*, da die ganze Nation, nicht blos der Sieger, diese Ansicht über die Tapferkeit theilt. Eine ähnliche Anakoluthie II, 9.

ρηκότες ἔωσι, οὗτοι δὲ σύνδυο κύλικας ἔχοντες πίνουσι ὁμοῦ.

Μάντιες δὲ Σκυθέων εἰσὶ πολλοί, οἳ μαντεύονται ῥά- 67
βδοισι ἰτεΐνῃσι πολλῇσι ὧδε. ἐπεὰν φακέλους ῥάβδων με-
γάλους ἐνείκωνται, θέντες χαμαὶ διεξειλίσσουσι αὐτούς,
καὶ ἐπὶ μίαν ἑκάστην ῥάβδον τιθέντες θεσπίζουσι, ἅμα τε
λέγοντες ταῦτα συνειλέουσι τὰς ῥάβδους ὀπίσω καὶ αὖτις
κατὰ μίαν συντιθεῖσι. αὕτη μέν σφι ἡ μαντικὴ πατρωίη
ἐστί, οἱ δὲ Ἐνάρεες οἱ ἀνδρόγυνοι τὴν Ἀφροδίτην σφι λέ-
γουσι μαντικὴν δοῦναι· φιλύρης ὦν φλοιῷ μαντεύονται.
ἐπεὰν τὴν φιλύρην τρίχα σχίσῃ, διαπλέκων ἐν τοῖσι δακτύ-
λοισι τοῖσι ἑωυτοῦ καὶ διαλύων χρᾷ. ἐπεὰν δὲ βασιλεὺς ὁ 68
Σκυθέων κάμῃ, μεταπέμπεται τῶν μαντίων ἄνδρας τρεῖς
τοὺς εὐδοκιμέοντας μάλιστα, οἳ τρόπῳ τῷ εἰρημένῳ μαν-
τεύονται· καὶ λέγουσι οὗτοι ὡς τὸ ἐπίπαν μάλιστα τάδε,
ὡς τὰς βασιληίας ἱστίας ἐπιώρκηκε ὃς καὶ ὅς, λέγοντες τῶν
ἀστῶν τὸν ἂν δὴ λέγωσι. τὰς δὲ βασιληίας ἱστίας νόμος
Σκύθῃσι τὰ μάλιστά ἐστι ὀμνύναι τότε ἐπεὰν τὸν μέγιστον
ὅρκον ἐθέλωσι ὀμνύναι. αὐτίκα δὲ διαλελαμμένος ἄγεται
οὗτος τὸν ἂν δὴ φῶσι ἐπιορκῆσαι, ἀπιγμένον δὲ ἐλέγχουσι
οἱ μάντιες ὡς ἐπιορκήσας φαίνεται ἐν τῇ μαντικῇ τὰς βασι-
ληίας ἱστίας καὶ διὰ ταῦτα ἀλγέει ὁ βασιλεύς· ὁ δὲ ἀρνέε-
ται, οὐ φάμενος ἐπιορκῆσαι, καὶ δεινολογέεται. ἀρνεομένου

C. 66. *οὗτοι δέ*: zu I, 112. — *σύνδυο κύλικας*: *bina pocula singuli*. — *ὁμοῦ*: zugleich aus beiden.

C. 67. *ῥάβδοισι ἰτεΐνῃσι*: also Wünschelruthen. — *φακέλους*: zu IV, 62. — *ἐπὶ μίαν*: dasselbe, was weiter unten *κατὰ μίαν* (zu II, 79) heisst, nämlich einzeln. Was Bähr für einen Anstoss an *ἐπί* nimmt, sehe ich nicht ein. — *λέγοντες ταῦτα* = *θεσπίζοντες*. — *συνειλέουσι*: Gegensatz zu dem obigen *διεξελίσσουσι*, also *constringunt*, sie vereinigen alle wieder in ein Bündel. Noch III, 45. — *Ἐνάρεες*: zu I, 105. — *σχίσῃ*: nämlich ὁ *μαντευόμενος*. Vgl. zu II, 38.

C. 68. *ὡς τὸ ἐπίπαν*: gewöhnlich; so VII, 50, 1. 157. VIII, 60, 3; ebenso *ὡς ἐπίπαν* II, 68. Auch *ἐπίπαν* IV, 86 und *τὸ ἐπίπαν* VI, 46 im Ganzen, überhaupt. — *ἱστίας*: Vesta (*Ἱστίη*) war ihre Hauptgottheit, nach C. 59. — *ὃς καὶ ὅς*: dieser oder jener. — *λέγοντες . . . τὸν ἂν δὴ λέγωσι*: wie I, 91 *εἶπε τὰ εἶπε*. — *διαλελαμμένος*: zu I, 114. — *δεινολο-*

δὲ τούτου ὁ βασιλεὺς μεταπέμπεται ἄλλους διπλησίους
μάντιας· καὶ ἢν μὲν καὶ οὗτοι ἐσορέωντες ἐς τὴν μαντικὴν
καταδήσωσι ἐπιορκῆσαι, τοῦ δὲ ἰθέως τὴν κεφαλὴν ἀπο-
τάμνουσι, καὶ τὰ χρήματα αὐτοῦ διαλαγχάνουσι οἱ πρῶτοι
τῶν μαντίων· ἢν δὲ οἱ ἐπελθόντες μάντιες ἀπολύσωσι,
ἄλλοι πάρεισι μάντιες καὶ μάλα ἄλλοι. ἢν ὦν οἱ πλεῦνες
τὸν ἄνθρωπον ἀπολύσωσι, δέδοκται τοῖσι πρώτοισι τῶν
69 μαντίων αὐτοῖσι ἀπόλλυσθαι. ἀπολλῦσι δῆτα αὐτοὺς τρό-
πῳ τοιῷδε. ἐπεὰν ἅμαξαν φρυγάνων πλήσωσι καὶ ὑπο-
ζεύξωσι βοῦς, ἐμπεδήσαντες τοὺς μάντιας καὶ χέρας ὀπίσω
δήσαντες καὶ στομώσαντες κατεργνῦσι ἐς μέσα τὰ φρύγανα,
ὑποπρήσαντες δὲ αὐτὰ ἀπιεῖσι φοβήσαντες τοὺς βοῦς.
πολλοὶ μὴν δὴ συγκατακαίονται τοῖσι μάντισι βόες, πολ-
λοὶ δὲ περικεκαυμένοι ἀποφεύγουσι, ἐπεὰν αὐτέων ὁ ῥυμὸς
κατακαυθῇ. κατακαίουσι δὲ τρόπῳ τῷ εἰρημένῳ καὶ δι'
ἄλλας αἰτίας τοὺς μάντιας, ψευδομάντιας καλέοντες. τοὺς
δ' ἂν ἀποκτείνῃ βασιλεύς, τουτέων οὐδὲ τοὺς παῖδας λεί-
πει, ἀλλὰ πάντα τὰ ἔρσενα κτείνει, τὰ δὲ θήλεα οὐκ ἀδικέει.
70 Ὅρκια δὲ ποιεῦνται Σκύθαι ὧδε πρὸς τοὺς ἂν ποιέων-
ται. ἐς κύλικα μεγάλην κεραμίνην οἶνον ἐγχέαντες αἷμα
συμμίσγουσι τῶν τὰ ὅρκια ταμνομένων, τύψαντες ὑπέατι
ἢ ἐπιταμόντες μαχαίρῃ σμικρὸν τοῦ σώματος καὶ ἔπειτα
ἀποβάψαντες ἐς τὴν κύλικα ἀκινάκεα καὶ ὀϊστοὺς καὶ σάγα-
ριν καὶ ἀκόντιον· ἐπεὰν δὲ ταῦτα ποιήσωσι, κατεύχονται
πολλὰ καὶ ἔπειτα ἀποπίνουσι αὐτοί τε οἱ τὸ ὅρκιον ποιεύ-
μενοι καὶ τῶν ἑπομένων οἱ πλείστου ἄξιοι.

γέεται: zu I, 44. — διπλησίους: also sechs. — καταδήσωσι: zu II, 174. — τοῦ δέ: wie I, 112. — ἀποτάμνουσι: als Subject darf man sich doch wohl nicht die Priester denken, sondern, sowie zu ἀπολλῦσι am Anfang des folgenden Capitels, die dazu beorderten — οἱ πρῶτοι: die zuerst gerufenen. — καὶ μάλα: wie I, 134.

C. 69. ἐμπεδήσαντες: ἐμπεδῆσαι erklärt Valcken. durch πέδαις ἐνδῆσαι compedibus constringere; in demselben Sinne steht ἐμποδίζειν IV, 60. — κατειργνῦσι: nämlich τοὺς μάντιας, nicht wie Schweigh. im Lex. Her. will, τοὺς βοῦς. — ἀποκτείνῃ: tödten lässt.

C. 70. ποιεῦνται . . . πρὸς τοὺς ἂν ποιέωνται: wie I, 91. — ὑπέατι: die attische Form für ὕπεας ist ὄπεας die Schusterahle. — σμικρὸν τοῦ σώματος: was er bei

Ταφαὶ δὲ τῶν βασιλέων ἐν Γέρροισι εἰσί, ἐς ὃ ὁ Βορυσθένης ἐστὶ προσπλωτός· ἐνθαῦτα, ἐπεάν σφι ἀποθάνῃ ὁ βασιλεύς, ὄρυγμα γῆς μέγα ὀρύσσουσι τετράγωνον, ἑτοῖμον δὲ τοῦτο ποιήσαντες ἀναλαμβάνουσι τὸν νεκρόν, κατακεκηρωμένον μὲν τὸ σῶμα, τὴν δὲ νηδὺν ἀνασχισθεῖσαν καὶ καθαρθεῖσαν, πλέην κυπέρου κεκομμένου καὶ θυμιήματος καὶ σελίνου σπέρματος καὶ ἀνήσου, συνερραμμένην ὀπίσω, καὶ κομίζουσι ἐν ἁμάξῃ ἐς ἄλλο ἔθνος. οἱ δ᾽ ἂν παραδέξωνται κομισθέντα τὸν νεκρόν, ποιεῦσι τά περ οἱ βασιλήιοι Σκύθαι· τοῦ ὠτὸς ἀποτάμνονται, τρίχας περικείρονται, βραχίονας περιτάμνονται, μέτωπον καὶ ῥῖνα καταμύσσονται, διὰ τῆς ἀριστερῆς χερὸς ὀιστοὺς διαβυνέονται. ἐνθεῦτεν δὲ κομίζουσι ἐν ἁμάξῃ τὸν νέκυν τοῦ βασιλέος ἐς ἄλλο ἔθνος τῶν ἄρχουσι· οἱ δέ σφι ἕπονται ἐς τοὺς πρότερον ἦλθον. ἐπεὰν δὲ πάντας περιέλθωσι τὸν νέκυν κομίζοντες, ἐν Γέρροισι ἔσχατα κατοικημένοισί εἰσι τῶν ἐθνέων τῶν ἄρχουσι καὶ ἐν τῇσι ταφῇσι. καὶ ἔπειτα, ἐπεὰν θέωσι τὸν νέκυν ἐν τῇσι θήκῃσι ἐπὶ στιβάδος, παραπήξαντες αἰχμὰς ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ ξύλα ὑπερτείνουσι καὶ ἔπειτα ῥιψὶ καταστεγάζουσι, ἐν δὲ τῇ λοιπῇ εὐρυχωρίῃ τῆς θήκης τῶν παλλακέων τε μίαν ἀποπνίξαντες θάπτουσι καὶ τὸν οἰνοχόον καὶ μάγειρον καὶ ἱπποκόμον καὶ διήκονον καὶ ἀγγελιηφόρον καὶ ἵππους καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχὰς 71

der Erzählung einer ähnlichen Sache I, 74 *ὁμοχροίην* nennt. — *σάγαριν*: zu I, 215.

C. 71. *ἐν Γέρροισι*: vgl. IV, 53 *Γέρρου χώρου*. — *ἐς ὃ ὁ Β. ἐστὶ προσπλωτός* = *ἐς ὃ γινώσκεται ὁ Β.* IV, 56. — *τὴν νηδύν*: zu II, 86. — *ἀνασχισθεῖσαν*: nachlässig construirt, da die Consequenz verlangt haben würde *ἀνασχισθέντα καὶ καθαρθέντα*. — *τοῦ ὠτός*: *gen. part.*: ein Stück vom Ohr. — *μέτωπον*: zu I, 178. — *καταμύσσονται*: vgl. das Simplex zu III, 76. — *διαβυνέονται*: zu II, 96. — *οἱ δέ σφι . . . ἦλθον*: "*Scythae οἱ βασιλήιοι regum funera curantes, rite compositum cadaver curru devehebant ἐς ἄλλο ἔθνος. Ad quos primum venissent, hi soli τοὺς βασιληίους secuti, cadaver per singulas gentes circumductum, cum illis adeoque, Gerrhos usque prosequebantur: ταφαὶ τῶν βασιλέων ἐν Γέρροισί εἰσι: leguntur ista paulo superius.*" Valcken. — *ἔσχατα κατοικημένοισι*: welche am äussersten Punkt des Landes wohnen. — *ῥιψί*: zu II, 96. — *ἀπαρχάς*: vgl. *ἀπάρχεσθαι* zu III, 24. Noch I, 92 und IV, 88.

καὶ φιάλας χρυσέας· ἀργύρῳ δὲ οὐδὲν οὐδὲ χαλκῷ χρέωνται. ταῦτα δὲ ποιήσαντες χοῦσι πάντες χῶμα μέγα, ἁμιλ-
72 λώμενοι καὶ προθυμεόμενοι ὡς μέγιστον ποιῆσαι. ἐνιαυτοῦ δὲ περιφερομένου αὖτις ποιεῦσι τοιόνδε. λαβόντες τῶν λοιπῶν θεραπόντων τοὺς ἐπιτηδεωτάτους (οἱ δέ εἰσι Σκύθαι ἐγγενέες· οὗτοι γὰρ δὴ θεραπεύουσι τοὺς ἂν αὐτὸς ὁ βασιλεὺς κελεύσῃ, ἀργυρώνητοι δὲ οὐκ εἰσί σφι θεράποντες) τουτέων ὦν τῶν διηκόνων ἐπεὰν ἀποπνίξωσι πεντήκοντα, καὶ ἵππους τοὺς καλλιστεύοντας πεντήκοντα, ἐξελόντες αὐτέων τὴν κοιλίην καὶ καθήραντες ἐμπιπλᾶσι ἀχύρων καὶ συρράπτουσι· ἁψῖδος δὲ ἥμισυ ἐπὶ δύο ξύλα στήσαντες ὕπτιον, καὶ τὸ ἕτερον ἥμισυ τῆς ἁψῖδος ἐπ' ἕτερα δύο, καταπήξαντες τρόπῳ τοιούτῳ πολλὰ ταῦτα, ἔπειτα τῶν ἵππων κατὰ τὰ μήκεα ξύλα παχέα διελάσαντες μέχρι τῶν τραχήλων ἀναβιβάζουσι αὐτοὺς ἐπὶ τὰς ἁψῖδας· τῶν δὲ αἱ μὲν πρότεραι ἁψῖδες ὑπέχουσι τοὺς ὤμους τῶν ἵππων, αἱ δὲ ὄπισθε παρὰ τοὺς μηροὺς τὰς γαστέρας ὑπολαμβάνουσι· σκέλεα δὲ ἀμφότερα κατακρέμαται μετέωρα. χαλινοὺς δὲ καὶ στόμια ἐμβαλόντες ἐς τοὺς ἵππους κατατείνουσι ἐς τὸ πρόσθε αὐτέων, καὶ ἔπειτα ἐκ πασσάλων δέουσι. τῶν δὲ δὴ νεηνίσκων τῶν ἀποπεπνιγμένων τῶν πεντήκοντα ἕνα ἕκαστον ἀναβιβάζουσι ἐπὶ τὸν ἵππον, ὧδε ἀναβιβάζοντες· ἐπεὰν νεκροῦ ἑκάστου παρὰ τὴν ἄκανθαν ξύλον ὀρθὸν διελάσωσι μέχρι τοῦ τραχήλου, κάτωθεν δὲ ὑπερέχει τοῦ ξύ-

C. 72. *τουτέων ὦν τ. δ.*: wie II, 13. — *ὕπτιον*: die Krümmung des halben Reifen (*ἁψίς*) nach unten zu gekehrt, convex nach dem Erdboden. — *τῶν ἵππων*: hängt zunächst ab von *διελάσαντες*, so wie weiter unten *νεκροῦ ἑκάστου* von *διελάσωσι*. Das *κατὰ μήκεα* ist nur eine untergeordnete adverbielle Bestimmung, die auch als eine genauere Bestimmung des *διά* (in *διελάσαντες*) genommen werden kann. Ganz ähnlich verhält es sich mit *παρὰ τὴν ἄκανθαν* weiter unten. — *κατὰ τὰ μήκεα*: der Länge nach, also vom After bis zum Halse. — *αὐτούς*: nämlich *τοὺς ἵππους*. — *ὑπολαμβάνουσι*: zu I, 24, variirter Ausdruck für das vorhergehende *ὑπέχουσι*. — *σκέλεα δὲ ἀμφότερα*: Vorder- u. Hinterbeine. — *κατατείνουσι ἐς τὸ πρόσθεν αὐτέων*: sie ziehen den Zaum (*χαλινούς*) vorne über. — *ἄκανθαν*: zu II, 75. — *κάτωθεν δὲ ὑπερέχει . . .*: hier fängt der Nachsatz an; das *δέ* ist also wie I, 112: *iam ab imo pars ligni huius eminet, quam . . .*; *τοῦ ξύλου τούτου* ist

λου τούτου τὸ ἐς τόρμον πηγνύουσι τοῦ ἑτέρου ξύλου τοῦ διὰ τοῦ ἵππου. ἐπιστήσαντες δὲ κύκλῳ τὸ σῆμα ἱππέας τοιούτους ἀπελαύνουσι. οὕτω μὲν τοὺς βασιλέας θάπτου- 73
σι· τοὺς δὲ ἄλλους Σκύθας, ἐπεὰν ἀποθάνωσι, περιάγουσι οἱ ἀγχοτάτω προσήκοντες κατὰ τοὺς φίλους ἐν ἁμάξῃσι κειμένους, τῶν δὲ ἕκαστος ὑποδεκόμενος εὐωχέει τοὺς ἑπομένους, καὶ τῷ νεκρῷ πάντων παρατιθεῖ τῶν καὶ τοῖσι ἄλλοισι. ἡμέρας δὲ τεσσεράκοντα οὕτω οἱ ἰδιῶται περιάγονται, ἔπειτα θάπτονται. θάψαντες δὲ οἱ Σκύθαι καθαίρονται τρόπῳ τοιῷδε. σμησάμενοι τὰς κεφαλὰς καὶ ἐκπλυνάμενοι ποιεῦσι περὶ τὸ σῶμα τάδε· ἐπεὰν ξύλα στήσωσι τρία ἐς ἄλληλα κεκλιμένα, περὶ ταῦτα πίλους εἰρινέους περιτείνουσι, συμφράξαντες δὲ ὡς μάλιστα λίθους ἐκ πυρὸς διαφανέας ἐσβάλλουσι ἐς σκάφην κειμένην ἐν μέσῳ τῶν ξύλων τε καὶ τῶν πίλων. ἔστι δέ σφι κάνναβις φυομένη ἐν 74
τῇ χώρῃ πλὴν παχύτητος καὶ μεγάθεος τῷ λίνῳ ἐμφερεστάτη· ταύτῃ δὲ πολλῷ ὑπερφέρει ἡ κάνναβις. αὕτη καὶ αὐτομάτη καὶ σπειρομένη φύεται, καὶ ἐξ αὐτῆς Θρήικες μὲν καὶ εἵματα ποιεῦνται τοῖσι λινέοισι ὁμοιότατα· οὐδ᾽ ἄν, ὅστις μὴ κάρτα τρίβων εἴη αὐτῆς, διαγνοίη λίνου ἢ καννάβιος ἐστί· ὃς δὲ μὴ εἶδέ κω τὴν κανναβίδα, λίνεον δοκή- 75
σει εἶναι τὸ εἷμα. ταύτης ὦν οἱ Σκύθαι τῆς καννάβιος τὸ σπέρμα ἐπεὰν λάβωσι, ὑποδύνουσι ὑπὸ τοὺς πίλους, καὶ ἔπειτα ἐπιβάλλουσι τὸ σπέρμα ἐπὶ τοὺς διαφανέας λίθους τῷ πυρί· τὸ δὲ θυμιᾶται ἐπιβαλλόμενον, καὶ ἀτμίδα παρέ-

der *gen. part.* — *τὸ σῆμα:* hängt ab von *ἐπιστήσαντες*, was construirt ist etwa wie *περιστήσαντες*, oder wie im Lateinischen *militem pontem transducit*.

C. 73. *κειμένους:* geht ja nicht auf *φίλους*. — *ὑποδεκόμενος:* zu I, 41. — *οἱ ἰδιῶται:* Gegensatz *οἱ βασιλέες*. — *ἐς ἄλληλα κεκλιμένα*: mit der Spitze aneinander gelehnt. — *πίλους*: zu III, 12. Man hat sich also eine Art Zelte darunter zu denken. — *συμφράξαντες:* nämlich *τοὺς πίλους*. — *ἐκ πυρός:* statt dessen steht Cap. 75 *πυρί*. — *διαφανέας*: zu II, 92.

C. 74. *ταύτῃ*: dadurch, nämlich durch Dicke und Grösse. — *Θρήικες μέν*: der Gegensatz scheint zu sein *ἄλλοι δὲ οὔ*, also wie I, 68, und dieser Gedanke liegt mit involvirt in den folgenden Bemerkungen, die mit *οὐδ᾽ ἄν* und *ὃς δὲ μή* anfangen. — *τρίβων*: wie *tritus* i. e. *peritus*, gerieben.

C. 75. *πίλους*: zu III, 12. — *διαφανέας*: zu II, 92. — *θυμιᾶ-*

χεται τοσαύτην ὥστε Ἑλληνικὴ οὐδεμία ἄν μιν πυρίη ἀποκρατήσειε. οἱ δὲ Σκύθαι ἀγάμενοι τῇ πυρίῃ ὠρύονται. τοῦτό σφι ἀντὶ λουτροῦ ἐστί· οὐ γὰρ δὴ λοῦνται ὕδατι τὸ παράπαν τὸ σῶμα. αἱ δὲ γυναῖκες αὐτέων ὕδωρ παραχέουσαι κατασώχουσι περὶ λίθον τρηχὺν τῆς κυπαρίσσου καὶ κέδρου καὶ λιβάνου ξύλον, καὶ ἔπειτα τὸ κατασωχόμενον τοῦτο παχὺ ἐὸν καταπλάσσονται πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον· καὶ ἅμα μὲν εὐωδίη σφέας ἀπὸ τούτου ἴσχει, ἅμα δὲ ἀπαιρέουσαι τῇ δευτέρῃ ἡμέρῃ τὴν καταπλαστὺν γίνονται καθαραὶ καὶ λαμπραί.

76 Ξεινικοῖσι δὲ νομαίοισι καὶ οὗτοι αἰνῶς χρᾶσθαι φεύγουσι, μή τοί γε ὦν ἄλλων, Ἑλληνικοῖσι δὲ καὶ ἥκιστα, ὡς διέδεξαν Ἀναχάρσι τε καὶ δεύτερα αὖτις Σκύλῃ. τοῦτο μὲν γὰρ Ἀνάχαρσις ἐπείτε γῆν πολλὴν θεωρήσας καὶ ἀποδεξάμενος κατ᾽ αὐτὴν σοφίην πολλὴν ἐκομίζετο ἐς ἤθεα τὰ Σκυθέων, πλέων δὲ δι᾽ Ἑλλησπόντου προσίσχει ἐς Κύζικον, καὶ εὗρε γὰρ τῇ μητρὶ τῶν θεῶν ἀνάγοντας τοὺς Κυζικηνοὺς ὁρτὴν κάρτα μεγαλοπρεπέως, εὔξατο τῇ μητρὶ ὁ Ἀνάχαρσις, ἢν σῶς καὶ ὑγιὴς ἀπονοστήσῃ ἐς ἑωυτοῦ, θύσειν τε

ται: zu III, 107. — *ἀγάμενοι*: Freude habend an, in diesem Sinne nur hier, wie Xen. Cyr. 6, 4, 9 u. 2, 4, 9, auch mit dem Dativ; sonst bewundern, mit dem Gen. der Person und dem Acc. der Sache IV, 46. 157. VI, 76. VIII, 144. IX, 79. — *ὠρύονται*: zu III, 117. — *τῆς κυπαρίσσου*: *Gen. part.* ein Stück von ... — *τὸ κατασωχόμενον ... πᾶν τὸ σῶμα*· der doppelte Accusativ scheint aus der Mischung zweier Constructionen entstanden zu sein, nämlich *καταπλάσσειν τί τινος* und *καταπλάσσειν τινά τινι.*

C. 76. *καὶ οὗτοι*: mit Bezug namentlich auf die Aegypter; vgl. II, 91. — *αἰνῶς*: zu IV, 52. — *μή τοί γε ὦν ἄλλων* ...: Hermann ad Viger. p. 804: "*Locus difficilior est, quod μή et ἥκιστα dicuntur non ad verbum φεύγουσι, sed ad sententiam, quae est οὐ χρῶνται, relata. Germanice vim particularum sic exprimas:* sie bedienen sich keiner fremden Einrichtungen, wirklich nicht einmal anderer Völker, der Griechen aber am wenigsten." — *Ἀναχάρσι*: A. aus königl. Geschlechte, lebte zu Solon's Zeit. — *τοῦτο μέν*: dem entspricht *πολλοῖσι δὲ κάρτα ἔτεσι ὕστερον* am Anfang des C. 78. — *γῆν πολλήν*: zu I, 30. — *κατ᾽ αὐτήν*: nämlich *γῆν*. — *ἐκομίζετο*: *de conatu*, wie I, 68. — *ἤθεα*: zu I, 15. — *πλέων δέ*: hier fängt der Nachsatz an, also *δέ in apodosi*, gerade wie C. 72; zu I, 112. — *εὗρε γάρ*: die Partikel giebt den Grund zu *εὔξατο* an. — *Ὑλαίην*: zu

κατὰ ταὐτὰ κατ' ἃ ὥρα τοὺς Κυζικηνοὺς ποιεῦντας καὶ παννυχίδα στήσειν. ὡς δὲ ἀπίκετο ἐς τὴν Σκυθικήν, καταδὺς ἐς τὴν καλεομένην Ὑλαίην (ἡ δ' ἔστι μὲν παρὰ τὸν Ἀχιλλήιον δρόμον, τυγχάνει δὲ πᾶσα ἐοῦσα δενδρέων παντοίων πλέη) ἐς ταύτην δὴ καταδὺς ὁ Ἀνάχαρσις τὴν ὁρτὴν πᾶσαν ἐπετέλεε τῇ θεῷ, τύμπανόν τε ἔχων καὶ ἐκδησάμενος ἀγάλματα. καὶ τῶν τις Σκυθέων καταφρασθεὶς αὐτὸν ταῦτα ποιεῦντα ἐσήμηνε τῷ βασιλέι Σαυλίῳ· ὁ δὲ καὶ αὐτὸς ἀπικόμενος ὡς εἶδε τὸν Ἀνάχαρσιν ποιεῦντα ταῦτα, τοξεύσας αὐτὸν ἀπέκτεινε. καὶ νῦν ἤν τις εἴρηται περὶ Ἀναχάρσιος, οὔ φασί μιν Σκύθαι γινώσκειν, διὰ τοῦτο ὅτι ἐξεδήμησέ τε ἐς τὴν Ἑλλάδα καὶ ξεινικοῖσι ἔθεσι διεχρήσατο. ὡς δ' ἐγὼ ἤκουσα Τίμνεω τοῦ Ἀριαπείθεος ἐπιτρόπου, εἶναι αὐτὸν Ἰδανθύρσου τοῦ Σκυθέων βασιλέος πάτρων, παῖδα δὲ εἶναι Γνούρου τοῦ Λύκου τοῦ Σπαργαπείθεος. εἰ ὦν ταύτης ἦν τῆς οἰκίης ὁ Ἀνάχαρσις, ἴστω ὑπὸ τοῦ ἀδελφεοῦ ἀποθανών· Ἰδάνθυρσος γὰρ ἦν παῖς Σαυλίου, Σαύλιος δὲ ἦν ὁ ἀποκτείνας Ἀνάχαρσιν. καίτοι τινὰ 77
ἤδη ἤκουσα λόγον ἄλλον ὑπὸ Πελοποννησίων λεγόμενον, ὡς ὑπὸ τοῦ Σκυθέων βασιλέος Ἀνάχαρσις ἀποπεμφθεὶς τῆς Ἑλλάδος μαθητὴς γένοιτο, ὀπίσω τε ἀπονοστήσας φαίη πρὸς τὸν ἀποπέμψαντα Ἕλληνας πάντας ἀσχόλους εἶναι ἐς πᾶσαν σοφίην πλὴν Λακεδαιμονίων, τούτοισι δὲ εἶναι μούνοισι σωφρόνως δοῦναί τε καὶ δέξασθαι λόγον. ἀλλ' οὗτος μὲν ὁ λόγος ἄλλως πέπαισται ὑπ' αὐτῶν Ἑλλήνων, ὁ δ' ὦν ἀνὴρ ὥσπερ πρότερον εἰρέθη διεφθάρη.

Οὗτος μέν νυν οὕτω δή τι ἔπρηξε διὰ ξεινικά τε νόμαια.

IV, 9. — τὸν Ἀχιλλήιον δρόμον: zu IV, 55. — ἐς ταύτην δὴ . . .: pleonastisch wie II, 13. — ἐκδησάμενος ἀγ.: nachdem er sich heilige Bilderchen umgehenkt hatte. — ὡς . . . εἶναι αὐτόν: zu I, 191.

C. 77. ἀσχόλους εἶναι ἐς π. σ.: *in omni genere litterarum artiumque occupari.* ἄσχολος eigentl. ohne Musse = beschäftigt. — τούτοισι δὲ εἶναι μούνοισι: *hos vero solos id habere, ut* . . . — ἄλλως πέπαισται: *temere per ludum narratur.* — οὗτος μέν νυν: Wiederholung von τοῦτο μὲν γάρ im Anfang des C. 76. — οὕτω δὴ ἔπρηξε: zu III, 25.

78 καὶ Ἑλληνικὰς ὁμιλίας, πολλοῖσι δὲ κάρτα ἔτεσι ὕστερον Σκύλης ὁ Ἀριαπείθεος ἔπαθε παραπλήσια τούτῳ. Ἀριαπείθεϊ γὰρ τῷ Σκυθέων βασιλέι γίνεται μετ' ἄλλων παίδων Σκύλης· ἐξ Ἰστριηνῆς δὲ γυναικὸς οὗτος γίνεται καὶ οὐδαμῶς ἐγχωρίης· τὸν ἡ μήτηρ αὕτη γλῶσσάν τε Ἑλλάδα καὶ γράμματα ἐδίδαξε. μετὰ δὲ χρόνῳ ὕστερον Ἀριαπείθης μὲν τελευτᾷ δόλῳ ὑπὸ Σπαργαπείθεος τοῦ Ἀγαθύρσων βασιλέος, Σκύλης δὲ τήν τε βασιληίην παρέλαβε καὶ τὴν γυναῖκα τοῦ πατρός, τῇ οὔνομα ἦν Ὀποίη· ἦν δὲ αὕτη ἡ Ὀποίη ἀστή, ἐξ ἧς ἦν Ὄρικος Ἀριαπείθεϊ παῖς. βασιλεύων δὲ Σκυθέων ὁ Σκύλης διαίτῃ οὐδαμῶς ἠρέσκετο Σκυθικῇ, ἀλλὰ πολλὸν πρὸς τὰ Ἑλληνικὰ μᾶλλον τετραμμένος ἦν ἀπὸ παιδεύσιος τῆς ἐπεπαίδευτο, ἐποίεέ τε τοιοῦτο· εὖτε ἀγάγοι τὴν στρατιὴν τὴν Σκυθέων ἐς τὸ Βορυσθενεϊτέων ἄστυ (οἱ δὲ Βορυσθενεῖται οὗτοι λέγουσι σφέας αὐτοὺς εἶναι Μιλησίους), ἐς τούτους ὅκως ἔλθοι ὁ Σκύλης, τὴν μὲν στρατιὴν καταλείπεσκε ἐν τῷ προαστείῳ, αὐτὸς δὲ ὅκως ἔλθοι ἐς τὸ τεῖχος καὶ τὰς πύλας ἐγκληίσειε, τὴν στολὴν ἀποθέμενος τὴν Σκυθικὴν λάβεσκε ἂν Ἑλληνίδα ἐσθῆτα, ἔχων δ' ἂν ταύτην ἠγόραζε οὔτε δορυφόρων ἑπομένων οὔτε ἄλλου οὐδενός (τὰς δὲ πύλας ἐφύλασσον, μή τίς μιν Σκυθέων ἴδοι ἔχοντα ταύτην τὴν στολήν), καὶ τἆλλα ἐχρᾶτο διαίτῃ Ἑλληνικῇ, καὶ θεοῖσι ἱρὰ ἐποίεε κατὰ νόμους τοὺς Ἑλλήνων. ὅτε δὲ διατρίψειε μῆνα ἢ πλέον τούτου, ἀπαλλάσσετο ἐνδὺς τὴν Σκυθικὴν στολήν. ταῦτα ποιέεσκε πολλάκις, καὶ οἰκία τε ἐδείματο ἐν Βορυσθένεϊ καὶ γυναῖκα

C. 78. Ἰστριηνῆς: aus Istria an der Donaumündung, einer Colonie der Milesier; vgl. II, 33. — αὕτη: sollte nicht αὐτή vorzuziehen sein, was Eltz S. 134 nach cod. S. vorgeschlagen hat? — ἀστή = ἐγχωρίη, Gegensatz ξείνη. — εὖτε = ὅτε, nur noch II, 63. VI, 27. VII, 193. 209. — ἐς τὸ Β. ἄστυ: dieselbe, die er am Ende des C. Βορυσθένης nennt, und C. 17 τὸ Β. ἐμπόριον genannt hat, also Olbia. Steph. Byz. s. v. Βορυσθένης, πόλις καὶ ποταμὸς τοῦ Πόντου παρὰ τὴν Μαιῶτιν λίμνην καὶ Τάναϊν τὸν ποταμόν. ἔστι δὲ πόλις Ἑλληνίς, Μιλησίων ἀποικία, ἣν οἱ μὲν ἄλλοι Βορυσθένην (καλοῦσιν) αὐτοὶ δὲ Ὀλβίαν. — ἐς τούτους: wie II, 13. — τὴν στολήν: zu I, 80. — λάβεσκε ἄν: zu I, 42. — ἔχων δ' ἄν: ἄν gehört zu ἠγόραζε. Zu IV, 42. — ἠγόραζε: zu III, 139. — ἐφύλασσον:

ἔγημε ἐς αὐτὰ ἐπιχωρίην. ἐπείτε δὲ ἔδεέ οἱ κακῶς γενέσθαι, 79
ἐγένετο ἀπὸ προφάσιος τοιῆσδε. ἐπεθύμησε Διονύσῳ
Βακχείῳ τελεσθῆναι, μέλλοντι δέ οἱ ἐς χεῖρας ἄγεσθαι τὴν
τελετὴν ἐγένετο φάσμα μέγιστον. ἦν οἱ ἐν Βορυσθενεϊτέων
τῇ πόλι οἰκίης μεγάλης καὶ πολυτελέος περιβολή, τῆς καὶ
ὀλίγον τι πρότερον τουτέων μνήμην εἶχον, τὴν πέριξ λευκοῦ
λίθου σφίγγες τε καὶ γρῦπες ἕστασαν· ἐς ταύτην ὁ θεὸς
ἐνέσκηψε βέλος. καὶ ἡ μὲν κατεκάη πᾶσα. Σκύλης δὲ οὐδὲν
τούτου εἵνεκα ἧσσον ἐπετέλεσε τὴν τελετήν. Σκύθαι δὲ τοῦ
βακχεύειν πέρι Ἕλλησι ὀνειδίζουσι· οὐ γάρ φασι οἰκὸς
εἶναι θεὸν ἐξευρίσκειν τοῦτον ὅστις μαίνεσθαι ἐνάγει
ἀνθρώπους. ἐπείτε δὲ ἐτελέσθη τῷ Βακχείῳ ὁ Σκύλης,
διεδρηπέτευσε τῶν τις Βορυσθενεϊτέων πρὸς τοὺς Σκύθας,
λέγων "ἡμῖν γὰρ καταγελᾶτε, ὦ Σκύθαι, ὅτι βακχεύομεν
καὶ ἡμέας ὁ θεὸς λαμβάνει· νῦν οὗτος ὁ δαίμων καὶ τὸν
ὑμέτερον βασιλέα λελάβηκε, καὶ βακχεύει καὶ ὑπὸ τοῦ θεοῦ
μαίνεται. εἰ δέ μοι ἀπιστέετε, ἕπεσθε, καὶ ὑμῖν ἐγὼ δεί-
ξω." εἵποντο τῶν Σκυθέων οἱ προεστεῶτες καὶ αὐτοὺς ἀνα-
γαγὼν ὁ Βορυσθενεΐτης λάθρῃ ἐπὶ πύργον κατῖσε. ἐπείτε
δὲ παρήιε σὺν τῷ θιάσῳ ὁ Σκύλης καὶ εἶδόν μιν βακχεύον-
τα οἱ Σκύθαι, κάρτα συμφορὴν μεγάλην ἐποιήσαντο, ἐξελ-
θόντες δὲ ἐσήμαινον πάσῃ τῇ στρατιῇ τὰ ἴδοιεν. ὡς δὲ 80
μετὰ ταῦτα ἐξήλαυνε ὁ Σκύλης ἐς ἤθεα τὰ ἑωυτοῦ, οἱ Σκύ-
θαι προστησάμενοι τὸν ἀδελφεὸν αὐτοῦ Ὀκταμασάδην, γε-
γονότα ἐκ τῆς Τήρεω θυγατρός, ἐπανιστέατο τῷ Σκύλῃ.

man bewachte. — *γυναῖκα ἔγημε ἐς αὐτά* = *γυν. ἔγ. καὶ ἠγάγετο ἐς αὐτά*, wie IX, 108 steht. Lysias de caed. Eratosth. 2 *ἔδοξέ μοι γῆμαι καὶ γυναῖκα ἠγαγόμην εἰς τὴν οἰκίαν.*

C. 79. *ἔδεε:* so wie *χρή* (zu I, 8) von den Bestimmungen des Fatums; noch II, 161. V, 92, 4. IX, 109. — *ἐς χεῖρας ἄγεσθαι:* zu I, 126. — *ὀλίγον τι πρότερον:* nämlich im vorigen Cap. — *πέριξ:* zu IV, 15. — *ἐνέσκηψε:* zu I, 105. — *ἐξευρίσκειν:* sich zu denken. — *μαίνεσθαι:* locker angefügt wie II, 79. — *διεδρηπέτευσε:* *transfugit*, nach Dindorf's Verbesserung. *δρηπέτης* *transfuga*, kommt III, 137 u. VI, 11 vor. — *λαμβάνει:* wie *φοιβόλαμπτος* IV, 13. — *συμφορήν:* zu I, 32.

C. 80. *ἤθεα:* zu I, 15. — *προστησάμενοι:* nachdem sie über sich (zu ihrem Könige) eingesetzt hatten. — *ἐκ τῆς Τήρεω θυγατρός:* Teres war König

ὁ δὲ μαθὼν τὸ γινόμενον ἐπ᾽ ἑωυτῷ καὶ τὴν αἰτίην δι᾽ ἣν ἐποιέετο, καταφεύγει ἐς τὴν Θρηίκην. πυθόμενος δὲ ὁ Ὀκταμασάδης ταῦτα ἐστρατεύετο ἐπὶ τὴν Θρηίκην. ἐπείτε δὲ ἐπὶ τῷ Ἴστρῳ ἐγένετο, ἠντίασάν μιν οἱ Θρήικες, μελλόντων δὲ αὐτέων συνάψειν ἔπεμψε Σιτάλκης παρὰ τὸν Ὀκταμασάδην λέγων τοιάδε. "τί δεῖ ἡμέας ἀλλήλων πειρηθῆναι; εἷς μέν μευ τῆς ἀδελφεῆς παῖς, ἔχεις δέ μευ ἀδελφεόν. σύ τ᾽ ἐμοὶ ἀπόδος τοῦτον, καὶ ἐγὼ σοὶ τὸν σὸν Σκύλην παραδίδωμι· στρατιῇ δὲ μήτε σὺ κινδυνεύσῃς μήτ᾽ ἐγώ." ταῦτά οἱ πέμψας ὁ Σιτάλκης ἐπεκηρυκεύετο· ἦν γὰρ παρὰ τῷ Ὀκταμασάδῃ ἀδελφεὸς Σιτάλκεω πεφευγὼς τοῦτον. ὁ δὲ Ὀκταμασάδης καταινέει ταῦτα, ἐκδοὺς δὲ τὸν ἑωυτοῦ μήτρωα Σιτάλκῃ ἔλαβε τὸν ἀδελφεὸν Σκύλην. καὶ Σιτάλκης μὲν παραλαβὼν τὸν ἀδελφεὸν ἀπήγετο, Σκύλεω δὲ Ὀκταμασάδης αὐτοῦ ταύτῃ ἀπέταμε τὴν κεφαλήν. οὕτω μὲν περιστέλλουσι τὰ σφέτερα νόμαια Σκύθαι, τοῖσι δὲ παρακτωμένοισι ξεινικοὺς νόμους τοιαῦτα ἐπιτίμια διδοῦσι.

81 Πλῆθος δὲ τὸ Σκυθέων οὐκ οἷός τε ἐγενόμην ἀτρεκέως πυθέσθαι, ἀλλὰ διαφόρους λόγους περὶ τοῦ ἀριθμοῦ ἤκουον· καὶ γὰρ κάρτα πολλοὺς εἶναί σφεας καὶ ὀλίγους ὡς Σκύθας εἶναι. τοσόνδε μέντοι ἀπέφαινόν μοι ἐς ὄψιν. ἔστι μεταξὺ Βορυσθένεός τε ποταμοῦ καὶ Ὑπάνιος χῶρος, οὔνομα δέ οἵ ἐστι Ἐξαμπαῖος· τοῦ καὶ ὀλίγον τι πρότερον τούτων μνήμην εἶχον, φάμενος ἐν αὐτῷ κρήνην ὕδατος πικροῦ εἶναι ἀπ᾽ ἧς τὸ ὕδωρ ἀπορρέον τὸν Ὕπανιν ἄποτον

von Thracien (vgl. Thuc. II, 29, 1), und, wie es sich aus der Erzählung ergiebt, Vater des Sitalkes; sollte die hier gemeinte Tochter des Teres nicht dieselbe Frau des Ariapeithes sein, welche C. 78 als Mutter des Skyles bezeichnet ist (*ἐξ Ἰστριηνῆς δὲ γυναικὸς οὗτος γίνεται*), so dass Skyles und Octamasades nicht blos von demselben Vater sondern auch von derselben Mutter wären? — *ἐς τὴν Θρηίκην*: nämlich zu Sitalkes, seinem mütterlichen Oheim, in der Hoffnung, Hülfe bei ihm zu finden. — *ἠντίασαν*: zu II, 141. — *συνάψειν*: zu I, 18. — *ἐπεκηρυκεύετο*: zu I, 69. — *αὐτοῦ ταύτῃ*: zu I, 189. — *περιστέλλουσι*: zu I, 98.

C. 81. *ὡς Σκύθας εἶναι*: **was eigentliche Skythen sind**; nähere Bestimmung von *ὀλίγους*. Gerade so II, 8 *ὡς Αἰγύπτου εἶναι*. — *πρότερον τούτων*: nämlich IV, 52. — *χαλκήιον*: nicht wie I, 68

ποιέειν. ἐν τούτῳ τῷ χώρῳ κέεται χαλκήιον, μεγάθεϊ καὶ ἑξαπλήσιον τοῦ ἐπὶ στόματι τοῦ Πόντου κρητῆρος, τὸν Παυσανίης ὁ Κλεομβρότου ἀνέθηκε. ὃς δὲ μὴ εἶδέ κω τοῦτον, ὧδε δηλώσω· ἑξακοσίους ἀμφορέας εὐπετέως χωρέει τὸ ἐν Σκύθῃσι χαλκήιον, πάχος δὲ τὸ Σκυθικὸν τοῦτο χαλκήιόν ἐστι δακτύλων ἕξ. τοῦτο ὦν ἔλεγον οἱ ἐπιχώριοι ἀπ' ἀρδίων γενέσθαι. βουλόμενον γὰρ τὸν σφέτερον βασιλέα, τῷ οὔνομα εἶναι Ἀριαντάν, τοῦτον εἰδέναι τὸ πλῆθος τὸ Σκυθέων κελεύειν μιν πάντας Σκύθας ἄρδιν ἕκαστον μίαν ἀπὸ τοῦ ὀιστοῦ κομίσαι· ὃς δ' ἂν μὴ κομίσῃ, θάνατον ἀπείλεε. κομισθῆναί τε δὴ χρῆμα πολλὸν ἀρδίων, καί οἱ δόξαι ἐξ αὐτέων μνημόσυνον ποιήσαντι λιπέσθαι· ἐκ τουτέων δή μιν τὸ χαλκήιον ποιῆσαι τοῦτο καὶ ἀναθεῖναι ἐς τὸν Ἐξαμπαῖον τοῦτον. ταῦτα δὴ περὶ τοῦ πλήθεος τοῦ 82
Σκυθέων ἤκουον. θωυμάσια δὲ ἡ χώρη αὕτη οὐκ ἔχει, χωρὶς ἢ ὅτι ποταμούς τε πολλῷ μεγίστους καὶ ἀριθμὸν πλείστους. τὸ δὲ ἀποθωυμάσαι ἄξιον καὶ πάρεξ τῶν ποταμῶν καὶ τοῦ μεγάθεος τοῦ πεδίου παρέχεται, εἰρήσεται· ἴχνος Ἡρακλέος φαίνουσι ἐν πέτρῃ ἐνεόν, τὸ οἶκε μὲν βήματι ἀνδρός, ἔστι δὲ τὸ μέγαθος δίπηχυ, παρὰ τὸν Τύρην ποταμόν. τοῦτο μέν νυν τοιοῦτό ἐστι, ἀναβήσομαι δὲ ἐς τὸν κατ' ἀρχὰς ἤια λέξων λόγον.

Παρασκευαζομένου Δαρείου ἐπὶ τοὺς Σκύθας, καὶ ἐπι- 83
πέμποντος ἀγγέλους ἐπιτάξοντας τοῖσι μὲν πεζὸν στρατόν, τοῖσι δὲ νέας παρέχειν, τοῖσι δὲ ζευγνύναι τὸν Θρηίκιον Βόσπορον, Ἀρτάβανος ὁ Ὑστάσπεος, ἀδελφεὸς ἐὼν Δαρείου, ἐχρήιζε μηδαμῶς αὐτὸν στρατηίην ἐπὶ Σκύθας ποιέεσθαι,

Schmiede, sondern ein eherner Kessel; so noch IV, 152. — *ἐπὶ τῷ στόματι τοῦ Πόντου*: an dem thrakischen Bosporus. — *Παυσανίης*: der Sieger bei Plataeae. — *ἑξακοσίους ἀμφορέας*: gerade so viel fasste der silberne Mischkessel, den Krösus nach Delphi schickte (I, 51). — *ἀρδίων*: zu I, 215. — *τῷ . . . εἶναι*: zu I, 24. — *τοῦτον*: pleonastisch wie II, 13. — *μιν*: pleonastisch, nimmt *τοῦτον* wieder auf, gerade wie I, 82. — *χρῆμα πολλόν*: ähnlich I, 36. III, 109 130.

C. 82. *καὶ πάρεξ*: **auch** ausser. — *παρέχεται*: Subject *ἡ χώρη αὕτη*. — *δίπηχυ*: so II, 91 *τὸ δίπηχυ σανδάλιον* des Perseus. — *κατ' ἀρχάς*: nämlich IV, 1. — *ἤια λέξων*: wie *ἔρχομαι ἐρέων* I, 5.

καταλέγων τῶν Σκυθέων τὴν ἀπορίην. ἀλλ' οὐ γὰρ ἔπειθε συμβουλεύων οἱ χρηστά, ὁ μὲν ἐπέπαυτο, ὁ δέ, ἐπειδή οἱ
84 τὰ πάντα παρεσκεύαστο, ἐξήλαυνε τὸν στρατὸν ἐκ Σούσων. ἐνθαῦτα τῶν Περσέων Οἰόβαζος ἐδεήθη Δαρείου τριῶν ἐόντων οἱ παίδων καὶ πάντων στρατευομένων ἕνα αὐτῷ καταλειφθῆναι. ὁ δέ οἱ ἔφη ὡς φίλῳ ἐόντι καὶ μετρίων δεομένῳ πάντας τοὺς παῖδας καταλείψειν. ὁ μὲν δὴ Οἰόβαζος περιχαρὴς ἦν, ἐλπίζων τοὺς υἱέας στρατηίης ἀπολελύσθαι· ὁ δὲ ἐκέλευσε τοὺς ἐπὶ τουτέων ἐπεστεῶτας ἀποκτεῖναι πάντας τοὺς Οἰοβάζου παῖδας. καὶ οὗτοι μὲν
85 ἀποσφαγέντες αὐτοῦ ταύτῃ ἐλείποντο· Δαρεῖος δὲ ἐπείτε πορευόμενος ἐκ Σούσων ἀπίκετο τῆς Καλχηδονίης ἐπὶ τὸν Βόσπορον, ἵνα ἔζευκτο ἡ γέφυρα ἐνθεῦτεν ἐσβὰς ἐς νέα ἔπλεε ἐπὶ τὰς Κυανέας καλευμένας, τὰς πρότερον πλαγκτὰς Ἕλληνές φασι εἶναι, ἑζόμενος δὲ ἐπὶ τῷ ἱρῷ ἐθηεῖτο τὸν Πόντον ἐόντα ἀξιοθέητον. πελαγέων γὰρ ἁπάντων πέφυκε θωυμασιώτατος· τοῦ τὸ μὲν μῆκός εἰσι στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοι, τὸ δὲ εὖρος, τῇ εὐρύτατος αὐτὸς ἑωυτοῦ, στάδιοι τριηκόσιοι καὶ τρισχίλιοι. τούτου τοῦ πελάγεος τὸ στόμα ἐστὶ εὖρος τέσσερες στάδιοι· μῆκος δὲ τοῦ στόματος, ὁ αὐχήν, τὸ δὴ Βόσπορος κέκληται, κατ' ὃ δὴ ἔζευκτο ἡ γέφυρα, ἐπὶ σταδίους εἴκοσι καὶ ἑκατόν ἐστι.

C. 83. *οὐ γάρ*: die Partikel giebt den Grund zu *ἐπέπαυτο* an. Gerade so II, 116. IX, 109. Vgl. auch II, 120.

C. 84. *τοὺς ἐπὶ τουτέων ἐπεστεῶτας*: *quorum id officium erat*, wie VII, 117 *τὸν ἐπεστεῶτα τῆς διώρυχος praefectum fossae*; ähnlich II, 148. (Gleichbedeutende Redeweisen sind *οὗτοι τοῖσι προσέκειτο* I, 149; *οἵ περ ἐτετάχατο ἐπ' αὐτῷ τούτῳ* I, 191; *τοῖσι ταῦτα πρήσσουσι* III, 29; *τοῖσι προσετέτακτο ταῦτα πρήσσειν* VII, 39). Ein Beispiel ähnlicher Grausamkeit wird von Xerxes erzählt VII, 38 und 39. — *αὐτοῦ ταύτῃ*: zu I, 189.

C. 85. *τὰς Κυανέας*: nämlich *πέτρας*, nach dem Schol. zu Apollon. Rhod. 2, 318 so genannt von ihrer Farbe, zwei kleine Felsen oder Inseln am Eingange aus dem thrakischen Bosporus in den Pontus Euxinus, bekannt aus der Fahrt der Argonauten als sehr gefährlich für die Seefahrer, indem sie sich einander näherten (daher auch *Πλαγκταί* die Irrenden genannt), und Alles, was hindurch wollte, zertrümmerten, (daher hiessen sie auch *Συμπληγάδες* die Zusammenstossenden). Erst dann, als die Argo glücklich durchfuhr, wurden sie fest. — *ἐπὶ τῷ ἱρῷ*: zu IV, 87. — *ἑωυτοῦ*: zu I, 193. —

τείνει δ' ἐς τὴν Προποντίδα ὁ Βόσπορος. ἡ δὲ Προποντὶς ἐοῦσα εὖρος μὲν σταδίων πεντακοσίων, μῆκος δὲ τετρακοσίων καὶ χιλίων, καταδιδοῖ ἐς τὸν Ἑλλήσποντον ἐόντα στεινότητα μὲν ἑπτὰ σταδίους, μῆκος δὲ τετρακοσίους. ἐκδιδοῖ δὲ ὁ Ἑλλήσποντος ἐς χάσμα πελάγεος. τὸ δὴ Αἰγαῖον καλέεται. μεμέτρηται δὲ ταῦτα ὧδε. νηῦς ἐπίπαν μάλιστά 86
κῃ κατανύει ἐν μακρημερίῃ ὀργυιὰς ἑπτακισμυρίας, νυκτὸς δὲ ἑξακισμυρίας. ἤδη ὦν ἐς μὲν Φᾶσιν ἀπὸ τοῦ στόματος (τοῦτο γάρ ἐστι τοῦ Πόντου μακρότατον) ἡμερέων ἐννέα πλόος ἐστὶ καὶ νυκτῶν ὀκτώ· αὗται ἕνδεκα μυριάδες καὶ ἑκατὸν ὀργυιέων γίνονται, ἐκ δὲ τῶν ὀργυιέων τουτέων στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοί εἰσι. ἐς δὲ Θεμισκύρην τὴν ἐπὶ Θερμώδοντι ποταμῷ ἐκ τῆς Σινδικῆς (κατὰ τοῦτο γάρ ἐστι τοῦ Πόντου εὐρύτατον) τριῶν τε ἡμερέων καὶ δύο νυκτῶν πλόος· αὗται δὲ τρεῖς μυριάδες καὶ τριήκοντα ὀργυιέων γίνονται, στάδιοι δὲ τριηκόσιοι καὶ τρισχίλιοι. ὁ μέν νυν Πόντος οὗτος καὶ Βόσπορός τε καὶ Ἑλλήσποντος οὕτω τέ μοι μεμετρέαται καὶ κατὰ τὰ εἰρημένα πεφύκασι, παρέχεται δὲ καὶ λίμνην ὁ Πόντος ἐκδιδοῦσαν ἐς ἑωυτὸν οὐ πολλῷ τέῳ ἐλάσσω ἑωυτοῦ, ἣ Μαιῆτίς τε καλέεται καὶ μήτηρ τοῦ Πόντου.

Ὁ δὲ Δαρεῖος ὡς ἐθεήσατο τὸν Πόντον, ἔπλεε ὀπίσω 87
ἐπὶ τὴν γέφυραν, τῆς ἀρχιτέκτων ἐγένετο Μανδροκλέης Σάμιος· θεησάμενος δὲ καὶ τὸν Βόσπορον στήλας ἔστησε δύο ἐπ' αὐτῷ λίθου λευκοῦ, ἐνταμὼν γράμματα ἐς μὲν τὴν Ἀσσύρια ἐς δὲ τὴν Ἑλληνικά, ἔθνεα πάντα ὅσα περ ἦγε. ἦγε δὲ πάντα τῶν ἦρχε· τουτέων μυριάδες ἐξηριθμήθησαν,

καταδιδοῖ = dem folgenden ἐκδιδοῖ.

C. 86. *ἐπίπαν*: zu IV, 68. — *τῆς Σινδικῆς*: zu IV, 28. — *ὁ μέν νυν Πόντος:* resumirende Bemerkung, wodurch das Resultat und der Zweck des eingeschobenen Excurses zusammengefasst und der weiteren Erzählung entgegengesetzt wird. Diese schreitet auch mit C. 87 *ὁ δὲ Δαρεῖος* fort, so dass der Schluss von C. 86 *παρέχεται δὲ*... mehr als eine nachträgliche Bemerkung zum Vorhergehenden anzusehen ist.

C. 87. *ἐνταμὼν γράμματα . . . ἔθνεα* = *ἐγγράψας ἔθνεα*, wie im folgd. Cap. *ζῷα γραψάμενος πᾶσαν τὴν ζεῦξιν* = *ζωγραφήσας π. τ. ζ.* Vollständiger C. 91 *γράμματα*

χωρὶς τοῦ ναυτικοῦ ἑβδομήκοντα σὺν ἱππεῦσι, νέες δὲ ἑξακόσιαι συνελέχθησαν. τῇσα μέν νυν στήλῃσι ταύτῃσι Βυζάντιοι, κομίσαντες ἐς τὴν πόλιν, ὕστερον τουτέων ἐχρήσαντο πρὸς τὸν βωμὸν τῆς Ὀρθωσίης Ἀρτέμιδος, χωρὶς ἑνὸς λίθου· οὗτος δὲ κατελείφθη παρὰ τοῦ Διονύσου τὸν νηὸν ἐν Βυζαντίῳ, γραμμάτων Ἀσσυρίων πλέος. τοῦ δὲ Βοσπόρου ὁ χῶρος τὸν ἔζευξε βασιλεὺς Δαρεῖος, ὡς ἐμοὶ δοκέειν συμβαλλομένῳ, μέσον ἐστὶ Βυζαντίου τε καὶ τοῦ ἐπὶ στόματι ἱροῦ.

88 Δαρεῖος δὲ μετὰ ταῦτα, ἡσθεὶς τῇ σχεδίῃ, τὸν ἀρχιτέκτονα αὐτῆς Μανδροκλέα τὸν Σάμιον ἐδωρήσατο πᾶσι δέκα· ἀπ᾽ ὧν δὴ Μανδροκλέης ἀπαρχήν, ζῷα γραψάμενος πᾶσαν τὴν ζεῦξιν τοῦ Βοσπόρου καὶ βασιλέα τε Δαρεῖον ἐν προεδρίῃ κατήμενον καὶ τὸν στρατὸν αὐτοῦ διαβαίνοντα, ταῦτα γραψάμενος ἀνέθηκε ἐς τὸ Ἥραῖον, ἐπιγράψας τάδε.

Βόσπορον ἰχθυόεντα γεφυρώσας ἀνέθηκε
Μανδροκλέης Ἥρῃ μνημόσυνον σχεδίης,
αὑτῷ μὲν στέφανον περιθείς, Σαμίοισι δὲ κῦδος,
Δαρείου βασιλέος ἐκτελέσας κατὰ νοῦν.

ταῦτα μέν νυν τοῦ ζεύξαντος τὴν γέφυραν μνημόσυνα ἐγέ-
89 νετο, Δαρεῖος δὲ δωρησάμενος Μανδροκλέα διέβαινε ἐς τὴν Εὐρώπην, τοῖσι Ἴωσι παραγγείλας πλέειν ἐς τὸν Πόντον

ἐγγράψας λέγοντα τάδε. — Ὀρθωσίης: Beiname der Artemis bei den Lacedämoniern und Arkadiern, von einem Berge in Arkadien; auch Ὀρθία. Plutarch institt. Lac. pag. 254: οἱ παῖδες ξαινόμενοι μάστιξι δι᾽ ὅλης τῆς ἡμέρας ἐπὶ τοῦ βωμοῦ τῆς Ὀρθίας Ἀρτέμιδος μέχρι θανάτου πολλάκις διακαρτεροῦσιν ἱλαροὶ καὶ γαῦροι ... καὶ ὁ περιγενόμενος ἐν τοῖς μάλιστα ἐπίδοξός ἐστι· καλεῖται δὲ ἡ ἅμιλλα διαμαστίγωσις, γίγνεται δὲ καθ᾽ ἕκαστον ἔτος. Byzantium war eine Colonie von Sparta. — συμβαλλομένῳ: zu I, 68. — τοῦ ἐπὶ στόματι ἱροῦ: Arrian. Peripl. §. 12 κεῖται χωρίον λεγόμενον Ἱερόν, ἐν ᾧ ναός ἐστι Διὸς Οὐρίου οὕτω προσαγορευομένου· τοῦτο δὲ τὸ χωρίον ἀφετήριόν (Platz zum Auslaufen) ἐστι τοῖς εἰς τὸν Πόντον πλέουσιν ... τὸ ἱερὸν τοῦ Διὸς τοῦ Οὐρίου διέχει ἀπὸ Βυζαντίου σταδίους εἴκοσι καὶ ἑκατόν· καὶ ἔστιν στενότατον ταύτῃ τὸ στόμα τοῦ Πόντου καλούμενον καθότι εἰσβάλλει εἰς τὴν Προποντίδα.

C. 88. τῇ σχεδίῃ: an der Schiffsbrücke. — πᾶσι δέκα: denis rebus omnibus; zu I, 50. — ἀπαρχήν: zu IV, 71. — ζῷα γραψάμενος: zu I, 70. — προεδρίῃ: zu I, 54. — τὸ Ἥραῖον: zu III, 60. — περιθείς: zu I, 129.

μέχρι Ἴστρου ποταμοῦ, ἐπεὰν δὲ ἀπίκωνται ἐς τὸν Ἴστρον,
ἐνθαῦτα αὐτὸν περιμένειν ζευγνύντας τὸν ποταμόν· τὸ γὰρ
δὴ ναυτικὸν ἦγον Ἴωνές τε καὶ Αἰολέες καὶ Ἑλλησπόντιοι.
ὁ μὲν δὴ ναυτικὸς στρατὸς τὰς Κυανέας διεκπλώσας ἔπλεε
ἰθὺ τοῦ Ἴστρου, ἀναπλώσας δὲ ἀνὰ τὸν ποταμὸν δυῶν
ἡμερέων πλόον ἀπὸ θαλάσσης, τοῦ ποταμοῦ τὸν αὐχένα,
ἐκ τοῦ σχίζεται τὰ στόματα τοῦ Ἴστρου, ἐζεύγνυε. Δαρεῖος
δὲ ὡς διέβη τὸν Βόσπορον κατὰ τὴν σχεδίην, ἐπορεύετο διὰ
τῆς Θρηίκης, ἀπικόμενος δὲ ἐπὶ Τεάρου ποταμοῦ τὰς πη-
γὰς ἐστρατοπεδεύσατο ἡμέρας τρεῖς. ὁ δὲ Τέαρος λέγεται 90
ὑπὸ τῶν περιοίκων εἶναι ποταμῶν ἄριστος τά τε ἄλλα ἐς
ἄκεσιν φέροντα, καὶ δὴ καὶ ἀνδράσι καὶ ἵπποισι ψώρην
ἀκέσασθαι. εἰσὶ δὲ αὐτοῦ αἱ πηγαὶ δυῶν δέουσαι τεσσερά-
κοντα, ἐκ πέτρης τῆς αὐτῆς ῥέουσαι· καὶ αἱ μὲν αὐτέων
εἰσὶ ψυχραὶ αἱ δὲ θερμαί. ὁδὸς δ' ἐπ' αὐτάς ἐστι ἴση ἐξ
Ἡραίου τε πόλιος τῆς παρὰ Περίνθῳ καὶ ἐξ Ἀπολλωνίης
τῆς ἐν τῷ Εὐξείνῳ πόντῳ, δυῶν ἡμερέων ἑκατέρη. ἐκδιδοῖ
δὲ ὁ Τέαρος οὗτος ἐς τὸν Κοντάδεσδον ποταμόν, ὁ δὲ Κον-
τάδεσδος ἐς τὸν Ἀγριάνην, ὁ δὲ Ἀγριάνης ἐς τὸν Ἕβρον, ὁ
δὲ ἐς θάλασσαν τὴν παρ' Αἴνῳ πόλι. ἐπὶ τοῦτον ὦν τὸν 91
ποταμὸν ἀπικόμενος ὁ Δαρεῖος ὡς ἐστρατοπεδεύσατο,
ἡσθεὶς τῷ ποταμῷ στήλην ἔστησε καὶ ἐνθαῦτα, γράμματα
ἐγγράψας λέγοντα τάδε. "Τεάρου ποταμοῦ κεφαλαὶ ὕδωρ
ἄριστόν τε καὶ κάλλιστον παρέχονται πάντων ποταμῶν·
καὶ ἐπ' αὐτὰς ἀπίκετο, ἐλαύνων ἐπὶ Σκύθας στρατόν, ἀνὴρ
ἄριστός τε καὶ κάλλιστος πάντων ἀνθρώπων, Δαρεῖος ὁ

C. 89. *τὰς Κυανέας*: zu IV, 85.

C. 90. *φέροντα*: wie III, 133. — *ἀκέσασθαι*: hängt ab von *ἄριστος*, wie IV, 46 *προσμίσγειν* von *ἄποροι*. Mit *ἀκέσασθαι* parallel ist *τὰ ἄλλα*. — *ἐξ Ἡραίου πόλιος*: nach Voemel (zu Demosth. Phil. S. 97) dieselbe als *Ἡραῖον τεῖχος*, ganz nahe bei Perinthos gelegen. — *Περίνθῳ*; von den Samiern gegründet, nach Byzanz die bedeutendste thrakische Stadt, an der Propontis gelegen; das spätere Herakleia. — *ἐξ Ἀπολλωνίης*: von den Milesiern 50 Jahr vor Cyrus an der westlichen Küste des Pontus gegründet. Die Worte *τῆς ἐν τῷ Εὐξείνῳ Πόντῳ* sind deswegen hinzugesetzt, weil sehr viele Städte diesen Namen führten.

C. 91. *καὶ ἐνθαῦτα*: mit Bezug auf die schon am Bosporus errichteten, C. 87.

„Ὑστάσπεος, Περσέων τε καὶ πάσης τῆς ἠπείρου βασιλεύς."
ταῦτα δὴ ἐνθαῦτα ἐγράφη.
92 Δαρεῖος δὲ ἐνθεῦτεν ὁρμηθεὶς ἀπίκετο ἐπ᾽ ἄλλον ποτα-
μὸν τῷ οὔνομα Ἀρτισκός ἐστι, ὃς διὰ Ὀδρυσέων ῥέει. ἐπὶ
τοῦτον δὴ τὸν ποταμὸν ἀπικόμενος ἐποίησε τοιόνδε· ἀπο-
δέξας χωρίον τῇ στρατιῇ ἐκέλευε πάντα ἄνδρα λίθον ἕνα
παρεξιόντα τιθέναι ἐς τὸ ἀποδεδεγμένον τοῦτο χωρίον. ὡς
δὲ ταῦτα ἡ στρατιὴ ἐπετέλεσε, ἐνθαῦτα κολωνοὺς μεγάλους
93 τῶν λίθων καταλιπὼν ἀπήλαυνε τὴν στρατιήν. πρὶν δὲ
ἀπικέσθαι ἐπὶ τὸν Ἴστρον, πρώτους αἱρέει Γέτας τοὺς
ἀθανατίζοντας. οἱ μὲν γὰρ δὴ τὸν Σαλμυδησσὸν ἔχοντες
Θρήικες καὶ ὑπὲρ Ἀπολλωνίης τε καὶ Μεσαμβρίης πόλιος
οἰκημένοι, καλεύμενοι δὲ Σκυρμιάδαι καὶ Νιψαῖοι, ἀμα-
χητὶ σφέας αὐτοὺς παρέδοσαν Δαρείῳ· οἱ δὲ Γέται πρὸς
ἀγνωμοσύνην τραπόμενοι αὐτίκα ἐδουλώθησαν, Θρηίκων
94 ἐόντες ἀνδρειότατοι καὶ δικαιότατοι. ἀθανατίζουσι δὲ
τόνδε τὸν τρόπον· οὔτε ἀποθνήσκειν ἑωυτοὺς νομίζουσι,
ἰέναι τε τὸν ἀπολλύμενον παρὰ Ζάλμοξιν δαίμονα· οἱ δὲ
αὐτέων τὸν αὐτὸν τοῦτον νομίζουσι Γεβελέιζιν. διὰ πεντε-
τηρίδος δὲ τὸν πάλῳ λαχόντα αἰεὶ σφέων αὐτέων ἀποπέμ-
πουσι ἄγγελον παρὰ τὸν Ζάλμοξιν, ἐντελλόμενοι τῶν ἂν
ἑκάστοτε δέωνται. πέμπουσι δὲ ὧδε· οἱ μὲν αὐτέων
ταχθέντες ἀκόντια τρία ἔχουσι, ἄλλοι δὲ διαλαβόντες τοῦ

C. 92. *ἐνθαῦτα κολωνοὺς μεγάλους*: "Nicht blos Griechen hatten diesen Brauch, Denkmale solcher Art zu errichten, der in alter Zeit wenigstens sehr allgemein gewesen zu sein scheint. Gleiche *tumuli* haben wir schon am Changai auf der hohen Gobi und in Judäa nachgewiesen, und um hier nur die äussersten Gränzen der geographischen Verbreitung dieser Monumente der rohesten Architectur und ihre Errichtung auf den Scheidegebirgen zu bezeichnen, erinnern wir hier noch an den colossalen Steinhügel, welchen das Perserheer auf dem Scheidegebirge des Hämus auf Befehl Darius' Hystaspis errichten musste." Ritter II S. 771.

C. 93. *Γέτας*: Plin. H. N. 4, 25 (12) *Getae, Daci Romanis dicti.* — *τοὺς ἀθανατίζοντας*: wie dies Wort zu fassen ist, ist im folgd. C. erklärt. Noch V, 4. — *τὸν Σαλμυδησσόν*: am Pontus Euxinus gelegen, südlich von Apollonia; zu IV, 90. — *Μεσαμβρίης*: auch am Pontus Euxinus, nördlich von Apollonia, Colonie von Milet.

C. 94. *οὔτε*: die Negation gehört zu *ἀποθνήσκειν*. Vgl. I, 33. *ἑωυτούς*: Subject, wie I, 34. — *διὰ πεντετηρίδος*: zu II, 4. — *πάλῳ λαχόντα*: so noch IV, 153.

ἀποπεμπομένου παρὰ τὸν Ζάλμοξιν τὰς χεῖρας καὶ τοὺς
πόδας, ἀνακινήσαντες αὐτὸν μετέωρον ῥιπτεῦσι ἐς τὰς λόγ-
χας. ἢν μὲν δὴ ἀποθάνῃ ἀναπαρείς, τοῖσι δὲ ἵλεως ὁ θεὸς
δοκέει εἶναι· ἢν δὲ μὴ ἀποθάνῃ, αἰτιῶνται αὐτὸν τὸν ἄγ-
γελον, φάμενοί μιν ἄνδρα κακὸν εἶναι, αἰτιησάμενοι δὲ
τοῦτον ἄλλον ἀποπέμπουσι. ἐντέλλονται δὲ ἔτι ζῶντι.
οὗτοι οἱ αὐτοὶ Θρήικες καὶ πρὸς βροντήν τε καὶ ἀστραπὴν
τοξεύοντες ἄνω πρὸς τὸν οὐρανὸν ἀπειλεῦσι τῷ θεῷ, οὐ-
δένα ἄλλον θεὸν νομίζοντες εἶναι εἰ μὴ τὸν σφέτερον. ὡς 95
δὲ ἐγὼ πυνθάνομαι τῶν τὸν Ἑλλήσποντον οἰκεόντων Ἑλλή-
νων καὶ Πόντον, τὸν Ζάλμοξιν τοῦτον ἐόντα ἄνθρωπον
δουλεῦσαι ἐν Σάμῳ, δουλεῦσαι δὲ Πυθαγόρῃ τῷ Μνησάρ-
χου· ἐνθεῦτεν δὲ αὐτὸν γενόμενον ἐλεύθερον χρήματα
κτήσασθαι συχνά, κτησάμενον δὲ ἀπελθεῖν ἐς τὴν ἑωυ-
τοῦ· ἅτε δὲ κακοβίων τε ἐόντων τῶν Θρηίκων καὶ ὑπα-
φρονεστέρων, τὸν Ζάλμοξιν τοῦτον ἐπιστάμενον δίαι-
τάν τε Ἰάδα καὶ ἤθεα βαθύτερα ἢ κατὰ Θρήικας, οἷα Ἕλ-
λησί τε ὁμιλήσαντα καὶ Ἑλλήνων οὐ τῷ ἀσθενεστάτῳ σο-
φιστῇ Πυθαγόρῃ, κατασκευάσασθαι ἀνδρεῶνα, ἐς τὸν παν-
δοκεύοντα τῶν ἀστῶν τοὺς πρώτους καὶ εὐωχέοντα ἀναδι-
δάσκειν ὡς οὔτε αὐτὸς οὔτε οἱ συμπόται αὐτοῦ οὔτε οἱ ἐκ
τουτέων αἰεὶ γινόμενοι ἀποθανέονται, ἀλλ᾽ ἥξουσι ἐς χῶρον
τοῦτον ἵνα αἰεὶ περιεόντες ἕξουσι τὰ πάντα ἀγαθά. ἐν ᾧ
δὲ ἐποίεε τὰ καταλεχθέντα καὶ ἔλεγε ταῦτα, ἐν τούτῳ κα-
τάγαιον οἴκημα ἐποιέετο. ὡς δέ οἱ παντελέως εἶχε τὸ οἴ-
κημα, ἐκ μὲν τῶν Θρηίκων ἠφανίσθη, καταβὰς δὲ κάτω ἐς τὸ
κατάγαιον οἴκημα διαιτᾶτο ἐπ᾽ ἔτεα τρία· οἱ δέ μιν ἐπόθεόν τε
καὶ ἐπένθεον ὡς τεθνεῶτα· τετάρτῳ δὲ ἔτεϊ ἐφάνη τοῖσι

Statt πάλῳ steht III, 83 κλήρῳ. — ταχθέντες: *ordine stantes.* — διαλαβόντες: zu I, 114. — τοῦ ἀποπεμπομένου: passivisch; zu I, 33. — ἀναπαρείς: zu IV, 127. — τοῖσι δέ: wie I, 112.

C. 95. ὡς . . . δουλεῦσαι: zu I, 191. — καὶ ὑπαφρονεστέρων: *et parum cultis essent ingeniis.* — ἤθεα βαθύτερα: *mores e profundiore eruditione orti.* Ueber ἤθεα: zu I, 15. — κατὰ Θρήικας: wie I, 98. — οἷα: zu I, 61. — σοφιστῇ: zu I, 29. — ἐς τὸν . . . ἀναδιδάσκειν: zu I, 24. — ἐν ᾧ . . . ἐν τούτῳ: von der Zeit zu verstehen.

Θρήιξι, καὶ οὕτω πιθανά σφι ἐγένετο τὰ ἔλεγε ὁ Ζάλμοξις.
96 *ταῦτά φασί μιν ποιῆσαι. ἐγὼ δὲ περὶ μὲν τούτου καὶ τοῦ*
καταγαίου οἰκήματος οὔτε ἀπιστέω οὔτε ὦν πιστεύω τι λίην,
δοκέω δὲ πολλοῖσι ἔτεσι πρότερον τὸν Ζάλμοξιν τοῦτον γε-
νέσθαι Πυθαγόρεω. εἴτε δὲ ἐγένετό τις Ζάλμοξις ἄνθρω-
πος, εἴτ' ἐστὶ δαίμων τις Γέτῃσι οὗτος ἐπιχώριος, χαιρέτω.
Οὗτοι μὲν δὴ τρόπῳ τοιούτῳ χρεώμενοι, ὡς ἐχειρώθη-
97 *σαν ὑπὸ Περσέων, εἵποντο τῷ ἄλλῳ στρατῷ· Δαρεῖος δὲ*
ὡς ἀπίκετο καὶ ὁ πεζὸς ἅμ' αὐτῷ στρατὸς ἐπὶ τὸν Ἴστρον,
ἐνθαῦτα διαβάντων πάντων Δαρεῖος ἐκέλευσε τοὺς Ἴωνας
τὴν σχεδίην λύσαντας ἕπεσθαι κατ' ἤπειρον ἑωυτῷ καὶ τὸν
ἐκ τῶν νεῶν στρατόν. μελλόντων δὲ τῶν Ἰώνων λύειν καὶ
ποιέειν τὰ κελευόμενα, Κώης ὁ Ἐρξάνδρου στρατηγὸς ἐὼν
Μυτιληναίων ἔλεξε Δαρείῳ τάδε, πυθόμενος πρότερον εἴ
οἱ φίλον εἴη γνώμην ἀποδέκεσθαι παρὰ τοῦ βουλομένου
ἀποδείκνυσθαι. "ὦ βασιλεῦ," ἐπὶ γῆν γὰρ μέλλεις στρα-
τεύεσθαι τῆς οὔτε ἀρηρομένον φανήσεται οὐδὲν οὔτε πόλις
οἰκεομένη· σύ νυν γέφυραν ταύτην ἔα κατὰ χώρην ἑστάναι,
φυλάκους αὐτῆς λιπὼν τούτους οἵπερ μιν ἔζευξαν. καὶ ἤν
τε κατὰ νόον πρήξωμεν εὑρόντες Σκύθας, ἔσται ἄποδος
ἡμῖν, ἤν τε καὶ μή σφεας εὑρεῖν δυνεώμεθα, ἥ γε ἄποδος,
ἡμῖν ἀσφαλής· οὐ γὰρ ἔδεισά κω μὴ ἑσσωθέωμεν ὑπὸ Σκυ-
θέων μάχῃ, ἀλλὰ μᾶλλον μὴ οὐ δυνάμενοί σφεας εὑρεῖν
πάθωμέν τι ἀλώμενοι. καὶ τάδε λέγειν φαίη τις ἄν με
ἐμεωυτοῦ εἵνεκεν, ὡς καταμένω· ἐγὼ δὲ γνώμην μὲν τὴν
εὕρισκον ἀρίστην σοί, βασιλεῦ, ἐς μέσον φέρω, αὐτὸς μέν-
τοι ἕψομαί τοι καὶ οὐκ ἂν λειφθείην." κάρτα τε ἥσθη τῇ
γνώμῃ Δαρεῖος, καί μιν ἀμείψατο τοισίδε. "ξεῖνε Λέσβιε,
σωθέντος ἐμεῦ ὀπίσω ἐς οἶκον τὸν ἐμὸν ἐπιφάνηθί μοι
πάντως, ἵνα σε ἀντὶ χρηστῆς συμβουλίης χρηστοῖσι ἔργοισι
98 *ἀμείψωμαι." ταῦτα δὲ εἴπας καὶ ἀπάψας ἅμματα ἑξήκοντα*

C. 96. *οὗτος*: wie *ὅ γε* II, 173. — *χαιρέτω*: zu II, 117.

C. 97. *ὁ πεζὸς στρατός*: Gegensatz *ὁ ἐκ τῶν νεῶν στρατός*. — *σχεδίην*: zu IV, 88. — *κατὰ χώρην*: zu III, 135. — *ἐπιφάνηθί μοι πάντως*: zeige dich ja wieder vor mir.

C. 98. *ἀπάψας*: zu II, 121, 4.

ἐν ἱμάντι, καλέσας ἐς λόγους τοὺς Ἰώνων τυράννους ἔλεγε τάδε. "ἄνδρες Ἴωνες, ἡ μὲν πρότερον γνώμη ἀποδεχθεῖσα ἐς τὴν γέφυραν μετείσθω μοι, ἔχοντες δὲ τὸν ἱμάντα τόνδε ποιέετε τάδε· ἐπεάν με ἴδητε τάχιστα πορευόμενον ἐπὶ Σκύθας, ἀπὸ τούτου ἀρξάμενοι τοῦ χρόνου λύετε ἅμμα ἓν ἑκάστης ἡμέρης· ἢν δὲ ἐν τούτῳ τῷ χρόνῳ μὴ παρέω ἀλλὰ διεξέλθωσι ὑμῖν αἱ ἡμέραι τῶν ἁμμάτων, ἀποπλέετε ἐς τὴν ὑμετέρην αὐτέων. μέχρι δὲ τούτου, ἐπείτε οὕτω μετέδοξε, φυλάσσετε τὴν σχεδίην, πᾶσαν προθυμίην σωτηρίης τε καὶ φυλακῆς παρεχόμενοι. ταῦτα δὲ ποιεῦντες ἐμοὶ μεγάλως χαριεῖσθε." Δαρεῖος μὲν ταῦτα εἴπας ἐς τὸ πρόσω ἠπείγετο.

Τῆς δὲ Σκυθικῆς γῆς ἡ Θρηίκη τὸ ἐς θάλασσαν πρόκειται· κόλπου δὲ ἀγομένου τῆς γῆς ταύτης, ἡ Σκυθική τε ἐκδέκεται καὶ ὁ Ἴστρος ἐκδιδοῖ ἐς αὐτήν, πρὸς εὖρον ἄνεμον τὸ στόμα τετραμμένος. τὸ δὲ ἀπὸ Ἴστρου ἔρχομαι σημανέων τὸ πρὸς θάλασσαν αὐτῆς τῆς Σκυθικῆς χώρης ἐς μέτρησιν. ἀπὸ Ἴστρου αὕτη ἤδη ἀρχαίη Σκυθική ἐστι, πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον κειμένη, μέχρι πόλιος καλεομένης Καρκινίτιδος. τὸ δὲ ἀπὸ ταύτης τὴν μὲν ἐπὶ θάλασσαν τὴν αὐτὴν φέρουσαν, ἐοῦσαν ὀρεινήν τε χώρην καὶ 99

— ἐς τὴν ὑμετέρην αὐτέων: wie *mea ipsius culpa*. So noch IV, 130 τῶν σφετέρων αὐτῶν und VI, 97 ἐπὶ τὰ ὑμέτερα αὐτέων., aber IV, 133 blos ἐς τὴν ὑμετέρην.

C. 99. τῆς δὲ Σ. γῆς: der Genitiv ist motivirt durch προ in πρόκειται. — τὸ ἐς θάλασσαν: an der Seeseite. — κόλπου δὲ ἀγομένου τῆς γῆς ταύτης: vielleicht: da sich dies Land als Meerbusen einbiegt. ἄγεσθαι scheint so gesagt zu sein, wie von der Peripherie eines Kreises. In Folge der angenommenen erst östlichen und dann südlichen Richtung des Ister rücken die Gränzen Thrakiens viel höher in den Norden. — τὸ δὲ ἀπὸ Ἴστρου = dem unmittelbar darauf folgenden ἀπὸ Ἴστρου. Das τό ist pleonastisch, wie so oft vor Adverbien und adverbialischen Ausdrükken. — ἔρχομαι σημανέων: zu I, 5. — τὸ πρὸς θάλ.: die Meeresküste. — αὕτη ἤδη ἀρχαίη Σκυθική ἐστι: "*haec est vetus Scythia; nempe prisca Scytharum terra, priusquam illi, pulsis Cimmeriis, versus orientem limites suos promovissent.*" Schweigh. — Καρκινίτιδος: zu IV, 55. — τὸ δὲ ἀπὸ ταύτης und τὸ ἐς Πόντον: ganz wie so eben τὸ ἀπὸ Ἴστρου. — τὴν μέν: dem entspricht τὸ δέ im Anfang des folgenden Capitels. — ἐπὶ θάλασσαν τὴν αὐτήν: nämlich d. Pontus. —

προκειμένην τὸ ἐς Πόντον, νέμεται τὸ Ταυρικὸν ἔθνος μέχρι χερσονήσου τῆς τρηχέης καλεομένης· αὕτη δὲ ἐς θάλασσαν τὴν πρὸς ἀπηλιώτην ἄνεμον κατήκει. ἔστι γὰρ τῆς Σκυθικῆς τὰ δύο μέρεα τῶν οὔρων ἐς θάλασσαν φέροντα, τήν τε πρὸς μεσαμβρίην καὶ τὴν πρὸς ἠῶ, κατά περ τῆς Ἀττικῆς χώρης· καὶ παραπλήσια ταύτῃ καὶ οἱ Ταῦροι νέμονται τῆς Σκυθικῆς, ὡς εἰ τῆς Ἀττικῆς ἄλλο ἔθνος καὶ μὴ Ἀθηναῖοι νεμοίατο τὸν γουνὸν τὸν Σουνιακόν, μᾶλλον ἐς τὸν πόντον τὴν ἄκρην ἀνέχοντα, τὸν ἀπὸ Θορικοῦ μέχρι Ἀναφλύστου δήμου. λέγω δὲ ὡς εἶναι ταῦτα σμικρὰ μεγάλοισι συμβαλέειν. τοιοῦτο ἡ Ταυρική ἐστι. ὃς δὲ τῆς Ἀττικῆς ταῦτα μὴ παραπέπλωκε, ἐγὼ δὲ ἄλλως δηλώσω· ὡς εἰ τῆς Ἰηπυγίης ἄλλο ἔθνος καὶ μὴ Ἰήπυγες ἀρξάμενοι ἐκ Βρεντεσίου λιμένος ἀποταμοίατο μέχρι Τάραντος καὶ νε-

μέχρι X. τῆς τρηχέης καλεομένης: nämlich der östlichste Theil der Krim. Das *μέχρι* ist nicht so zu verstehen, als ob diese Chersones die Gränze des taurischen Volkes in der Weise bildete, dass sie selbst von einem andern Volke als dem taurischen bewohnt würde, sondern so, dass sie noch mit zu dem von den Tauriern besetzten Lande gehört. — *ἐς θάλ. τὴν πρὸς ἀπηλιώτην ἄν.*: dasselbe Meer, welches im folgenden Cap. durch *θαλάσσης τῆς ᾐοίης* bezeichnet wird, nämlich die Maietis. — *κατήκει*: zu I, 148. — *τῆς Ἀττικῆς χώρης*: parallel mit *τῆς Σκυθικῆς*, also auch abhängig von *τὰ δύο μέρεα τῶν οὔρων*. — *παραπλήσια*: adverbialisch, **ähnlich**; erklärt wird es durch den folgenden Satz *ὡς εἰ . . .* — *τῆς Σκυθικῆς*: zu verbinden mit *ταύτῃ*: in diesem Theile von Skythien. — *τῆς Ἀττικῆς*: der Genitiv gehört zu *τὸν γουνόν* gerade wie weiter unten *τῆς Ἰηπυγίης* zu *τὴν ἄκρην*. — *τὸν γουνόν*: nicht **fruchtbares Gefilde, Saatacker**, wie Hom. Il. 18, 57 u. Od. 11, 193, sondern nach Etym. M. 239, 5: *λέγεται δὲ γουνὸς ὁ ὑψηλὸς τόπος ἀπὸ μεταφορᾶς τῶν ἐν σώματι γονάτων, ἃ ἐξέχει.* Also **jugum**. — *μᾶλλον ἐς τὸν . . . δήμου*: "*Neglexit in his Herodotus pagum Azeniensium, quem raro veteribus memoratum minoris fuisse constat momenti: hoc excepto, in Attices ad sinum Saronicum latere demus erat* **Anaphlystus**, *Sunio vicinus: Sunii promontorium nave flectentibus sive super Sunium navigantibus, ab altero latere primus occurrebat ad sinistram* **pagus Thoricus**. *Quidquid ab Anaphlysto ad usque Thoricum terrarum magis in altum prominebat, γουνὸν vocat Σουνιακόν, μᾶλλον ἐς τὸν πόντον τὴν ἄκρην ἀνέχοντα.*" **Valcken.** Hierbei ist *ἀνέχοντα* transitiv zu fassen. — *ὡς εἶναι . . . συμβαλέειν*: zu II, 10. — *ἐγὼ δέ*: wie I, 112. — *ἐκ Βρεντεσίου . . . Τάραντος*: also die Landesspitze, die abgetrennt wird, wenn man eine gerade Linie von Brundisium nach Tarent zieht. — *ὡς εἰ . . . ἀποταμοίατο . . . καὶ νεμοίατο* = *ὡς εἰ μὴ Ἰήπυγες*

μοίατο τὴν ἄκρην. δύο δὲ λέγων ταῦτα πολλὰ λέγω παρό-
μοια, τοῖσι ἄλλοισι ἔοικε ἡ Ταυρική. τὸ δ' ἀπὸ τῆς Ταυρι- 100
κῆς ἤδη Σκύθαι τὸ κατύπερθε τῶν Ταύρων καὶ τὰ πρὸς
θαλάσσης τῆς ἠοίης νέμονται, τοῦ τε Βοσπόρου τοῦ Κιμ-
μερίου τὰ πρὸς ἑσπέρης καὶ τῆς λίμνης τῆς Μαιήτιδος
μέχρι Τανάιδος ποταμοῦ, ὃς ἐκδιδοῖ ἐς μυχὸν τῆς λίμνης
ταύτης. ἤδη ὦν ἀπὸ μὲν Ἴστρου τὰ κατύπερθε ἐς τὴν με-
σόγαιαν φέροντα ἀποκληίεται ἡ Σκυθικὴ ὑπὸ πρώτων
Ἀγαθύρσων, μετὰ δὲ Νευρῶν, ἔπειτα δὲ Ἀνδροφάγων,
τελευταίων δὲ Μελαγχλαίνων. ἔστι ὦν τῆς Σκυθικῆς ὡς 101
ἐούσης τετραγώνου, τῶν δύο μερέων κατηκόντων ἐς θάλασ-
σαν, πάντῃ ἴσον τό τε ἐς τὴν μεσόγαιαν φέρον καὶ τὸ παρὰ

ἀποταμοίατο καὶ νεμοίατο τὴν ἄκρην, ἀλλὰ ἄλλο ἔθνος. — *πολλὰ λέγω . . . ἡ Ταυρική* = *πολλὰ ἄλλα λέγω παρόμοια, τοῖσι* (*οἷς*) *ἔοικε ἡ Ταυρική.* — *ἔοικε ἡ Τ.*: Niebuhr's vermischte Schriften I S. 157: "Eine zweite Ursache, wodurch der Umriss von Skythien unkenntlich und unvereinbar mit der Wirklichkeit geräth, ist, dass H. die Krim als Halbinsel nicht kennt. Wohl weiss er, dass ihr Vorgebirge in den Pontus hineintritt (?); aber er betrachtet das Land, wo die Taurer wohnen, nur wie eine *ἀκτή* (zu IV, 38), gleich Iapygien oder Attika. Daher, weil die Maietis, Nord u. Süd gedacht, die östliche Gränze Skythiens ausmacht, ist es klar, wo man den Wall (vgl. IV, 3) zu suchen hat, welchen die abtrünnigen Knechte aufwarfen, als die Skythen aus Asien zurückkehrten, und den sie von den taurischen Bergen bis an die Mäetis gezogen hatten. Nämlich wohl in der Krim, aber keineswegs bei Perekop, sondern westlich vom Bosporus, über den früher die Kimmerier, von den Skythen vertrieben, geflüchtet waren."

C. 100. *τὸ δ' ἀπὸ τῆς Τ.*: wie im vorigen Cap. *τὸ δὲ ἀπὸ Ἴστρου.* — *τῆς ἠοίης*: zu IV, 99. — *τοῦ τε Βοσπόρου τοῦ Κ.*: zu IV, 12. — *μυχόν*: zu II, 11. — *τὰ κατύπερθε . . . φέροντα*: der Gegensatz wäre: die beiden an der Meeresküste gelegenen Seiten. — *ἀποκληίεται*: wird begränzt. — *Ἀγαθύρσων*: zu IV, 104. — *Νευρῶν*: zu IV, 17. — *Ἀνδροφάγων* und *Μελαγχλαίνων*: zu IV, 18.

C. 101. *τῆς Σκυθικῆς*: der Genitiv gehört zu *τὸ . . . φέρον* (*μέρος*), und *τῶν δύο μερέων κατηκόντων* ist als Gen. abs. zu fassen. Sinn: Skythien, was ein Viereck bildet, dessen zwei Seiten an das Meer sich absenken oder am Meere sich erstrecken, ist an jeder Seite gleich lang, sowohl an der die mitten in das Land hineingeht, als auch u. s. w. Also wird die südliche Seite dieses Vierecks von dem Pontus Euxinus, die östliche von der Maietis und dem Tanais, die westliche von dem Ister (vgl. über die Uebereinstimmung des Laufs des Ister mit dem Nil II, 32 ff.), die nördliche von den Agathyrsen, Neurern u. s. w. gebildet. — *τετραγώνου*: und zwar ein gleichseitiges, wie aus der folgenden Beschreibung sich ergiebt, wenn auch kein Quadrat. — *κατηκόντων*: zu I, 148. — *πάντῃ*:

τὴν θάλασσαν. ἀπὸ γὰρ Ἴστρου ἐπὶ Βορυσθένεα δέκα ἡμερέων ὁδός, ἀπὸ Βορυσθένεός τ' ἐπὶ τὴν λίμνην τὴν Μαιῆτιν ἑτέρων δέκα· καὶ τὸ ἀπὸ θαλάσσης ἐς μεσόγαιαν ἐς τοὺς Μελαγχλαίνους τοὺς κατύπερθε Σκυθέων οἰκημένους εἴκοσι ἡμερέων ὁδός. ἡ δὲ ὁδὸς ἡ ἡμερησίη ἀνὰ διηκόσια στάδια συμβέβληταί μοι. οὕτω ἂν εἴη τῆς Σκυθικῆς τὰ ἐπικάρσια τετρακισχιλίων σταδίων καὶ τὰ ὄρθια τὰ ἐς τὴν μεσόγαιαν φέροντα ἑτέρων τοσούτων σταδίων. ἡ μέν νυν γῆ αὕτη ἐστὶ μέγαθος τοσαύτη.

102 Οἱ δὲ Σκύθαι δόντες σφίσι λόγον ὡς οὐκ οἷοί τέ εἰσι τὸν Δαρείου στρατὸν ἰθυμαχίῃ διώσασθαι μοῦνοι, ἔπεμπον ἐς τοὺς πλησιοχώρους ἀγγέλους· τῶν δὲ καὶ δὴ οἱ βασιλέες συνελθόντες ἐβουλεύοντο ὡς στρατοῦ ἐπελαύνοντος μεγάλου. ἔσαν δὲ οἱ συνελθόντες βασιλέες Ταύρων καὶ Ἀγαθύρσων καὶ Νευρῶν καὶ Ἀνδροφάγων καὶ Μελαγχλαί-
103 νων καὶ Γελωνῶν καὶ Βουδίνων καὶ Σαυροματέων. τούτων Ταῦροι μὲν νόμοισι τοιοισίδε χρέωνται. θύουσι μὲν τῇ παρθένῳ τούς τε ναυηγοὺς καὶ τοὺς ἂν λάβωσι Ἑλλήνων ἐπαναχθέντας, τρόπῳ τοιῷδε· καταρξάμενοι ῥοπάλῳ παί-

zu I, 126. — ἀνὰ διηκόσια στάδια: V, 53 werden 150 auf den Tag gerechnet. — συμβέβληται: zu I, 68. — τὰ ἐπικάρσια: die beiden Seiten, die von Westen nach Osten laufen. — ἑτέρων τοσούτων: zu I, 120.

C. 102. δόντες σφίσι λόγον: zu II, 162.

C. 103. Ταῦροι: "Es ist wahrscheinlich, dass sie keine andern, als Ueberbleibsel der von den Skythen verdrängten Kimmerier waren. Auch die wildesten Eroberer sind nicht leicht im Stande ein Volk gänzlich auszurotten; und da wir von den Kimmeriern in diesen ihren früheren Wohnsitzen sonst gar keine Spur weiter finden, so muss jene Vermuthung bei dem Mangel ausdrücklicher Zeugnisse wenigstens als die wahrscheinlichste betrachtet werden." Heeren I, 2 S. 271. — θύουσι μέν: findet seinen Gegensatz in πολεμίους δὲ ἄνδρας. "*Videtur ista potissimum inhumana Taurorum crudelitas effecisse, ut hoc praesertim nomine Scythae fuerint a Graecis in universum infamati. In diversis gentibus Scythicis tria potissimum obtinebant, quae prorsus abhorrerent ab humanissima Graecorum mansuetudine*, τὸ ξενοθυτεῖν, τὸ ἀνθρωποφαγεῖν καὶ τὸ τοῖς κρανίοις ἐκπώμασι χρῆσθαι." Valcken. — τῇ παρθένῳ: nämlich Iphigeneia. — ἐπαναχθέντας: an den Strand verschlagen; nur hier in diesem Sinne; sonst zum Angriff in die hohe See stechen VII, 194 u. IX, 98. Im Activ VII, 160 mit τὸν θυμόν: erregen. Sollte nicht an unsrer

ουσι τὴν κεφαλήν. οἱ μὲν δὴ λέγουσι ὡς τὸ σῶμα ἀπὸ τοῦ κρημνοῦ ὠθέουσι κάτω (ἐπὶ γὰρ κρημνοῦ ἵδρυται τὸ ἱρόν), τὴν δὲ κεφαλὴν ἀνασταυροῦσι· οἱ δὲ κατὰ μὲν τὴν κεφαλὴν ὁμολογέουσι, τὸ μέντοι σῶμα οὐκ ὠθέεσθαι ἀπὸ τοῦ κρημνοῦ λέγουσι ἀλλὰ γῇ κρύπτεσθαι. τὴν δὲ δαίμονα ταύτην τῇ θύουσι λέγουσι αὐτοὶ Ταῦροι Ἰφιγένειαν τὴν Ἀγαμέμνονος εἶναι. πολεμίους δὲ ἄνδρας τοὺς ἂν χειρώσωνται ποιεῦσι τάδε· ἀποταμὼν ἕκαστος κεφαλὴν ἀποφέρεται ἐς τὰ οἰκία, ἔπειτα ἐπὶ ξύλου μεγάλου ἀναπείρας ἱστᾷ ὑπὲρ τῆς οἰκίης ὑπερέχουσαν πολλόν, μάλιστα δὲ ὑπὲρ τῆς καπνοδόκης. φασὶ δὲ τούτους φυλάκους τῆς οἰκίης πάσης ὑπεραιωρέεσθαι. ζώουσι δὲ ἀπὸ ληίης τε καὶ πολέμου. Ἀγά- 104
θυρσοι δὲ ἁβρότατοι ἄνδρες εἰσὶ καὶ χρυσοφόροι τὰ μάλιστα, ἐπίκοινον δὲ τῶν γυναικῶν τὴν μῖξιν ποιεῦνται, ἵνα κασίγνητοί τε ἀλλήλων ἔωσι καὶ οἰκήιοι ἐόντες πάντες μήτε φθόνῳ μήτ' ἔχθεϊ χρέωνται ἐς ἀλλήλους. τὰ δ' ἄλλα νόμαια Θρήιξι προσκεχωρήκασι. Νευροὶ δὲ νόμοισι μὲν χρέ- 105
ωνται Σκυθικοῖσι, γενεῇ δὲ μιῇ πρότερόν σφεας τῆς Δαρείου στρατηλασίης κατέλαβε ἐκλιπεῖν τὴν χώρην πᾶσαν ὑπ' ὀφίων· ὄφιας γάρ σφι πολλοὺς μὲν ἡ χώρη ἀνέφαινε, οἱ δὲ πλεῦνες ἄνωθέν σφι ἐκ τῶν ἐρήμων ἐπέπεσον, ἐς ὃ πιεζόμενοι οἴκησαν μετὰ Βουδίνων τὴν ἑωυτῶν ἐκλιπόντες.

Stelle *ἐπαναχθέντες* emendirt werden, was dann gefasst werden müsste wie VII, 194 u. IX, 98, und wodurch die Tautologie mit *τοὺς ναυηγούς* vermieden sein würde? — *καταρξάμενοι*: zu II, 45. — *Ἰφιγένειαν*: nach einer andern Sage war sie nicht selbst die Göttin, sondern die Priesterin der Artemis.

C. 104. *Ἀγάθυρσοι*: Niebuhr, vermischte Schriften I S. 377: "Die Daker bewohnten das Land, wohin Herodot die Agathyrsen setzt, zwischen Ister und Tyras: weder ein fabelhaftes noch ein verschollenes Volk, sondern die Daker selbst, wie ihre Sitten und Gebräuche thrakisch waren: den Reichthum an Gold gewährten ihnen die Bergwerke Oberungarns und Siebenbürgens." — *ἁβρότατοι*: zu I, 55. — *ἐπίκοινα*: zu I, 216. — *τὰ δ' ἄλλα νόμαια . . . προσκεχωρήκασι*: gerade so I, 172, *προσκεχωρήκασι γλῶσσαν*. Auch IV, 112 *προσεχώρεον τὸ στρατόπεδον*.

C. 105. *Νευροί*: zu IV, 17. — *κατέλαβε*: zu II, 66. — *ἐς ὃ πιεζόμενοι . . .*: *donec pressi* (*ab his serpentibus*) *una cum Budinis habitarunt*. Anders Heeren I, 2 S. 276: "Sie (die Neuren) hatten einst, als ihr Land von einer Menge Schlangen heimgesucht wurde, dasselbe verlassen müssen, und waren zu den Budinen an der Ost-

κινδυνεύουσι δὲ οἱ ἄνθρωποι οὗτοι γόητες εἶναι· λέγονται γὰρ ὑπὸ Σκυθέων καὶ Ἑλλήνων τῶν ἐν τῇ Σκυθικῇ κατοικημένων ὡς ἔτεος ἑκάστου ἅπαξ τῶν Νευρῶν ἕκαστος λύκος γίνεται ἡμέρας ὀλίγας καὶ αὖτις ὀπίσω ἐς τὠυτὸ κατίσταται. ἐμὲ μέν νυν ταῦτα λέγοντες οὐ πείθουσι, λέγουσι δὲ
106 *οὐδὲν ἧσσον, καὶ ὀμνῦσι δὲ λέγοντες. Ἀνδροφάγοι δὲ ἀγριώτατα πάντων ἀνθρώπων ἔχουσι ἤθεα, οὔτε δίκην νομίζοντες οὔτε νόμῳ οὐδενὶ χρεώμενοι. νομάδες δέ εἰσι, ἐσθῆτα δὲ φορέουσι τῇ Σκυθικῇ ὁμοίην, γλῶσσαν δὲ ἰδίην ἔχουσι,*
107 *ἀνθρωποφαγέουσι δὲ μοῦνοι τούτων. Μελάγχλαινοι δὲ εἵματα μὲν μέλανα φορέουσι πάντες, ἐπ᾽ ὧν καὶ τὰς ἐπωνυ-*
108 *μίας ἔχουσι, νόμοισι δὲ Σκυθικοῖσι χρέωνται. Βουδῖνοι δὲ ἔθνος ἐὸν μέγα καὶ πολλὸν γλαυκόν τε πᾶν ἰσχυρῶς ἐστὶ καὶ πυρρόν. πόλις δὲ ἐν αὐτοῖσι πεπόλισται ξυλίνη, οὔνομα δὲ τῇ πόλι ἐστὶ Γελωνός· τοῦ δὲ τείχεος μέγαθος κῶλον ἕκαστον τριήκοντα σταδίων ἐστί, ὑψηλὸν δὲ καὶ πᾶν*

seite des Dons gewandert, aber nachher wieder in dasselbe zurückgekehrt"; indem er *ἐς ὃ πιεζόμενοι* übersetzt durch: so lange als sie gedrückt wurden. — *κινδυνεύουσι*: sie scheinen, wie oft im Platon; z. B. Apol. p. 20 e: *τῷ ὄντι γὰρ κινδυνεύω ταύτην* (*τὴν σοφίαν*) *εἶναι σοφός*. — *λύκος γίνεται*: Mela II, 1 fin. "*Neuris statim singulis tempus est, quo si velint, in lupos iterumque in eos qui fuere* (*ἐς τὠυτό*), *mutentur.*" — *καὶ ὀμνύουσι δέ*: *καὶ . . . δέ* = *οὐ μόνον . . . ἀλλὰ καί*, oder kürzer: und auch, von denen *καί* auch, *δέ* und heisst; negativ *οὐδὲ . . . δέ* (vgl. I, 143 *οὐδ᾽ ἐδεήθησαν δέ*), "immer mit Einschiebung eines Begriffes, und zwar eines betonten, einem vorhergehenden entgegengesetzten." Krüger Gr. Gr. §. 69, 32 A. 10. Hierdurch ist widerrufen, was ich I, 143 über *οὐδ᾽ ἐδεήθησαν δέ* behauptet habe. So steht Xen. An. I, 8, 20 *οὐδ᾽ ἄλλος δὲ τῶν Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ ἔπαθεν οὐδεὶς οὐδέν*.

C. 106. *Ἀνδροφάγοι*: zu IV, 18. — *ἤθεα*: zu I, 15.

C. 107. *Μελάγχλαινοι*: zu IV, 18. — *ἐπ᾽ ὧν*: zu I, 14.

C. 108. *Βουδῖνοι*: zu IV, 21. — *γλαυκόν τε . . . καὶ πυρρόν*: "*caerulei oculi, rutilae comae.*" Tacit. Germ. 4. — *πόλις . . . πεπόλισται*: noch V, 52 und VII, 59. Aehnlich Hom. Il. 20, 216 und 7, 453. Heeren I, 2 S. 305: "Kann man über die Bestimmung dieser Slobode wohl zweifelhaft sein? welche andere konnte sie haben, als zur Hauptniederlage des Pelzhandels zu dienen? (Vgl. Anm. zu IV, 24). Und so ist es wohl hinreichend erklärt, weshalb die Handelsgesellschaften der pontischen Griechen und Skythen nicht den geraden Weg nahmen, sondern so weit nördlich zogen. Sie tauschten hier die Waaren ein, die sie weiter verführten, und fanden hier natürlich zugleich den Markt für die Er-

ξύλινον, καὶ οἰκίαι αὐτῶν ξύλιναι καὶ τὰ ἱρά. ἔστι γὰρ δὴ αὐτόθι Ἑλληνικῶν θεῶν ἱρὰ Ἑλληνικῶς κατεσκευασμένα ἀγάλμασί τε καὶ βωμοῖσι καὶ νηοῖσι ξυλίνοισι, καὶ τῷ Διονύσῳ τριετηρίδας ἀνάγουσι καὶ βακχεύουσι. εἰσὶ γὰρ οἱ Γελωνοὶ τὸ ἀρχαῖον Ἕλληνες, ἐκ δὲ τῶν ἐμπορίων ἐξαναστάντες οἴκησαν ἐν τοῖσι Βουδίνοισι· καὶ γλώσσῃ τὰ μὲν Σκυθικῇ τὰ δὲ Ἑλληνικῇ χρέωνται. Βουδῖνοι δὲ οὐ τῇ αὐτῇ γλώσσῃ χρέωνται καὶ Γελωνοί. ἀλλ' οὐδὲ δίαιτα ἡ αὐτή 109
ἐστι Γελωνοῖσι καὶ Βουδίνοισι· οἱ μὲν γὰρ Βουδῖνοι ἐόντες αὐτόχθονες νομάδες τέ εἰσι καὶ φθειροτραγέουσι μοῦνοι τῶν ταύτῃ, Γελωνοὶ δὲ γῆς τε ἐργάται καὶ σιτοφάγοι καὶ κήπους ἐκτημένοι, οὐδὲν τὴν ἰδέην ὁμοῖοι οὐδὲ τὸ χρῶμα. ὑπὸ μέντοι Ἑλλήνων καλέονται καὶ οἱ Βουδῖνοι Γελωνοί, οὐκ ὀρθῶς καλεόμενοι. ἡ δὲ χώρη σφέων πᾶσά ἐστι δασέα ἴδῃσι παντοίῃσι· ἐν δὲ τῇ ἴδῃ τῇ πλείστῃ ἔστι λίμνη μεγάλη τε καὶ πολλὴ καὶ ἕλος καὶ κάλαμος περὶ αὐτήν· ἐν δὲ ταύτῃ ἐνύδριες ἁλίσκονται καὶ κάστορες καὶ ἄλλα θηρία τετραγωνοπρόσωπα, τῶν τὰ δέρματα περὶ τὰς σισύρας παραρράπτεται, καὶ οἱ ὄρχιες αὐτοῖσί εἰσι χρήσιμοι ἐς ὑστερέων ἄκεσιν.

Σαυροματέων δὲ πέρι ὧδε λέγεται. ὅτε Ἕλληνες Ἀμα- 110
ζόσι ἐμαχέσαντο (τὰς δὲ Ἀμαζόνας καλέουσι Σκύθαι Οἰόρπατα, δύναται δὲ τὸ οὔνομα τοῦτο κατ' Ἑλλάδα γλῶσσαν ἀνδροκτόνοι· οἰὸρ γὰρ καλέουσι τὸν ἄνδρα, τὸ δὲ πατὰ κτείνειν), τότε λόγος τοὺς Ἕλληνας νικήσαντας τῇ ἐπὶ

zeugnisse ihrer eigenen Industrie." — κῶλον: zu II, 126. — νηοῖσι: zu I, 181.

C. 109. φθειροτραγέουσι: Aehnliches wird erzählt IV, 168. Auch werden Φθειροφάγοι auf den caucasischen Gebirgen erwähnt von Strabo XI p. 492 b. oder 754 und p. 499 oder 763 a; und *Phthirophagi* unter den skythischen Stämmen von Pomp. Mel. I, 19 und von Plinius H. N. 6, 4. — ἰδέην: zu I, 80. — ἴδῃσι: zu I, 110. — τετραγωνοπρόσωπα: Heeren I, 2 S. 304 Anm. "Die Thiere mit viereckten Kopf mögen die Naturhistoriker bestimmen. Die Sage hat vielleicht ihren Grund darin, dass die an den Fellen befindlichen Köpfe, deren abgezogene Haut (ohne Schnautze) daran bleibt, eine viereckte Form erhalten." — σισύρας: Gloss. Her. σισύρα· βαρβαρικὸς χιτών. Eine Nebenform ist σίσυρνα VII, 67; daher ebendaselbst σισυρνοφόρος.

C. 110. Σαυροματέων: zu IV, 21. — δύναται: zu II, 30. — λό-

Θερμώδοντι μάχῃ ἀποπλέειν ἄγοντας τρισὶ πλοίοισι τῶν Ἀμαζόνων ὅσας ἐδυνέατο ζωγρῆσαι, τὰς δὲ ἐν τῷ πελάγεϊ ἐπιθεμένας ἐκκόψαι τοὺς ἄνδρας. πλοῖα δὲ οὐ γινώσκειν αὐτάς, οὐδὲ πηδαλίοισι χρᾶσθαι οὐδὲ ἱστίοισι οὐδὲ εἰρεσίῃ· ἀλλ᾽ ἐπεὶ ἐξέκοψαν τοὺς ἄνδρας, ἐφέροντο κατὰ κῦμα καὶ ἄνεμον· καὶ ἀπικνέονται τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Κρημνούς. οἱ δὲ Κρημνοί εἰσι γῆς τῆς Σκυθέων τῶν ἐλευθέρων. ἐνθαῦτα ἀποβᾶσαι ἀπὸ τῶν πλοίων αἱ Ἀμαζόνες ὡδοιπόρεον ἐς τὴν οἰκεομένην. ἐντυχοῦσαι δὲ πρώτῳ ἱπποφορβίῳ τοῦτο διήρπασαν, καὶ ἐπὶ τούτων ἱππαζόμεναι
111 ἐληΐζοντο τὰ τῶν Σκυθέων. οἱ δὲ Σκύθαι οὐκ εἶχον συμβαλέσθαι τὸ πρῆγμα· οὔτε γὰρ φωνὴν οὔτε ἐσθῆτα οὔτε τὸ ἔθνος ἐγίνωσκον, ἀλλ᾽ ἐν θώυματι ἔσαν ὁκόθεν ἔλθοιεν, ἐδόκεον δ᾽ αὐτὰς εἶναι ἄνδρας τὴν αὐτὴν ἡλικίην ἔχοντας, μάχην τε δὴ πρὸς αὐτὰς ἐποιεῦντο. ἐκ δὲ τῆς μάχης τῶν νεκρῶν ἐκράτησαν οἱ Σκύθαι, καὶ οὕτω ἔγνωσαν ἐούσας γυναῖκας. βουλευομένοισι ὦν αὐτοῖσι ἔδοξε κτείνειν μὲν οὐδενὶ τρόπῳ ἔτι αὐτάς, ἑωυτῶν δὲ τοὺς νεωτάτους ἀποπέμψαι ἐς αὐτάς, πλῆθος εἰκάσαντας ὅσαι περ ἐκεῖναι ἔσαν· τούτους δὲ στρατοπεδεύεσθαι πλησίον ἐκεινέων καὶ ποιέειν τά περ ἂν καὶ ἐκεῖναι ποιέωσι· ἢν δὲ αὐτοὺς διώκωσι, μάχεσθαι μὲν μή, ὑποφεύγειν δέ· ἐπεὰν δὲ παύσωνται, ἐλθόντας αὐτοὺς πλησίον στρατοπεδεύεσθαι. ταῦτα ἐβουλεύσαντο οἱ Σκύθαι βουλόμενοι ἐξ αὐτέων παῖδας ἐγγενήσεσθαι. ἀποπεμφθέντες δὲ οἱ νεηνίσκοι ἐποίευν τὰ
112 ἐντεταλμένα. ἐπεὶ δὲ ἔμαθον αὐτοὺς αἱ Ἀμαζόνες ἐπ᾽ οὐδεμιῇ δηλήσι ἀπιγμένους, ἔων χαίρειν· προσεχώρεον δὲ

γος: nämlich ἐστί, *dicitur*. — Θερμώδοντι: zu II, 104. — ἐπιθεμένας: zu I, 26. — Κρημνούς: zu IV, 20. — τῶν ἐλευθέρων: sonst τῶν βασιληίων genannt; vgl. IV, 20. — ἐπὶ τούτων: aus ἱπποφορβίῳ ist ἵππων zu entnehmen; zu III, 134.

C. 111. συμβαλέσθαι: zu I, 68. — ἡλικίην: zu III, 16. — πλῆθος εἰκ. . . . ἔσαν: *numero, quantum conicere poterant, pares illarum numero*. — ἐπεὰν δὲ παύσωνται: nämlich διώκουσαι.

C. 112. ἐπ᾽ οὐδ. δηλήσι: zu I, 41. — ἔων χαίρειν: liessen sie zufrieden, *valere sinebant* i. e. *non curabant*. So noch VI, 23 u. IX, 41. Vgl. Xen. An. 7, 3, 23. — προσεχώρεον . . . τὸ στρατόπεδον: zu IV, 104.

πλησιαιτέρω τὸ στρατόπεδον τῷ στρατοπέδῳ ἐπ' ἡμέρῃ ἑκάστῃ. εἶχον δὲ οὐδὲν οὐδ' οἱ νεηνίσκοι, ὥσπερ οὐδὲ αἱ Ἀμαζόνες, εἰ μὴ τὰ ὅπλα καὶ τοὺς ἵππους· ἀλλὰ ζόην ἔζωον τὴν αὐτὴν ἐκείνῃσι, θηρεύοντές τε καὶ ληιζόμενοι.
ἐποίευν δὲ αἱ Ἀμαζόνες ἐς τὴν μεσαμβρίην τοιόνδε· ἐγί- 113
νοντο σποράδες κατὰ μίαν τε καὶ δύο, πρόσω δὴ ἀπ' ἀλληλέων ἐς εὐμαρίην ἀποσκιδνάμεναι. μαθόντες δὲ καὶ οἱ Σκύθαι ἐποίευν τὠυτὸ τοῦτο· καί τις μουνωθεισέων τινὶ αὐτέων ἐνεχρίμπτετο, καὶ ἡ Ἀμαζὼν οὐκ ἀπωθέετο ἀλλὰ περιεῖδε χρήσασθαι. καὶ φωνῆσαι μὲν οὐκ εἶχε (οὐ γὰρ συνίεσαν ἀλλήλων), τῇ δὲ χειρὶ ἔφραζε ἐς τὴν ὑστεραίην ἐλθεῖν ἐς τὠυτὸ χωρίον καὶ ἕτερον ἄγειν, σημαίνουσα δύο γενέσθαι, καὶ αὐτὴ ἑτέρην ἄξειν. ὁ δὲ νεηνίσκος ἐπεὶ ἀπῆλθε, ἔλεξε ταῦτα πρὸς τοὺς λοιπούς· τῇ δὲ ὑστεραίῃ ἦλθε ἐς τὸ χωρίον αὐτός τε οὗτος καὶ ἕτερον ἦγε, καὶ τὴν Ἀμαζόνα εὗρε δευτέρην αὐτὴν ὑπομένουσαν. οἱ δὲ λοιποὶ νεηνίσκοι ὡς ἐπύθοντο ταῦτα, καὶ αὐτοὶ ἐκτιλώσαντο
τὰς λοιπὰς τῶν Ἀμαζόνων. μετὰ δὲ συμμίξαντες τὰ στρα- 114
τόπεδα οἴκεον ὁμοῦ, γυναῖκα ἔχων ἕκαστος ταύτην τῇ τὸ πρῶτον συνεμίχθη. τὴν δὲ φωνὴν τὴν μὲν τῶν γυναικῶν οἱ ἄνδρες οὐκ ἐδυνέατο μαθεῖν, τὴν δὲ τῶν ἀνδρῶν αἱ γυναῖκες συνέλαβον. ἐπεὶ δὲ συνῆκαν ἀλλήλων, ἔλεξαν πρὸς τὰς Ἀμαζόνας τάδε οἱ ἄνδρες. "ἡμῖν εἰσὶ μὲν τοκέες, εἰσὶ δὲ κτήσιες. νῦν ὦν μηκέτι πλεῦνα χρόνον ζόην τοιήνδε ἔχωμεν, ἀλλ' ἀπελθόντες ἐς τὸ πλῆθος διαιτώμεθα. γυναῖκας δὲ ἕξομεν ὑμέας καὶ οὐδαμὰς ἄλλας." αἱ δὲ πρὸς ταῦτα ἔλεξαν τάδε. "ἡμεῖς οὐκ ἂν δυναίμεθα οἰκέειν μετὰ τῶν ὑμετέρων γυναικῶν· οὐ γὰρ τὰ αὐτὰ νόμαια ἡμῖν τε καὶ κείνῃσι ἐστί. ἡμεῖς μὲν τοξεύομέν τε καὶ ἀκοντίζομεν καὶ ἱπ-

C. 113. *κατὰ μίαν*: zu II, 79. — *εὐμαρίην*: zu II, 35. — *ἐνεχρίμπτετο*: zu II, 60. — *περιεῖδε*: zu I, 24. — *χρήσασθαι* = *αὐτὸν χρησάμενον*. — *ἐλθεῖν*: er solle kommen. — *σημαίνουσα δύο γενέσθαι*: *significans duas adfuturas*. — *δευτέρην*: sie wartete auf ihn als die zweite = mit einer andern. — *καὶ αὐτοί*: mit Bezug auf die beiden ersten Jünglinge.

C. 114. *συνέλαβον*: wie I, 63. — *ἐς τὸ πλῆθος*: nämlich *ad no-*

παζόμεθα, ἔργα δὲ γυναικήια οὐκ ἐμάθομεν· αἱ δὲ ὑμέ-
τεραι γυναῖκες τούτων μὲν οὐδὲν τῶν ἡμεῖς κατελέξαμεν
ποιεῦσι, ἔργα δὲ γυναικήια ἐργάζονται μένουσαι ἐν τῇσι
ἁμάξῃσι, οὔτ' ἐπὶ θήρην ἰοῦσαι οὔτε ἄλλῃ οὐδαμῇ. οὐκ ἂν
ὦν δυναίμεθα ἐκείνῃσι συμφέρεσθαι. ἀλλ' εἰ βούλεσθε γυ-
ναῖκας ἔχειν ἡμέας καὶ δοκέειν εἶναι δικαιότατοι, ἐλθόντες
παρὰ τοὺς τοκέας ἀπολάχετε τῶν κτημάτων τὸ μέρος, καὶ
115 ἔπειτα ἐλθόντες οἰκέωμεν ἐπ' ἡμέων αὐτέων." ἐπείθοντο
καὶ ἐποίησαν ταῦτα οἱ νεηνίσκοι. ἐπείτε δὲ ἀπολαχόντες
τῶν κτημάτων τὸ ἐπιβάλλον ἦλθον ὀπίσω παρὰ τὰς Ἀμα-
ζόνας, ἔλεξαν αἱ γυναῖκες πρὸς αὐτοὺς τάδε. "ἡμέας ἔχει
φόβος τε καὶ δέος, ὅκως χρὴ οἰκέειν ἐν τῷδε τῷ χώρῳ τοῦτο
μὲν ὑμέας ἀποστερησάσας πατέρων, τοῦτο δὲ τὴν γῆν τὴν
ὑμετέρην δηλησαμένας πολλά. ἀλλ' ἐπείτε ἀξιοῦτε ἡμέας
γυναῖκας ἔχειν, τάδε ποιέετε ἅμα ἡμῖν· φέρετε ἐξαναστέω-
μεν ἐκ τῆς γῆς τῆσδε, καὶ περήσαντες Τάναϊν ποταμὸν οἰ-
116 κέωμεν." ἐπείθοντο καὶ ταῦτα οἱ νεηνίσκοι, διαβάντες δὲ
τὸν Τάναϊν ὡδοιπόρεον πρὸς ἥλιον ἀνίσχοντα τριῶν μὲν
ἡμερέων ἀπὸ τοῦ Τανάιδος ὁδόν, τριῶν δὲ ἀπὸ τῆς λίμνης
τῆς Μαιήτιδος πρὸς βορῆν ἄνεμον. ἀπικόμενοι δὲ ἐς τοῦ-
τον τὸν χῶρον ἐν τῷ νῦν κατοίκηνται, οἴκησαν τοῦτον. καὶ
διαίτῃ ἀπὸ τούτου χρέωνται τῇ παλαιῇ τῶν Σαυροματέων
αἱ γυναῖκες, καὶ ἐπὶ θήρην ἐπ' ἵππων ἐκφοιτῶσαι ἅμα
τοῖσι ἀνδράσι καὶ χωρὶς τῶν ἀνδρῶν, καὶ ἐς πόλεμον φοι-
τῶσαι, καὶ στολὴν τὴν αὐτὴν τοῖσι ἀνδράσι φορέουσαι.
117 φωνῇ δὲ οἱ Σαυρομάται νομίζουσι Σκυθικῇ, σολοικίζοντες
αὐτῇ ἀπὸ τοῦ ἀρχαίου, ἐπεὶ οὐ χρηστῶς ἐξέμαθον αὐτὴν

stros. — *συμφέρεσθαι*: zu I, 173. — *ἐπ' ἡμέων αὐτέων*: zu I, 142.

C. 115. *τὸ ἐπιβάλλον*: zu II, 180. — *φόβος τε καὶ δέος*: Ammon. p. 39: *Δέος καὶ φόβος διαφέρει. Δέος μὲν γάρ ἐστι πολυχρόνιος κακοῦ ὑπόνοια· φόβος δέ, ἡ παραυτίκα πτόησις*. — *ὅκως χρή*: wir sind in Besorgniss darüber, wie wir . . . sollen; also wie *timeo*, *quemadmodum*; z. B. Brut. ap. Cic. epp. ad fam. XI, 10 *haec quemadmodum explicari possint*, *aut*, *a te quum explicabuntur; ne impediantur, timeo*. — *φέρετε ἐξ.*: zu I, 11.

C. 116. *ἀπὸ τούτου*: von dieser Zeit an. — *Σαυροματέων*: zu IV, 21. — *στολήν*: zu I, 80.

αἱ Ἀμαζόνες. τὰ περὶ γάμων δὲ ὧδέ σφι διακέεται· οὐ γαμέεται παρθένος οὐδεμία πρὶν ἂν τῶν πολεμίων ἄνδρα ἀποκτείνῃ. αἱ δέ τινες αὐτέων καὶ τελευτῶσι γηραιαὶ πρὶν γήμασθαι, οὐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι.

118 Ἐπὶ τούτων ὦν τῶν καταλεχθέντων ἐθνέων τοὺς βασιλέας ἁλισμένους ἀπικόμενοι τῶν Σκυθέων οἱ ἄγγελοι ἔλεγον ἐκδιδάσκοντες ὡς ὁ Πέρσης, ἐπειδή οἱ τὰ ἐν τῇ ἠπείρῳ τῇ ἑτέρῃ πάντα κατέστραπται, γέφυραν ζεύξας ἐπὶ τῷ αὐχένι τοῦ Βοσπόρου διαβέβηκε ἐς τήνδε τὴν ἤπειρον, διαβὰς δὲ καὶ καταστρεψάμενος Θρήικας γεφυροῖ ποταμὸν Ἴστρον, βουλόμενος καὶ τάδε πάντα ὑπ' ἑωυτῷ ποιήσασθαι. "ὑμεῖς ὦν μηδενὶ τρόπῳ ἐκ τοῦ μέσου κατήμενοι περιίδητε ἡμέας διαφθαρέντας, ἀλλὰ τὠυτὸ νοήσαντες ἀντιάζωμεν τὸν ἐπιόντα. οὐκ ὦν ποιήσετε ταῦτα; ἡμεῖς μὲν πιεζόμενοι ἢ ἐκλείψομεν τὴν χώρην ἢ μένοντες ὁμολογίῃ χρησόμεθα· τί γὰρ πάθωμεν μὴ βουλομένων ὑμέων τιμωρέειν; ὑμῖν δὲ οὐδέν ἐπὶ τούτῳ ἔσται ἐλαφρότερον· ἥκει γὰρ ὁ Πέρσης οὐδέν τι μᾶλλον ἐπ' ἡμέας ἢ οὐ καὶ ἐπ' ὑμέας, οὐδέ οἱ καταχρήσει ἡμέας καταστρεψαμένῳ ὑμέων ἀπέχεσθαι. μέγα δὲ ὑμῖν λόγων τῶνδε μαρτύριον ἐρέομεν· εἰ γὰρ ἐπ' ἡμέας μούνους ἐστρατηλάτεε ὁ Πέρσης τίσασθαι τῆς πρόσθε δουλοσύνης βουλόμενος, χρῆν αὐτὸν πάντων τῶν ἄλλων ἀπεχόμενον οὕτω ἰέναι ἐπὶ τὴν ἡμετέρην, καὶ ἂν ἐδήλου πᾶσι ὡς ἐπὶ Σκύθας ἐλαύνει καὶ οὐκ ἐπὶ τοὺς ἄλλους. νῦν δὲ ἐπείτε τάχιστα διέβη τήνδε τὴν ἤπειρον, τοὺς αἰεὶ ἐμποδὼν γινομένους ἡμεροῦται πάντας· τούς τε δὴ ἄλλους ἔχει

C. 117. *νομίζουσι*: zu IV, 63. — *πρὶν ἄν*: zu I, 19.

C. 118. *ἐκδιδάσκοντες*: zu II, 154. — *ἐν τῇ ἠπ. τῇ ἑτέρῃ*: Asien. — *ὑπ' ἑωυτῷ ποιήσασθαι*: zu I, 91. — *ἐκ τοῦ μέσου κατήμενοι*: zu III, 83. — *περιίδητε*: zu I, 24. — *ἀντιάζωμεν*: zu II, 141. — *οὐκ ὦν ποιήσετε ταῦτα;* = *ὑμέων μὴ ποιεόντων ταῦτα*. Zu I, 11. — *τί γὰρ πάθωμεν*: denn was sollen wir thun? — *ἐπὶ τούτῳ*: *idcirco*; oder wie I, 170 von der Zeit. — *ἢ οὐ καὶ ἐπ' ὑμέας*: wenn bei *μᾶλλον* eine Negation steht oder in dem Satze enthalten ist, so kann statt des blossen ἤ auch ἢ οὐ folgen. (Lobeck zu Soph. Ai. 1237 u. Herm. z. Vig. p. 799.) Noch V, 94 u. VII, 16, 3. Vgl. Thuc. 2, 62, 4 u. 3, 36, 3. — *καταχρήσει*: zu I, 164. — *τῆς πρόσθε δουλοσύνης*: die I, 103 u. 104 erzählte. — *χρῆν*: nämlich ἄν. Zu III, 45. — *διέβη τήνδε*:

ὑπ᾽ ἑωυτῷ Θρήικας, καὶ δὴ καὶ τοὺς ἡμῖν ἐόντας πλησιο-
119 χώρους Γέτας." ταῦτα Σκυθέων ἐπαγγελλομένων ἐβου-
λεύοντο οἱ βασιλέες οἱ ἀπὸ τῶν ἐθνέων ἥκοντες, καί
σφεων ἐσχίσθησαν αἱ γνῶμαι· ὁ μὲν γὰρ Γελωνὸς καὶ ὁ
Βουδῖνος καὶ ὁ Σαυρομάτης κατὰ τὠυτὸ γενόμενοι ὑπεδέ-
κοντο Σκύθῃσι τιμωρήσειν, ὁ δὲ Ἀγάθυρσος καὶ Νευρὸς
καὶ Ἀνδροφάγος καὶ οἱ τῶν Μελαγχλαίνων καὶ Ταύρων
τάδε Σκύθῃσι ὑπεκρίναντο. "εἰ μὲν μὴ ὑμεῖς ἔατε οἱ πρό-
τερον ἀδικήσαντες Πέρσας καὶ ἄρξαντες πολέμου, τούτων
δεόμενοι τῶν νῦν δέεσθε λέγειν τε ἂν ἐφαίνεσθε ἡμῖν ὀρθά,
καὶ ἡμεῖς ὑπακούσαντες τὠυτὸ ἂν ὑμῖν ἐπρήσσομεν. νῦν δὲ
ὑμεῖς τε ἐς τὴν ἐκείνων ἐσβαλόντες γῆν ἄνευ ἡμέων ἐπεκρα-
τέετε Περσέων, ὅσον χρόνον ὑμῖν ὁ θεὸς παρεδίδου· καὶ
ἐκεῖνοι, ἐπεί σφεας ὡυτὸς θεὸς ἐγείρει, τὴν ὁμοίην ὑμῖν
ἀποδιδοῦσι. ἡμεῖς δὲ οὔτε τι τότε ἠδικήσαμεν τοὺς ἄνδρας
τούτους οὐδέν, οὔτε νῦν πρότεροι πειρησόμεθα ἀδικέειν.
ἢν μέντοι ἐπίῃ καὶ ἐπὶ τὴν ἡμετέρην ἄρξῃ τε ἀδικέων, καὶ
ἡμεῖς οὐ πεισόμεθα. μέχρι δὲ τοῦτο ἴδωμεν, μενέομεν παρ᾽
ἡμῖν αὐτοῖσι· ἥκειν γὰρ δοκέομεν οὐκ ἐπ᾽ ἡμέας Πέρσας,
120 ἀλλ᾽ ἐπὶ τοὺς αἰτίους τῆς ἀδικίης γενομένους." ταῦτα ὡς
ἀπενειχθέντα ἐπύθοντο οἱ Σκύθαι, ἐβουλεύοντο ἰθυμαχίην
μὲν μηδεμίαν ποιέεσθαι ἐκ τοῦ ἐμφανέος, ὅτι δή σφι οὗ-
τοί γε σύμμαχοι οὐ προσεγένοντο, ὑπεξιόντες δὲ καὶ ὑπεξ-
ελαύνοντες τὰ φρέατα, τὰ παρεξίοιεν αὐτοί, καὶ τὰς κρή-
νας συγχοῦν, τὴν ποίην τε ἐκ τῆς γῆς ἐκτρίβειν, διχοῦ σφέας

oben stand *διαβέβηκε ἐς τήνδε*. — *ἔχει ὑπ᾽ ἑωυτῷ*: zu I, 91.

C. 119. *ἐπαγγελλομένων*: zu II, 121, 6. — *ὁ Γελωνός*: wie *τὸν Κόλχον* I, 2. — *κατὰ τὠυτὸ γενόμενοι* = *τῇ αὐτῇ γνώμῃ χρησάμενοι*. — *ὑπεδέκοντο*: zu I, 24. — *ἔατε*: zweite Pers. Plur. Imperf. von *εἶναι*, noch V, 92, 1. Vgl. I, 187. — *τούτων . . . δέεσθε*: gehört schon zum Nachsatz. — *δεόμενοι τῶν νῦν δέεσθε*: wie I, 91 *εἶπε τὰ εἶπε*. — *τὴν ὁμοίην*: nämlich *δίκην*. Noch VI, 21. — *ἐπίῃ*: nämlich *ὁ Πέρσης* aus *τοὺς ἄνδρας τούτους* zu entnehmen. — *οὐ πεισόμεθα*: wir werden es nicht dulden. Da *πάσχειν* nicht leicht diesen Sinn haben kann, conjicirt Bekker *οὐ περιοψόμεθα*. Vgl. *περιορᾶν* I, 24. — *μέχρι δὲ τοῦτο ἴδωμεν*: zu III, 31 u. IV, 3.

C. 120. *ὑπεξελαύνοντες*: als Object ist zu ergänzen *τὰ κτήνεα*. —

διελόντες. καὶ πρὸς μὲν τὴν μίαν τῶν μοιρέων, τῆς ἐβασίλευε Σκώπασις, προσχωρέειν Σαυρομάτας· τούτους μὲν δὴ ὑπάγειν, ἢν ἐπὶ τοῦτο τράπηται ὁ Πέρσης, ἰθὺ Τανάιδος ποταμοῦ παρὰ τὴν Μαιῆτιν λίμνην ὑποφεύγοντας, ἀπελαύνοντός τε τοῦ Πέρσεω ἐπιόντας διώκειν. αὕτη μέν σφι μία ἦν μοῖρα τῆς βασιληίης, τεταγμένη ταύτην τὴν ὁδὸν ἥπερ εἴρηται· τὰς δὲ δύο τῶν βασιληίων, τήν τε μεγάλην τῆς ἦρχε Ἰδάνθυρσος καὶ τὴν τρίτην τῆς ἐβασίλευε Τάξακις, συνελθούσας ἐς τὠυτὸ καὶ Γελωνῶν τε καὶ Βουδίνων προσγενομένων, ἡμέρης καὶ τούτους ὁδῷ προέχοντας τῶν Περσέων ὑπεξάγειν, ὑπιόντας τε καὶ ποιεῦντας τὰ βεβουλευμένα. πρῶτα μέν νυν ὑπάγειν σφέας ἰθὺ τῶν χωρέων τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, ἵνα καὶ τούτους ἐκπολεμώσωσι· εἰ δὲ μὴ ἑκόντες γε ὑπέδυσαν τὸν πόλεμον τὸν πρὸς Πέρσας, ἀλλ' ἀέκοντας ἐκπολεμῶσαι· μετὰ δὲ τοῦτο ὑποστρέφειν ἐς τὴν σφετέρην καὶ ἐπιχειρέειν, ἢν δὴ βουλευομένοισι δοκέῃ.

121 Ταῦτα οἱ Σκύθαι βουλευσάμενοι ὑπηντίαζον τὴν Δαρείου στρατιήν, προδρόμους ἀποστείλαντες τῶν ἱππέων τοὺς ἀρίστους. τὰς δὲ ἁμάξας ἐν τῇσί σφι διαιτᾶτο τὰ

διελόντες: zu I, 94. — πρὸς μέν: dies μέν ist zweimal wiederholt, hinter τούτους und hinter αὕτη. — ὑπάγειν . . . ὑποφεύγοντας findet seinen genauen Gegensatz in dem folgenden ἐπιόντας διώκειν. — ἐπὶ τοῦτο: zum Angriff; wird erklärt durch den Gegensatz ἀπελαύνοντος τοῦ Πέρσεω. — ἀπελαύνοντος: als Object zu ergänzen: sich oder sein Heer. — τῆς βασιληίης: doch wohl dasselbe als das folgende τῶν βασιληίων, nämlich Σκυθέων (vgl. IV, 6), indem bei dieser wichtigen Sache die andern Skythen gar nicht in Betracht kamen, sondern nach dem Gutdünken der königlichen irgend einer der drei von ihnen befehligten Abtheilungen zugewiesen wurden. Schon von Anfang an zerfiel das Land der königlichen Skythen in drei Theile; vgl. IV, 7 τριφασίας τὰς βασιληίας τοῖσι παισὶ τοῖσι ἑωυτοῦ καταστήσασθαι Κολάξαϊν. — ἡμέρης ὁδῷ: um eine Tagereise. — καὶ τούτους: so wie die erste Abtheilung. Hier tritt eine Art Anakoluthie ein, indem alle Participia, die auf τὰς δὲ δύο (μοίρας) bezogen werden müssten, auf τούτους bezogen werden. — προέχοντας τῶν Περσέων: vor den Persern voraus; noch IV, 122, und ähnlich IX, 22. — πρῶτα μέν: der Gegensatz ist μετὰ δὲ τοῦτο, dagegen ist das δέ hinter εἰ explikativ: nämlich. — ἀπειπαμένων: zu I, 59. — ἐκπολεμώσωσι: zu III, 66. — ἀλλ' ἀέκοντας: at invitos certe. Zu II, 172.

C. 121. ὑπηντίαζον: zu II, 141.

τέκνα τε καὶ αἱ γυναῖκες πᾶσαι, καὶ τὰ πρόβατα πάντα πλὴν ὅσα σφι ἐς φορβὴν ἱκανὰ ἦν, τοσαῦτα ὑπολιπόμενοι τὰ ἄλλα ἅμα τῇσι ἁμάξῃσι προέπεμψαν, ἐντειλάμενοι
122 αἰεὶ τὸ πρὸς βορέω ἐλαύνειν. ταῦτα μὲν δὴ προεκομίζετο, τῶν δὲ Σκυθέων οἱ πρόδρομοι ὡς εὗρον τοὺς Πέρσας ὅσον τε τριῶν ἡμερέων ὁδὸν ἀπέχοντας ἀπὸ τοῦ Ἴστρου, οὗτοι μὲν τούτους εὑρόντες, ἡμέρης ὁδῷ προέχοντες, ἐστρατοπεδεύοντο τὰ ἐκ τῆς γῆς φυόμενα λεαίνοντες. οἱ δὲ Πέρσαι ὡς εἶδον ἐπιφανεῖσαν τῶν Σκυθέων τὴν ἵππον, ἐπήισαν κατὰ στίβον αἰεὶ ὑπαγόντων· καὶ ἔπειτα (πρὸς γὰρ τὴν μίαν τῶν μοιρέων ἴθυσαν) οἱ Πέρσαι ἐδίωκον πρὸς ἠῶ τε καὶ τοῦ Τανάιδος. διαβάντων δὲ τούτων τὸν Τάναϊν ποταμὸν οἱ Πέρσαι ἐπιδιαβάντες ἐδίωκον, ἐς ὃ τῶν Σαυροματέων τὴν χώρην διεξελθόντες ἀπίκοντο ἐς τὴν τῶν Βουδί-
123 νων. ὅσον μὲν δὴ χρόνον οἱ Πέρσαι ἤισαν διὰ τῆς Σκυθικῆς καὶ τῆς Σαυρομάτιδος χώρης, οἱ δὲ εἶχον οὐδὲν σίνεσθαι ἅτε τῆς χώρης ἐούσης χέρσου· ἐπείτε δὲ ἐς τὴν τῶν Βουδίνων χώρην ἐσέβαλον, ἐνθαῦτα δὴ ἐντυχόντες τῷ ξυλίνῳ τείχεϊ, ἐκλελοιπότων τῶν Βουδίνων καὶ κεκενωμένου τοῦ τείχεος πάντων, ἐνέπρησαν αὐτό. τοῦτο δὲ ποιήσαντες εἵποντο αἰεὶ τὸ πρόσω κατὰ στίβον, ἐς ὃ διεξελθόντες ταύτην ἐς τὴν ἐρῆμον ἀπίκοντο. ἡ δὲ ἐρῆμος αὕτη ὑπ' οὐδαμῶν νέμεται ἀνδρῶν, κέεται δὲ ὑπὲρ τῆς Βουδίνων χώρης ἐοῦσα πλῆθος ἑπτὰ ἡμερέων ὁδοῦ. ὑπὲρ δὲ τῆς ἐρήμου Θυσσαγέται οἰκέουσι, ποταμοὶ δὲ ἐξ αὐτέων τέσσερες μεγάλοι ῥέοντες διὰ Μαιητέων ἐκδιδοῦσι ἐς τὴν λίμνην τὴν καλεομένην Μαιῆτιν, τοῖσι οὐνόματα κέεται τάδε, Λύκος

C. 122. *οὗτοι μὲν τούτους εὑρόντες*: pleonastisch wie I, 68 *συνεβάλλετο ... τῇδε συμβαλλόμενος*. — *ἡμέρης ὁδῷ προέχοντες*: zu IV, 120. — *λεαίνοντες*: zu I, 200. — *ἴθυσαν*: zu I, 204. — *ἐπιδιαβ.*: nach den Skythen.

C. 123. *οἱ δέ*: wie I, 112. — *χέρσου*: adjectivisch. Hesych. II p. 1550 erklärt es: *ἡ ἐρῆμος γῆ καὶ τραχεῖα, καὶ πᾶσα γῆ ἄκαρπος καὶ ἀνέργαστος*. Dagegen II, 99. festländisch. — *τῷ ξυλίνῳ τείχεϊ*: vgl. IV, 108. — *ἐρῆμος*: vgl. IV, 22. — *πλῆθος*: zu I, 203. — *Θυσσαγέται*: zu IV, 22. — *Μαιητέων*: diese Bezeichnung kommt im H. nur hier vor. Darunter fasst er wohl alle die Völker zusammen, die um die Maietis woh-

Ὄαρος Τάναϊς Σύργις. ἐπεὶ ὦν ὁ Δαρεῖος ἦλθε ἐς τὴν ἐρῆμον, παυσάμενος τοῦ δρόμου ἵδρυσε τὴν στρατιὴν ἐπὶ ποταμῷ Ὀάρῳ. τοῦτο δὲ ποιήσας ὀκτὼ τείχεα ἐτείχεε μεγάλα, ἴσον ἀπ' ἀλλήλων ἀπέχοντα, σταδίους ὡς ἑξήκοντα μάλιστά κῃ· τῶν ἔτι ἐς ἐμὲ τὰ ἐρείπια σῶα ἦν. ἐν ᾧ δὲ οὗτος πρὸς ταῦτα ἐτράπετο, οἱ διωκόμενοι Σκύθαι περιελθόντες τὰ κατύπερθε ὑπέστρεφον ἐς τὴν Σκυθικήν. ἀφανισθέντων δὲ τούτων τὸ παράπαν, ὡς οὐκέτι ἐφαντάζοντό σφι, οὕτω δὴ ὁ Δαρεῖος τείχεα μὲν ἐκεῖνα ἡμίεργα μετῆκε, αὐτὸς δὲ ὑποστρέψας ἤιε πρὸς ἑσπέρην, δοκέων τούτους τε πάντας τοὺς Σκύθας εἶναι καὶ πρὸς ἑσπέρην σφέας φεύγειν. ἐλαύνων δὲ τὴν ταχίστην τὸν στρατὸν ὡς ἐς τὴν Σκυθικὴν ἀπίκετο, ἐνέκυρσε ἀμφοτέρῃσι τῇσι μοίρῃσι τῶν Σκυθέων, ἐντυχὼν δὲ ἐδίωκε ὑπεκφέροντας ἡμέρης ὁδῷ. καὶ οὐ γὰρ ἀνίεε ἐπιὼν ὁ Δαρεῖος, οἱ Σκύθαι κατὰ τὰ βεβουλευμένα ὑπέφευγον ἐς τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, πρώτην δὲ ἐς τῶν Μελαγχλαίνων τὴν γῆν. ὡς δὲ ἐσβαλόντες τούτους ἐτάραξαν οἵ τε Σκύθαι καὶ οἱ Πέρσαι, κατηγέοντο οἱ Σκύθαι ἐς τῶν Ἀνδροφάγων τοὺς χώρους. ταραχθέντων δὲ καὶ τούτων ὑπῆγον ἐπὶ τὴν Νευρίδα. ταρασσομένων δὲ καὶ τούτων ἤισαν ὑποφεύγοντες οἱ Σκύθαι ἐς τοὺς Ἀγαθύρσους. Ἀγάθυρσοι δὲ ὁρέωντες καὶ τοὺς ὁμούρους φεύγοντας ὑπὸ Σκυθέων καὶ τεταραγμένους, πρὶν ἤ σφι ἐμβαλέειν τοὺς Σκύθας πέμψαντες κήρυκα ἀπηγόρευον Σκύθῃσι μὴ ἐπιβαίνειν τῶν σφετέρων οὔρων, προλέγοντες ὡς εἰ πειρήσονται ἐσβαλόντες, σφίσι πρῶτα διαμα-

124 (margin, line 1) · 125 (margin, at "φεύγειν. ἐλαύνων")

nen, und die Strabo XI p. 495 aufzählt. — *Λύκος Ὄαρος Σύργις*: über die beiden ersten sind die Geographen nicht einig; der letzte soll derselbe sein als der IV, 57 unter dem Namen *Ὕργις* bezeichnete.

C. 24. *τείχεα*: Burgen. — *ἐν ᾧ*: während. — *ἐφαντάζοντο*: zu VII, 10, 5. — *τούτους τε . . . εἶναι*: er ahnte nicht, dass es noch eine zweite Abtheilung gäbe.

C. 125. *ἐνέκυρσε*: zu II, 82. — *ὑπεκφέροντας*: intransitiv, ein variirter Ausdruck für das im Vorigen oft vorkommende *ὑπεξάγειν*. — *ἀνίεε*: zu I, 213. — *ἐς τῶν ἀπ.*: hier schwebt schon dem Schriftsteller *τὴν γῆν* vor, was erst hinter *Μελαγχλαίνων* steht. — *ἀπειπαμένων*: zu I, 59. — *ἐσβαλόντες*:

χέονται. Ἀγάθυρσοι μὲν προείπαντες ταῦτα ἐβοήθεον ἐπὶ τοὺς οὔρους, ἐρύκειν ἐν νόῳ ἔχοντες τοὺς ἐπιόντας· Μελάγχλαινοι δὲ καὶ Ἀνδροφάγοι καὶ Νευροὶ ἐσβαλόντων τῶν Περσέων ἅμα Σκύθῃσι οὔτε πρὸς ἀλκὴν ἐτράποντο, ἐπιλαθόμενοί τε τῆς ἀπειλῆς ἔφευγον αἰεὶ τὸ πρὸς βορέω ἐς τὴν ἐρῆμον τεταραγμένοι. οἱ δὲ Σκύθαι ἐς μὲν τοὺς Ἀγαθύρσους οὐκέτι ἀπείπαντας ἀπικνέοντο· οἱ δὲ ἐκ τῆς Νευρίδος χώρης ἐς τὴν σφετέρην κατηγέοντο τοῖσι Πέρσῃσι.

126 Ὡς δὲ πολλὸν τοῦτο ἐγίνετο καὶ οὐκ ἐπαύετο, πέμψας Δαρεῖος ἱππέα παρὰ τὸν Σκυθέων βασιλέα Ἰδάνθυρσον ἔλεγε τάδε. "δαιμόνιε ἀνδρῶν, τί φεύγεις αἰεί, ἐξόν τοι τῶνδε τὰ ἕτερα ποιέειν; εἰ μὲν γὰρ ἀξιόχρεος δοκέεις εἶναι σεωυτῷ τοῖσι ἐμοῖσι πρήγμασι ἀντιωθῆναι, σὺ δὲ στάς τε καὶ παυσάμενος πλάνης μάχεσθαι· εἰ δὲ συγγινώσκεαι εἶναι ἕσσων, σὺ δὲ καὶ οὕτω παυσάμενος τοῦ δρόμου δεσπότῃ τῷ σῷ δῶρα φέρων γῆν τε καὶ ὕδωρ ἐλθὲ ἐς λόγους."

127 πρὸς ταῦτα ὁ Σκυθέων βασιλεὺς Ἰδάνθυρσος ἔλεγε τάδε. "οὕτω τὸ ἐμὸν ἔχει, ὦ Πέρσα. ἐγὼ οὐδένα κω ἀνθρώπων δείσας ἔφυγον οὔτε πρότερον οὔτε νῦν σὲ φεύγω· οὐδέ τι νεώτερόν εἰμι ποιήσας νῦν ἢ καὶ ἐν εἰρήνῃ ἐώθεα ποιέειν. ὅ τι δὲ οὐκ αὐτίκα μάχομαί τοι, ἐγὼ καὶ τοῦτο σημανέω· ἡμῖν οὔτε ἄστεα οὔτε γῆ πεφυτευμένη ἔστι, τῶν πέρι δείσαντες μὴ ἁλώῃ ἢ καρῇ ταχύτερον συμμίσγοιμέν ἂν ἐς μάχην ὑμῖν. εἰ δὲ δέοι πάντως ἐς τοῦτο κατὰ τάχος ἀπικνέεσθαι, τυγχάνουσι ἡμῖν ἐόντες τάφοι πατρώιοι. φέρετε, τούτους ἀνευρόντες συγχέειν πειρᾶσθε αὐτούς, καὶ γνώ-

für den Infinitiv; zu II, 73. — *οὐκέτι* gehört zu *ἀπικνέοντο*. — *ἀπείπαντας*: zu I, 152. — *οἱ δέ* = *ἀλλά*: zu I, 66.

C. 126. *πολλόν*: ähnlich I, 98. — *δαιμόνιε*: noch VII, 48 u. VIII, 84 in der Anrede, nach homerischem Gebrauch: w u n d e r l i c h e r. — *ἐξόν*: zu I, 129. — *σὺ δέ*: zu I, 13 u. 112. — *μάχεσθαι*: zu III, 35. — *συγγινώσκεαι*: zu I, 45. — *γῆν τε καὶ ὕδωρ*: Aristot. Rhet. II, 23 §. 18: *τὸ διδόναι γῆν καὶ ὕδωρ δουλεύειν ἐστί.*

C. 127. *οὕτω τὸ ἐμὸν ἔχει*: *ita mihi res habet*. — *ὅ τι*: wie II, 19. — *καρῇ*: aor. 2. pass. von *κείρω*, wie IV, 94 *ἀναπαρείς* von *ἀναπείρω*. — *ἐς τοῦτο*: d a h i n, nämlich zum Kampf. — *ἀπικνέεσθαι*: Subject *σέ*. — *τάφοι πατρώιοι*: vgl. IV, 71. — *φέρετε*:

σεσθε τότε εἴτε ὑμῖν μαχεσόμεθα περὶ τῶν τάφων εἴτε καὶ οὐ μαχεσόμεθα. πρότερον δέ, ἢν μὴ ἡμέας λόγος αἱρέῃ, οὐ συμμίξομέν τοι. ἀμφὶ μὲν μάχῃ τοσαῦτα εἰρήσθω, δεσπότας δὲ ἐμοὺς ἐγὼ Δία τε νομίζω τὸν ἐμὸν πρόγονον καὶ Ἱστίην τὴν Σκυθέων βασίλειαν μούνους εἶναι. σοὶ δὲ ἀντὶ μὲν δώρων γῆς τε καὶ ὕδατος δῶρα πέμψω τοιαῦτα οἷά σοι πρέπει ἐλθεῖν, ἀντὶ δὲ τοῦ ὅτι δεσπότης ἔφησας εἶναί ἐμός, κλαίειν λέγω." τοῦτό ἐστι ἡ ἀπὸ Σκυθέων ῥῆσις.

Ὁ μὲν δὴ κῆρυξ οἰχώκεε ἀγγελέων ταῦτα Δαρείῳ, οἱ δὲ 128
Σκυθέων βασιλέες ἀκούσαντες τῆς δουλοσύνης τὸ οὔνομα ὀργῆς ἐπλήσθησαν. τὴν μὲν δὴ μετὰ Σαυροματέων μοῖραν ταχθεῖσαν, τῆς ἦρχε Σκώπασις, πέμπουσι Ἴωσι κελεύοντες ἐς λόγους ἀπικέσθαι, τούτοισι οἳ τὸν Ἴστρον ἐζευγμένον ἐφρούρεον· αὐτῶν δὲ τοῖσι ὑπολειπομένοισι ἔδοξε πλανᾶν μὲν μηκέτι Πέρσας, σῖτα δὲ ἑκάστοτε ἀναιρεομένοισι ἐπιτίθεσθαι. νωμῶντες ὦν σῖτα ἀναιρεομένους τοὺς Δαρείου ἐποίευν τὰ βεβουλευμένα. ἡ μὲν δὴ ἵππος τὴν ἵππον αἰεὶ τρέπεσκε ἡ τῶν Σκυθέων, οἱ δὲ τῶν Περσέων ἱππόται φεύγοντες ἐσέπιπτον ἐς τὸν πεζόν, ὁ δὲ πεζὸς ἂν ἐπεκούρεε· οἱ δὲ Σκύθαι ἐσαράξαντες τὴν ἵππον ὑπέστρεφον, τὸν πεζὸν φοβεόμενοι. ἐποιεῦντο δὲ καὶ τὰς νύκτας παραπλησίας προσβολὰς οἱ Σκύθαι. τὸ δὲ τοῖσι Πέρσῃσί τε ἦν σύμμα- 129
χον καὶ τοῖσι Σκύθῃσι ἀντίξοον ἐπιτιθεμένοισι τῷ Δαρείου στρατοπέδῳ, θῶυμα μέγιστον ἐρέω, τῶν τε ὄνων ἡ φωνὴ καὶ τῶν ἡμιόνων τὸ εἶδος. οὔτε γὰρ ὄνον οὔτε ἡμίονον γῆ ἡ Σκυθικὴ φέρει, ὡς καὶ πρότερόν μοι δεδήλωται· οὐδὲ ἔστι ἐν τῇ Σκυθικῇ πάσῃ χώρῃ τὸ παράπαν οὔτε ὄνος οὔτε

zu I, 11. — *λόγος αἱρέῃ*: zu I, 132. — *δῶρα π. τοιαῦτα*: nämlich die C. 131 bezeichneten. — *κλαίειν λέγω*: *haec locutio Atticis scriptoribus haud infrequens calamitatem, mala, damna perpetienda ac deploranda per euphemismum quemdam declarat.*" Bähr. — *ῥῆσις*: zu I, 152.

C. 128. *ἀναιρεομένοισι*: zu II, 52. — *ἐπιτίθεσθαι*: zu I, 26. — *νωμῶντες*: so oft sie wahrnahmen; *νωμᾶν* nur hier. — *ἂν ἐπεκούρεε*: zu I, 42. — *ἐσαράξαντες*: nachdem sie auf das Fussvolk geworfen hatten; noch V, 116.

C. 129. *ἀντίξοον*: zu I, 174. — *ἐπιτιθεμένοισι*: zu I, 26. — *πρό-*

ἡμιόνους διὰ τὰ ψύχεα. ὑβρίζοντες ὦν οἱ ὄνοι ἐτάρασσον
τὴν ἵππον τῶν Σκυθέων. πολλάκις δὲ ἐπελαυνόντων ἐπὶ
τοὺς Πέρσας μεταξὺ ὅκως ἀκούσειαν οἱ ἵπποι τῶν ὄνων
τῆς φωνῆς, ἐταράσσοντό τε ὑποστρεφόμενοι καὶ ἐν θώυ-
ματι ἔσκον, ὀρθὰ ἱστάντες τὰ ὦτα, ἅτε οὔτε ἀκούσαντες
πρότερον φωνῆς τοιαύτης οὔτε ἰδόντες τὸ εἶδος. ταῦτα μέν
130 νυν ἐπὶ σμικρόν τι ἐφέροντο τοῦ πολέμου· οἱ δὲ Σκύθαι
ὅκως τοὺς Πέρσας ἴδοιεν τεθορυβημένους, ἵνα παραμένοιέν
τε ἐπὶ πλέω χρόνον ἐν τῇ Σκυθικῇ καὶ παραμένοντες ἀνιῴ-
ατο τῶν πάντων ἐπιδεέες ἐόντες, ἐποίευν τοιάδε. ὅκως τῶν
προβάτων τῶν σφετέρων αὐτῶν καταλίποιεν μετὰ τῶν νο-
μέων, αὐτοὶ ἂν ὑπεξήλαυνον ἐς ἄλλον χῶρον· οἱ δὲ ἂν Πέρ-
σαι ἐπελθόντες λάβεσκον τὰ πρόβατα, καὶ λαβόντες ἐπή-
131 ροντο ἂν τῷ πεποιημένῳ. πολλάκις δὲ τοιούτου γινομένου,
τέλος Δαρεῖός τε ἐν ἀπορίῃσι εἴχετο, καὶ οἱ Σκυθέων βασι-
λέες μαθόντες τοῦτο ἔπεμπον κήρυκα δῶρα Δαρείῳ φέρον-
τα ὄρνιθά τε καὶ μῦν καὶ βάτραχον καὶ ὀιστοὺς πέντε.
Πέρσαι δὲ τὸν φέροντα τὰ δῶρα ἐπειρώτων τὸν νόον τῶν
διδομένων· ὁ δὲ οὐδὲν ἔφη οἱ ἐπεστάλθαι ἄλλο ἢ δόντα
τὴν ταχίστην ἀπαλλάσσεσθαι· αὐτοὺς δὲ τοὺς Πέρσας

τερον: nämlich IV, 28. — *ὑβρίζοντες*: *lascivientes*, wohl hauptsächlich vom Geschrei; vgl. Xen. An. 5, 8, 3. — *ἐπελαυνόντων*: nämlich *τῶν Σκυθέων*. — *μεταξύ*: *interim*, nämlich wie es Steger umschreibt: *πρὶν ἢ τοὺς Σκύθας ἐλθεῖν πρὸς τοὺς Πέρσας, καὶ συμπλακῆναι αὐτοῖς*. — *ταῦτα μὲν … πολέμου*: dieses (d. h. die Leiden und Vortheile, welche von beiden Parteien vorher erzählt sind) ertrugen sie (nämlich sowohl Skythen als Perser) gegenseitig (vielleicht ist dies der Grund des Medii) auf eine kleine Zeit des Krieges (d. h. während eines kleinen Theiles oder im Anfange des Krieges).

C. 130. *τεθορυβημένους*: Steger giebt als Erklärung: *οἷα δὴ ὡρμημένους ἐκ τῆς χώρας τῆς Σκυθικῆς ἐξιέναι*. — *τῶν σφετέρων αὐτῶν*: zu IV, 98. — *νομέων*: zu I, 194. — *ἂν ὑπεξήλαυνον. ἂν ἐλάβεσκον. ἐπήροντο ἄν*: zu I, 42. — *ἐπήροντο*: zu I, 212: "*Scilicet hoc fuit Scytharum consilium, ut spe Dario facta praedae identidem, unde exercitum aleret, faciendae, retineretur rex cis Istrum fluvium, donec ad extremum, ponte Istri ab Ionibus rescisso* (coll. C. 33) *reditu exclusus exercitus fame esset periturus.*" Schweigh.

C. 131. *ἐν ἀπορίῃσι εἴχετο*: zu I, 190. — *τὸν νόον*: gerade wie *τὴν διάνοιαν* II, 162. — *ἐθέλει*: zu I, 32.

ἐκέλευε, εἰ σοφοί εἰσι, γνῶναι τὸ ἐθέλει τὰ δῶρα λέγειν. ταῦτα ἀκούσαντες οἱ Πέρσαι ἐβουλεύοντο. Δαρείου μέν 132
νυν ἡ γνώμη ἦν Σκύθας ἑωυτῷ διδόναι σφέας τε αὐτοὺς καὶ γῆν τε καὶ ὕδωρ, εἰκάζων τῇδε, ὡς μῦς μὲν ἐν γῇ γίνεται καρπὸν τὸν αὐτὸν ἀνθρώπῳ σιτεόμενος, βάτραχος δὲ ἐν ὕδατι, ὄρνις δὲ μάλιστα ἔοικε ἵππῳ, τοὺς δὲ ὀιστοὺς ὡς τὴν ἑωυτῶν ἀλκὴν παραδιδοῦσι. αὕτη μὲν Δαρείῳ ἡ γνώμη ἀπεδέδεκτο, συνεστήκεε δὲ ταύτῃ τῇ γνώμῃ ἡ Γωβρύεω, τῶν ἀνδρῶν τῶν ἑπτὰ ἑνὸς τῶν τὸν Μάγον κατελόντων, εἰκάζοντος τὰ δῶρα λέγειν "ἢν μὴ ὄρνιθες γενόμενοι ἀναπτῆσθε ἐς τὸν οὐρανόν, ὦ Πέρσαι, ἢ μύες γενόμενοι κατὰ τῆς γῆς καταδύητε, ἢ βάτραχοι γενόμενοι ἐς τὰς λίμνας ἐσπηδήσητε, οὐκ ἀπονοστήσετε ὀπίσω ὑπὸ τῶνδε τῶν τοξευμάτων βαλλόμενοι."

Πέρσαι μὲν δὴ οὕτω τὰ δῶρα εἴκαζον, ἡ δὲ Σκυθέων 133
μία μοῖρα ἡ ταχθεῖσα πρότερον μὲν παρὰ τὴν Μαιῆτιν λίμνην φρουρέειν, τότε δὲ ἐπὶ τὸν Ἴστρον Ἴωσι ἐς λόγους ἐλθεῖν, ὡς ἀπίκετο ἐπὶ τὴν γέφυραν, ἔλεγε τάδε. "ἄνδρες Ἴωνες, ἐλευθερίην ὑμῖν ἥκομεν φέροντες, ἤν πέρ γε ἐθέλητε ἐσακούειν. πυνθανόμεθα γὰρ Δαρεῖον ἐντείλασθαι ὑμῖν ἑξήκοντα ἡμέρας μούνας φρουρήσαντας τὴν γέφυραν, αὐτοῦ μὴ παραγενομένου ἐν τούτῳ τῷ χρόνῳ ἀπαλλάσσεσθαι ἐς τὴν ὑμετέρην. νῦν ὦν ὑμεῖς τάδε ποιεῦντες ἐκτὸς μὲν ἔσεσθε πρὸς ἐκείνου αἰτίης, ἐκτὸς δὲ πρὸς ἡμέων· τὰς προκειμένας ἡμέρας παραμείναντες τὸ ἀπὸ τούτου ἀπαλλάσσεσθε." οὗτοι μέν νυν ὑποδεξαμένων Ἰώνων ποιήσειν ταῦ-
τα ὀπίσω τὴν ταχίστην ἠπείγοντο, Πέρσῃσι δὲ μετὰ τὰ 134
δῶρα τὰ ἐλθόντα Δαρείῳ ἀντετάχθησαν οἱ ὑπολειφθέντες Σκύθαι πεζῷ καὶ ἵπποισι ὡς συμβαλέοντες. τεταγμένοισι δὲ τοῖσι Σκύθῃσι λαγὸς ἐς τὸ μέσον διήιξε· τῶν δὲ ὡς ἑκα-

C. 132. εἰκάζων τῇδε = τῇδε συμβαλλόμενος III, 68. — συνεστήκεε: zu I, 208. — τῶν ἑπτά: vgl. III, 70. — κατελόντων: zu I, 4.

C. 133. πρότερον μέν . . .: vgl. C. 120. — τότε δέ . . .: vgl. C. 128. ἑξήκοντα . . . ἐς τὴν ὑμετέρην: vgl. C. 98. — αἰτίης: gehört zu ἐκτός. — ὑποδεξαμένων: zu I, 24.

C. 134. διήιξε: aor. von διαΐσσω

στοι ὥρων τὸν λαγὸν ἐδίωκον. ταραχθέντων δὲ τῶν Σκυθέων καὶ βοῇ χρεωμένων, εἴρετο ὁ Δαρεῖος τῶν ἀντιπολέμων τὸν θόρυβον· πυθόμενος δέ σφεας τὸν λαγὸν διώκοντας, εἶπε ἄρα πρὸς τούς περ ἐώθεε καὶ τὰ ἄλλα λέγειν, "οὗτοι ὦνδρες ἡμέων πολλὸν καταφρονέουσι, καί μοι νῦν φαίνεται Γωβρύης εἶπαι περὶ τῶν Σκυθικῶν δώρων ὀρθῶς. ὡς ὦν οὕτω ἤδη δοκεόντων καὶ αὐτῷ μοι ἔχειν, βουλῆς ἀγαθῆς δεῖ, ὅκως ἀσφαλέως ἡ κομιδὴ ἡμῖν ἔσται τὸ ὀπίσω." πρὸς ταῦτα Γωβρύης εἶπε "ὦ βασιλεῦ, ἐγὼ σχεδὸν μὲν καὶ λόγῳ ἠπιστάμην τούτων τῶν ἀνδρῶν τὴν ἀπορίην, ἐλθὼν δὲ μᾶλλον ἐξέμαθον, ὁρέων αὐτοὺς ἐμπαίζοντας ἡμῖν. νῦν ὦν μοι δοκέει, ἐπεὰν τάχιστα νὺξ ἐπέλθῃ, ἐκκαύσαντας τὰ πυρὰ ὡς καὶ ἄλλοτε ἐώθαμεν ποιέειν, τῶν στρατιωτέων τοὺς ἀσθενεστάτους ἐς τὰς ταλαιπωρίας ἐξαπατήσαντας καὶ τοὺς ὄνους πάντας καταδήσαντας ἀπαλλάσσεσθαι, πρὶν ἢ καὶ ἐπὶ τὸν Ἴστρον ἰθῦσαι Σκύθας λύσοντας τὴν γέφυραν, ἢ καί τι Ἴωσι δόξαι τὸ ἡμέας οἷόν τε ἔσται ἐξεργάσασθαι." Γωβρύης μὲν ταῦτα συνεβούλευε,

135 μετὰ δὲ νύξ τε ἐγένετο καὶ Δαρεῖος ἐχρᾶτο τῇ γνώμῃ ταύτῃ· τοὺς μὲν καματηροὺς τῶν ἀνδρῶν, καὶ τῶν ἦν ἐλάχιστος ἀπολλυμένων λόγος, καὶ τοὺς ὄνους πάντας καταδήσας κατέλιπε αὐτοῦ ταύτῃ ἐν τῷ στρατοπέδῳ. κατέλιπε δὲ τούς τε ὄνους καὶ τοὺς ἀσθενέας τῆς στρατιῆς τῶνδε εἵνεκεν, ἵνα οἱ μὲν ὄνοι βοὴν παρέχωνται· οἱ δὲ ἄνθρωποι ἀσθενείης μὲν εἵνεκεν κατελείποντο, προφάσιος δὲ τῆσδε

= διφττω. — καταφρονέουσι: zu I, 59. — δοκεόντων: nämlich τούτων oder τῶν πραγμάτων. So I, 3 τοῦς δὲ προϊσχομένων ταῦτα. 126 ὡς ὦν ἐχόντων ὧδε., und sonst öfters, wenn das Subject aus dem Vorigen leicht supplirt werden kann. — ἡ κομιδή: der Rückzug. — τὴν ἀπορίην: vgl. IV, 83 u. 127. — ἐκκαύσαντας: hier anbrennen, so wie im flgd. C.; aber VII, 18 ausbrennen. — ἐς τὰς ταλαιπωρίας: in Ansehung der Ertragung von Strapazen. — ἐξαπατήσαντας: parallel mit ἐκκαύσαντας. — ἰθῦσαι: zu I, 204. — ἐξεργάσασθαι: zu III, 30.

C. 135. νύξ τε . . . καί: zu III, 76. — καματηρούς: variirter Ausdruck für das obige ἀσθενεστάτους. — τῶν . . . λόγος = στρατιᾶς, τῆς οὐδεμία ἔσται ὤρη ἀπολλυμένης III, 155. — αὐτοῦ ταύτῃ: zu I, 189. — προφάσιος: hängt noch ab von εἵνεκεν. — τῷ κα-

δηλαδή, ὡς αὐτὸς μὲν σὺν τῷ καθαρῷ τοῦ στρατοῦ ἐπιθήσεσθαι μέλλοι τοῖσι Σκύθῃσι, οὗτοι δὲ τὸ στρατόπεδον τοῦτον τὸν χρόνον ῥυοίατο. ταῦτα τοῖσι ὑπολειπομένοισι ὑποθέμενος ὁ Δαρεῖος καὶ πυρὰ ἐκκαύσας τὴν ταχίστην ἠπείγετο ἐπὶ τὸν Ἴστρον. οἱ δὲ ὄνοι ἐρημωθέντες τοῦ ὁμίλου οὕτω μὲν δὴ μᾶλλον πολλῷ ἵεσαν τῆς φωνῆς· ἀκούσαντες δὲ οἱ Σκύθαι τῶν ὄνων πάγχυ κατὰ χώρην ἤλπιζον τοὺς Πέρσας εἶναι. ἡμέρης δὲ γενομένης γνόντες οἱ ὑπο- 136
λειφθέντες ὡς προδεδομένοι εἴεν ὑπὸ Δαρείου, χεῖράς τε προετείνοντο τοῖσι Σκύθῃσι καὶ ἔλεγον τὰ κατήκοντα· οἱ δὲ ὡς ἤκουσαν ταῦτα, τὴν ταχίστην συστραφέντες, αἵ τε δύο μοῖραι τῶν Σκυθέων καὶ ἡ μετὰ Σαυροματέων καὶ Βουδῖνοι καὶ Γελωνοί, ἐδίωκον τοὺς Πέρσας ἰθὺ τοῦ Ἴστρου. ἅτε δὲ τοῦ Περσικοῦ μὲν τοῦ πολλοῦ ἐόντος πεζοῦ στρατοῦ, καὶ τὰς ὁδοὺς οὐκ ἐπισταμένου ὥστε οὐ τετμημένων τῶν ὁδῶν, τοῦ δὲ Σκυθικοῦ ἱππότεω καὶ τὰ σύντομα τῆς ὁδοῦ ἐπισταμένου, ἁμαρτόντες ἀλλήλων, ἔφθησαν πολλῷ οἱ Σκύθαι τοὺς Πέρσας ἐπὶ τὴν γέφυραν ἀπικόμενοι. μαθόντες δὲ τοὺς Πέρσας οὔκω ἀπιγμένους ἔλεγον πρὸς τοὺς Ἴωνας ἐόντας ἐν τῇσι νηυσί "ἄνδρες Ἴωνες, αἵ τε ἡμέραι ὑμῖν τοῦ ἀριθμοῦ διοίχηνται, καὶ οὐ ποιέετε δίκαια ἔτι παραμένοντες. ἀλλ' ἐπεὶ πρότερον δειμαίνοντες ἐμένετε, νῦν λύσαντες τὸν πόρον τὴν ταχίστην ἄπιτε χαίροντες ἐλεύθεροι, θεοῖσί τε καὶ Σκύθῃσι εἰδότες χάριν. τὸν δὲ πρότερον ἐόντα ὑμέων δεσπότην ἡμεῖς παραστησόμεθα οὕτω ὥστε ἐπὶ μηδαμοὺς ἔτι ἀνθρώπους αὐτὸν στρατεύσασθαι."
πρὸς ταῦτα οἱ Ἴωνες ἐβουλεύοντο. Μιλτιάδεω μὲν τοῦ 137
Ἀθηναίου, στρατηγέοντος καὶ τυραννεύοντος Χερσονησι-

καθαρῷ: zu I, 211. — ἐπιθήσεσθαι: zu I, 26. — ἐκκαύσας: zu IV, 134. — ἵεσαν: zu I, 57. — τῆς φωνῆς: hängt ab von μᾶλλον. — κατὰ χώρην: zu III, 135.

C. 136. τὰ κατήκοντα: *quod par erat;* zu II, 160. — αἵ τε δύο μοῖραι . . . καὶ ἡ . . .: Apposition zu οἱ δέ. Vgl. über diese verschiedenen Abtheilungen C. 120. — ὥστε: zu I, 73. — τετμημένων: der eigentliche Ausdruck vom Strassenbau; vgl. Thuc. 2, 100, 1. — αἵτε ἡμέραι . . . διοίχηνται = ὁ ταχθεὶς ἀριθμὸς τῶν ἡμερέων ὑμῖν διοίχηται. Steger. — παραστησόμεθα: zu I, 23.

C. 137. Μιλτιάδεω: über ihn

τέων τῶν ἐν Ἑλλησπόντῳ, ἦν γνώμη πείθεσθαι Σκύθῃσι καὶ ἐλευθεροῦν Ἰωνίην, Ἱστιαίου δὲ τοῦ Μιλησίου ἐναντίη ταύτῃ, λέγοντος ὡς νῦν μὲν διὰ Δαρεῖον ἕκαστος αὐτέων τυραννεύει πόλιος, τῆς Δαρείου δὲ δυνάμιος καταιρεθείσης οὔτε αὐτὸς Μιλησίων οἷός τε ἔσεσθαι ἄρχειν οὔτε ἄλλον οὐδένα οὐδαμῶν· βουλήσεσθαι γὰρ ἑκάστην τῶν πολίων δημοκρατέεσθαι μᾶλλον ἢ τυραννεύεσθαι. Ἱστιαίου δὲ γνώμην ταύτην ἀποδεικνυμένου αὐτίκα πάντες ἔσαν τετραμμένοι πρὸς ταύτην τὴν γνώμην, πρότερον τὴν Μιλτιάδεω αἱρεόμενοι.
138 ἔσαν δὲ οὗτοι οἱ διαφέροντές τε τὴν ψῆφον καὶ ἐόντες λόγου πρὸς βασιλέος, Ἑλλησποντίων μὲν τύραννοι Δάφνις τε Ἀβυδηνὸς καὶ Ἵπποκλος Λαμψακηνὸς καὶ Ἡρόφαντος Παριηνὸς καὶ Μητρόδωρος Προκοννήσιος καὶ Ἀρισταγόρης Κυζικηνὸς καὶ Ἀρίστων Βυζάντιος· οὗτοι μὲν οἱ ἐξ Ἑλλησπόντου, ἀπ' Ἰωνίης δὲ Στράττις τε Χῖος καὶ Αἰάκης Σάμιος καὶ Λαοδάμας Φωκαιεὺς καὶ Ἱστιαῖος Μιλήσιος, τοῦ ἦν γνώμη ἡ προκειμένη ἐναντίη τῇ Μιλτιάδεω. Αἰολέων δὲ παρῆν λόγιμος μοῦνας Ἀρισταγόρης Κυμαῖος.
139 οὗτοι ὦν ἐπείτε τὴν Ἱστιαίου αἱρέοντο γνώμην, ἔδοξέ σφι πρὸς ταύτῃ τάδε ἔργα τε καὶ ἔπεα προσθεῖναι, τῆς μὲν γεφύρης λύειν τὰ κατὰ τοὺς Σκύθας ἐόντα, λύειν δὲ

mehr VI, 39 fgg. — ἐναντίη: zu IV, 157. — διὰ Δαρεῖον: wird erklärt durch Corn. Nep. im Leben des Milt. C. 3: "*Ad hoc consilium (Miltiadis) cum plerique accederent, Histiaeus Milesius, ne res conficeretur, obstitit dicens: non idem ipsis, qui summas imperii tenerent, expedire et multitudini, quod Darii regno ipsorum niteretur dominatio; quo exstincto ipsos potestate expulsos civibus suis poenas daturos.*" — καταιρεθείσης: zu I, 4. — ἔσεσθαι: anacoluthisch, wie III, 32.

C. 138. διαφέροντες: vielleicht hier = φέρειν, nur dass die Präposition die vielen, verschiedene Stimmen Abgebenden bezeichnet; od. wie I, 85 in dem Sinne: welche eine (von Miltiades) verschiedene Stimme abgaben; τὴν ψῆφον ist dann als *acc. graec.* zu fassen. — ἐόντες λόγου: zu II, 101. — Παριηνός, aus Πάριον, Stadt in Mysien an der Propontis, Colonie von Milet. — ἐναντίη: zu IV, 157.

C. 139. κατὰ τοὺς Σκύθας: wie I, 76, den am skythischen Ufer befindlichen Theil der Brücke, dasselbe, was weiter unten τὸ ἐς τὴν Σκυθικὴν ἔχον heisst. — ὅσον: so weit als. — ἐξικνέεται: zu I, 171. — ἔδοξε . . . ἵνα . . . δοκέωσι: "Bei seiner Vorliebe für objective Redeweisen wählt der Grieche auch nach historischen Zeitformen statt des mehr ideellen

ὅσον τόξευμα ἐξικνέεται, ἵνα καὶ ποιέειν τι δοκέωσι ποιεῦντες μηδὲν καὶ οἱ Σκύθαι μὴ πειρῴατο βιώμενοι καὶ βουλόμενοι διαβῆναι τὸν Ἴστρον κατὰ τὴν γέφυραν, εἰπεῖν τε λύοντας τῆς γεφύρης τὸ ἐς τὴν Σκυθικὴν ἔχον ὡς πάντα ποιήσουσι τὰ Σκύθῃσί ἐστι ἐν ἡδονῇ. ταῦτα μὲν προσέθηκαν τῇ γνώμῃ· μετὰ δὲ ἐκ πάντων ὑπεκρίνατο Ἱστιαῖος τάδε λέγων. "ἄνδρες Σκύθαι, χρηστὰ ἥκετε φέροντες καὶ ἐς καιρὸν ἐπείγεσθε· καὶ τά τε ἀπ' ὑμέων ἡμῖν χρηστῶς ὁδοῦται, καὶ τὰ ἀπ' ἡμέων ἐς ὑμέας ἐπιτηδέως ὑπηρετέεται. ὡς γὰρ ὁρᾶτε, καὶ λύομεν τὸν πόρον καὶ προθυμίην πᾶσαν ἕξομεν θέλοντες εἶναι ἐλεύθεροι. ἐν ᾧ δὲ ἡμέες τάδε λύομεν, ὑμέας καιρός ἐστι δίζησθαι ἐκείνους, εὑρόντας δὲ ὑπέρ τε ἡμέων καὶ ὑμέων αὐτέων τίσασθαι οὕτω ὡς κείνους πρέπει."

Σκύθαι μὲν τὸ δεύτερον Ἴωσι πιστεύσαντες λέγειν ἀλη- 140
θέα ὑπέστρεφον ἐπὶ ζήτησιν τῶν Περσέων, καὶ ἡμάρτανον πάσης τῆς ἐκείνων διεξόδου. αἴτιοι δὲ τούτου αὐτοὶ οἱ Σκύθαι ἐγένοντο, τὰς νομὰς τῶν ἵππων τὰς ταύτῃ διαφθείραντες καὶ τὰ ὕδατα συγχώσαντες. εἰ γὰρ ταῦτα μὴ ἐποίησαν, παρεῖχε ἄν σφι, εἰ ἐβούλοντο, εὐπετέως ἐξευρέειν τοὺς Πέρσας· νῦν δὲ τά σφι ἐδόκεε ἄριστα βεβουλεῦσθαι, κατὰ ταῦτα ἐσφάλησαν. Σκύθαι μέν νυν τῆς σφετέρης χώρης τῇ χιλός τε τοῖσι ἵπποισι καὶ ὕδατα ἦν, ταύτῃ διεξιόντες ἐδίζηντο τοὺς ἀντιπολέμους, δοκέοντες καὶ ἐκείνους διὰ τοιούτων τὴν ἀπόδρησιν ποιέεσθαι· οἱ δὲ δὴ Πέρσαι τὸν πρότερον ἑωυτῶν γενόμενον στίβον, τοῦτον φυλάσσοντες ἤισαν, καὶ οὕτω μόγις εὗρον τὸν πόρον. οἷα δὲ νυκτός τε ἀπικόμενοι καὶ λελυμένης τῆς γεφύρης ἐντυχόντες, ἐς πᾶσαν ἀρ-

und subjectiven Optativs sehr häufig den mehr positiven Conjunctiv; an manchen Stellen wohl auch mit Bezug darauf, dass der zu erreichende Zweck als noch in der Gegenwart vorschwebend zu denken ist." Krüger Gr. Gr. §. 54, 8 A. 2. In dem gleich darauf folgenden Parallelsatz steht der Optativ. — *βιώμενοι*: I, 19 u. II, 73. — *τά τε . . . καὶ τά . . .*: *ut . . . ita.* — *ὑπηρετέεται*: zu I, 108. — *κείνους*: ist das Object zu dem aus dem Vorigen zu entnehmenden *ὑμέας τίσασθαι.*

C. 140. *τὸ δεύτερον*: das erste Mal, wird C. 133 erzählt. — *παρεῖχε*: zu I, 9. — *τοῦτον*: pleonastisch wie II, 13. — *φυλάσσοντες*: wie I, 48. — *μόγις*: mit genauer Noth. — *λελυμένης τῆς γεφύρης* ist als *gen. abs.* zu fas-

ρωδίην ἀπίκατο μή σφεας οἱ Ἴωνες ἔωσι ἀπολελοιπότες.
141 ἦν δὲ περὶ Δαρεῖον ἀνὴρ Αἰγύπτιος φωνέων μέγιστον ἀνθρώπων· τοῦτον τὸν ἄνδρα καταστάντα ἐπὶ τοῦ χείλεος τοῦ Ἴστρου ἐκέλευε Δαρεῖος καλέειν Ἱστιαῖον Μιλήσιον. ὁ μὲν δὴ ἐποίεε ταῦτα, Ἱστιαῖος δὲ ἐπακούσας τῷ πρώτῳ κελεύματι τάς τε νέας ἁπάσας παρεῖχε διαπορθμεύειν τὴν
142 στρατιὴν καὶ τὴν γέφυραν ἔζευξε. Πέρσαι μὲν ὦν οὕτω ἐκφεύγουσι, Σκύθαι δὲ διζήμενοι καὶ τὸ δεύτερον ἥμαρτον τῶν Περσέων, καὶ τοῦτο μέν, ὡς ἐόντας Ἴωνας ἐλευθέρους, κακίστους τε καὶ ἀνανδροτάτους κρίνουσι εἶναι ἁπάντων ἀνθρώπων, τοῦτο δέ, ὡς δούλων Ἰώνων τὸν λόγον ποιεύμενοι, ἀνδράποδα φιλοδέσποτά φασι εἶναι καὶ ἄδρηστα μάλιστα. ταῦτα μὲν δὴ Σκύθῃσι ἐς Ἴωνας ἀπέρριπται.

143 Δαρεῖος δὲ διὰ τῆς Θρηίκης πορευόμενος ἀπίκετο ἐς Σηστὸν τῆς Χερσονήσου· ἐνθεῦτεν δὲ αὐτὸς μὲν διέβη τῇσι νηυσὶ ἐς τὴν Ἀσίην, λείπει δὲ στρατηγὸν ἐν τῇ Εὐρώπῃ Μεγάβαζον ἄνδρα Πέρσην, τῷ Δαρεῖός κοτε ἔδωκε γέρας, τοιόνδε εἴπας ἐν Πέρσῃσι ἔπος. ὡρμημένου Δαρείου ῥοιὰς τρώγειν, ὡς ἄνοιξε τάχιστα τὴν πρώτην τῶν ῥοιέων, εἴρετο αὐτὸν ὁ ἀδελφεὸς Ἀρτάβανος ὅ τι βούλοιτ' ἄν οἱ τοσοῦτο πλῆθος γενέσθαι ὅσοι ἐν τῇ ῥοιῇ κόκκοι· Δαρεῖος δὲ εἶπε Μεγαβάζους ἄν οἱ τοσούτους ἀριθμὸν γενέσθαι βούλεσθαι μᾶλλον ἢ τὴν Ἑλλάδα ὑπήκοον. ἐν μὲν δὴ Πέρσῃσι ταῦτά μιν εἴπας ἐτίμα, τότε δὲ αὐτὸν ὑπέλιπε στρατηγὸν ἔχοντα
144 τῆς στρατιῆς τῆς ἑωυτοῦ ὀκτὼ μυριάδας. οὗτος δὲ ὁ Μεγάβαζος εἴπας τόδε τὸ ἔπος ἐλίπετο ἀθάνατον μνήμην πρὸς Ἑλλησποντίων· γενόμενος γὰρ ἐν Βυζαντίῳ ἐπύθετο

sen; der bei ἐντυχόντες vermisste Dativ ist leicht aus dem Zusammenhange zu ergänzen, nämlich τῷ Ἴστρῳ oder was ähnliches.

C. 141. φωνέων ist das Particip; vgl. VII, 117. — διαπορθμεύειν: locker angefügt, wie I, 176.

C. 142. τὸ δεύτερον: das erste Mal C. 140. — ὡς ἐόντας Ἴωνας ἐλευθέρους: *quatenus Iones liberi sunt*. — ἄδρηστα: der Gegensatz ist δρηπέτης III, 137 u. VI, 11. — ἀπέρριπται: zu I, 32.

C. 143. ἔδωκε γέρας: that grosse Ehre an. — ὅ τι βούλοιτ' ἄν οἱ . . . γενέσθαι: ὅ τι ist Subject zu γενέσθαι und τοσοῦτον ist Prädikat; πλῆθος heisst: an Menge.

ἑπτακαίδεκα ἔτεσι πρότερον Καλχηδονίους κτίσαντας τὴν χώρην Βυζαντίων, πυθόμενος δὲ ἔφη Καλχηδονίους τοῦτον τὸν χρόνον τυγχάνειν ἐόντας τυφλούς· οὐ γὰρ ἂν τοῦ καλλίονος παρεόντος κτίζειν χώρου τὸν αἰσχίονα ἑλέσθαι, εἰ μὴ ἔσαν τυφλοί. οὗτος δὴ ὦν τότε ὁ Μεγάβαζος στρατηγὸς λειφθεὶς ἐν τῇ χώρῃ Ἑλλησποντίων τοὺς μὴ μηδίζοντας κατεστρέφετο.

145 Οὗτος μέν νυν ταῦτα ἔπρησσε, τὸν αὐτὸν δὲ τοῦτον χρόνον ἐγίνετο ἐπὶ Λιβύην ἄλλος στρατιῆς μέγας στόλος, διὰ πρόφασιν τὴν ἐγὼ ἀπηγήσομαι προδιηγησάμενος πρότερον τάδε. τῶν ἐκ τῆς Ἀργοῦς ἐπιβατέων παίδων παῖδες ἐξελαθέντες ὑπὸ Πελασγῶν τῶν ἐκ Βραυρῶνος ληισαμένων τὰς Ἀθηναίων γυναῖκας, ὑπὸ τουτέων ἐξελαθέντες ἐκ Λήμνου οἴχοντο πλέοντες ἐς Λακεδαίμονα, ἱζόμενοι δὲ ἐν τῷ Τηϋγέτῳ πῦρ ἀνέκαιον. Λακεδαιμόνιοι δὲ ἰδόντες ἄγγελον ἔπεμπον, πευσόμενοι τίνες τε καὶ ὁκόθεν εἰσί· οἱ δὲ τῷ

C. 144. κτίσαντες: wie I, 149. — Βυζαντίων ist der Genitiv nach dem Comparativ πρότερον. — κτίζειν: locker angefügt an παρεόντος, wie I, 176.

C. 145. τὸν αὐτὸν . . . χρόνον: der Heereszug (στρατιῆς στόλος) der Perser gegen Barka wird um das J. 508 v. Chr. gesetzt. — ἀπηγήσομαι: nämlich erst C. 167. — προδιηγησάμενος πρότερον: pleonastisch wie III, 16. — τῶν ἐκ . . . παῖδες: kurz, die Enkel der Argofahrer. Das ἐκ scheint deswegen gesetzt zu sein, weil die Ἀργοῦς ἐπιβάται nicht als solche, d. h. während sie dies actuell noch sind, zu bezeichnen waren, sondern nachdem sie es gewesen, aus der Argo herausgekommen, sich angesiedelt u. Nachkommenschaft erzielt haben. Ein analoger Fall ist der Gebrauch des ἀπό bei Thucydides. So ἀπὸ τῶν νεῶν, navibus relictis, 3, 90, 3. 94, 1. 5, 3, 2. 8, 23, 3. — ὑπὸ Πελασγῶν: die tyrrhenischen Pelasger wanderten ungefähr im siebzigsten Jahre nach Trojas Fall von Böotien aus, wurden wenigstens ein Menschenalter in Attika geduldet, von wo sie dann nach Lemnos u. Imbros verjagt wurden. — ληισαμένων τὰς Ἀθ. γυν.: die Sache ist ausführlich erzählt VI, 138, und über Brauron siehe ebendaselbst. — ὑπὸ τουτέων: pleonastisch wie II, 13. — ἐξελαθέντες ἐκ Λήμνου: die Sage ist folgende: übler Geruch lemnischer Weiber, ihnen von Aphrodite zugesandt, deren jährliche Festfeier sie vernachlässigt hatten, bewog die Männer, sich gefangene Thrakerinnen beizulegen. Die aufgereizten Frauen bringen in der Wuth der Eifersucht Männer, Kebsweiber und die von beiden gezeugten Söhne um. So besteht der Weiberstaat, bis die Argonauten auf der Heimfahrt die Landung mit den Waffen sich erkämpfen. Eben feiert die Königin Hypsipyle ihrem Vater Thoas, dem

ἀγγέλῳ εἰρωτῶντι ἔλεγον ὡς εἴησαν μὲν Μινύαι, παῖδες δὲ εἶεν τῶν ἐν τῇ Ἀργοῖ πλεόντων ἡρώων, προσσχόντας δὲ τούτους ἐς Λῆμνον φυτεῦσαι σφέας. οἱ δὲ Λακεδαιμόνιοι ἀκηκοότες τὸν λόγον τῆς γενεῆς τῶν Μινυέων, πέμψαντες τὸ δεύτερον εἰρώτων τί θέλοντες ἥκοιέν τε ἐς τὴν χώρην καὶ πῦρ αἴθοιεν. οἱ δὲ ἔφασαν ὑπὸ Πελασγῶν ἐκβληθέντες ἥκειν ἐς τοὺς πατέρας· δικαιότατον γὰρ εἶναι οὕτω τοῦτο γίνεσθαι· δέεσθαί τε οἰκέειν ἅμα τούτοισι μοῖράν τε τιμέων μετέχοντες καὶ τῆς γῆς ἀπολαχόντες. Λακεδαιμονίοισι δὲ ἕαδε δέκεσθαι τοὺς Μινύας ἐπ' οἷσι θέλουσι αὐτοί· μάλιστα δὲ ἐνῆγέ σφεας ὥστε ποιέειν ταῦτα τῶν Τυνδαριδέων ἡ ναυτιλίη ἐν τῇ Ἀργοῖ. δεξάμενοι δὲ τοὺς Μινύας γῆς τε μετέδοσαν καὶ ἐς φυλὰς διεδάσαντο. οἱ δὲ αὐτίκα μὲν γάμους ἔγημαν, τὰς δὲ ἐκ Λήμνου ἤγοντο ἐξέ-
146 δοσαν ἄλλοισι· χρόνου δὲ οὐ πολλοῦ διεξελθόντος αὐτίκα οἱ Μινύαι ἐξύβρισαν, τῆς τε βασιληίης μεταιτέοντες καὶ ἄλλα ποιεῦντες οὐκ ὅσια. τοῖσι ὦν Λακεδαιμονίοισι ἔδοξε αὐτοὺς ἀποκτεῖναι, συλλαβόντες δέ σφεας κατέβαλον ἐς ἑρκτήν. κτείνουσι δὲ τοὺς ἂν κτείνωσι Λακεδαιμόνιοι νυκτός, μετ' ἡμέρην δὲ οὐδένα. ἐπεὶ ὦν ἔμελλόν σφεας καταχρήσεσθαι, παραιτήσαντο αἱ γυναῖκες τῶν Μινυέων, ἐοῦσαι ἀσταί τε καὶ τῶν πρώτων Σπαρτιητέων θυγατέρες, ἐσελθεῖν τε ἐς τὴν ἑρκτὴν καὶ ἐς λόγους ἐλθεῖν ἑκάστη τῷ

angeblich Ermordeten (er war der einzige Mann, der gerettet wurde) die Leichenfeier; Ergīnos, der Minyer König, erringt in den Wettspielen den Preis. Iason vermählt sich die Königin; seine Gefährten die andern Lemnierinnen. — *Μινύαι*: ein äolischer Volksstamm, der unter *Μινύας* aus Thessalien in das nördliche Böotien einwanderte und das mächtige Reich der Minyer gründete, dessen Hauptstadt Orchomenos war; vgl. I, 146. Bei Pindar P. 4, 69 u. Ap. Rh. I, 229 heissen die Argonauten so, weil die Haupthelden des Argonautenzugs Minyer waren. — *τούτους*: ist Subject und auf *ἡρώων* zu beziehen. — *ἐς τοὺς πατέρας*: indem sie diesen Anspruch auf die Genossenschaft der Dioskuren gründeten. — *τῶν Τυνδαριδέων*: nämlich Kastor u. Pollux. — *τὰς δέ*: relativisch zu fassen und auf *γυναῖκας* zu beziehen, was leicht aus *γάμους ἔγημαν* zu entnehmen ist. — *ἐξέδοσαν*: zu I, 93.

C. 146. *κατέβαλον ἐς ἑρκτήν*: "*in proximam nempe noctem custodiendos, qua de illis supplicium sumeretur; hunc enim in finem subdit ista Herodotus κτεί-*

ἑωυτῆς ἀνδρί. οἱ δέ σφεας παρῆκαν, οὐδένα δόλον δοκέον-
τες ἐξ αὐτέων ἔσεσθαι. αἱ δὲ ἐπείτε ἐσῆλθον, ποιεῦσι
τοιάδε· πᾶσαν τὴν εἶχον ἐσθῆτα παραδοῦσαι τοῖσι ἀν-
δράσι αὐταὶ τὴν τῶν ἀνδρῶν ἔλαβον. οἱ δὲ Μινύαι ἐνδύν-
τες τὴν γυναικηίην ἐσθῆτα, ἅτε γυναῖκες, ἐξήισαν ἔξω, ἐκ-
φυγόντες δὲ τρόπῳ τοιούτῳ ἵζοντο αὖτις ἐς τὸ Τηΰγετον.
τὸν δὲ αὐτὸν τοῦτον χρόνον Θήρας ὁ Αὐτεσίωνος τοῦ Τι- 147
σαμενοῦ τοῦ Θερσάνδρου τοῦ Πολυνείκεος ἔστελλε ἐς ἀποι-
κίην ἐκ Λακεδαίμονος. ἦν δὲ ὁ Θήρας οὗτος, γένος ἐὼν
Καδμεῖος, τῆς μητρὸς ἀδελφεὸς τοῖσι Ἀριστοδήμου παισὶ
Εὐρυσθένεϊ καὶ Προκλέϊ· ἐόντων δ᾽ ἔτι τῶν παίδων τού-
των νηπίων ἐπιτροπαίην εἶχε ὁ Θήρας τὴν ἐν Σπάρτῃ βα-
σιληίην, αὐξηθέντων δὲ τῶν ἀδελφιδέων καὶ παραλαβόν-
των τὴν ἀρχήν, οὕτω δὴ ὁ Θήρας δεινὸν ποιεύμενος ἄρχε-
σθαι ὑπ᾽ ἄλλων ἐπείτε ἐγεύσατο ἀρχῆς, οὐκ ἔφη μενεῖν ἐν
τῇ Λακεδαίμονι ἀλλ᾽ ἀποπλεύσεσθαι ἐς τοὺς συγγενέας.
ἔσαν δὲ ἐν τῇ νῦν Θήρῃ καλεομένῃ νήσῳ, πρότερον δὲ Καλ-
λίστῃ τῇ αὐτῇ ταύτῃ, ἀπόγονοι Μεμβλιάρεω τοῦ Ποικίλεω
ἀνδρὸς Φοίνικος. Κάδμος γὰρ ὁ Ἀγήνορος Εὐρώπην διζή-
μενος προσέσχε ἐς τὴν νῦν Θήρην καλεομένην· προσσχόντι
δὲ εἴτε δή οἱ ἡ χώρη ἤρεσε, εἴτε καὶ ἄλλως ἠθέλησε ποιῆ-
σαι τοῦτο, καταλείπει γὰρ ἐν τῇ νήσῳ ταύτῃ ἄλλους τε τῶν
Φοινίκων καὶ δὴ καὶ τῶν ἑωυτοῦ συγγενέων Μεμβλίαρον.
οὗτοι ἐνέμοντο τὴν Καλλίστην καλεομένην ἐπὶ γενεάς, πρὶν
ἢ Θήραν ἐλθεῖν ἐκ Λακεδαίμονος, ὀκτὼ ἀνδρῶν. ἐπὶ τού- 148
τους δὴ ὢν ὁ Θήρας λαὸν ἔχων ἀπὸ τῶν φυλέων ἔστελλε,

νουσι δὲ . . . οὐδένα." Valcken. — *καταχρήσεσθαι:* zu I, 82. — *παρῆκαν:* zu I, 14.

C. 147. *ἔστελλε:* *intrans.*, wie sonst *στέλλεσθαι*, vielleicht hier mit Bezug auf den Anführer der Colonie; so noch im folgenden Cap. Ueber das Imperfectum zu I, 68. — *Καδμεῖος:* denn Polyneikes war ein Nachkomme des Kadmus durch Polydorus, Labdakus, Laius, Oedipus. — *τῆς μητρός:* sie hiess Argeia, wie aus VI, 52 erhellt, woselbst über Aristodemos und seine Söhne ausführlich gehandelt ist. — *ἐπιτροπαίην:* zu III, 142. — *δεινὸν ποιεύμενος:* zu I, 61. — *προσσχόντι:* angezogen durch den darauf folgenden Dativ *οἱ*. Ohne Anacoluthie könnte es auch heissen *προσσχών*, mit Auslassung des *γάρ* hinter *καταλείπει*. Vgl. IV, 149.

C. 148. *ἔστελλε:* zu IV, 147. —

συνοικήσων τούτοισι καὶ οὐδαμῶς ἐξελῶν αὐτοὺς ἀλλὰ
κάρτα οἰκηιεύμενος. ἐπείτε δὲ καὶ οἱ Μινύαι ἐκδράντες ἐκ
τῆς ἑρκτῆς ἵζοντο ἐς τὸ Τηΰγετον, τῶν Λακεδαιμονίων βου-
λευομένων σφέας ἀπολλύναι παραιτέεται ὁ Θήρας, ὅκως
μήτε φόνος γένηται, αὐτός τε ὑπεδέκετό σφεας ἐξάξειν ἐκ
τῆς χώρης. συγχωρησάντων δὲ τῇ γνώμῃ τῶν Λακεδαιμο-
νίων, τρισὶ τριηκοντέροισι ἐς τοὺς Μεμβλιάρεω ἀπογόνους
ἔπλωσε, οὔτι πάντας ἄγων τοὺς Μινύας ἀλλ᾽ ὀλίγους τινάς.
οἱ γὰρ πλεῦνες αὐτῶν ἐτράποντο ἐς τοὺς Παρωρεήτας καὶ
Καύκωνας, τούτους δ᾽ ἐξελάσαντες ἐκ τῆς χώρης σφέας αὐ-
τοὺς ἓξ μοίρας διεῖλον, καὶ ἔπειτα ἔκτισαν πόλιας τάσδε
ἐν αὐτοῖσι, Λέπρεον Μάκιστον Φριξὰς Πύργον Ἔπιον
Νούδιον· τουτέων δὲ τὰς πλεῦνας ἐπ᾽ ἐμέο Ἠλεῖοι ἐπόρ-
θησαν. τῇ δὲ νήσῳ ἐπὶ τοῦ οἰκιστέω Θήρα ἡ ἐπωνυμίη ἐγέ-
149 νετο. ὁ δὲ παῖς οὐ γὰρ ἔφη οἱ συμπλεύσεσθαι, τοιγαρῶν
ἔφη αὐτὸν καταλείψειν ὄιν ἐν λύκοισι· ἐπὶ τοῦ ἔπεος τού-
του οὔνομα τῷ νεηνίσκῳ τούτῳ Οἰόλυκος ἐγένετο, καί κως
τὸ οὔνομα τοῦτο ἐπεκράτησε. Οἰολύκου δὲ γίνεται Αἰγεύς,
ἀπ᾽ οὗ Αἰγεῖδαι καλεῦνται, φυλὴ μεγάλη ἐν Σπάρτῃ. τοῖσι

οἰκηιεύμενος: zu I, 4. — *ὑπεδέκετο:* zu I, 24. — *Παρωρεήτας*: Bewohner des Gebirges, welches sich von Arkadien nach Elis hinzieht; noch VIII, 73. — *Καύκωνας:* zu I, 147. — *διεῖλον:* zu I, 94. — *ἐπ᾽ ἐμέο*: zu I, 5. — *ἐπὶ τοῦ οἰκιστέω*: zu I, 14.

C. 149. *ὁ δὲ παῖς:* nämlich des Theras, ist Subject zu dem ersten *ἔφη*: "Auffallend richtet sich sogar nach einem parenthesenartigen Satze mit *γάρ* ein vorangehendes Nomen, wenn es dem Begriffe nach diesem mit angehört, auch in der Construction nach demselben, statt sich dem Hauptsatze anzufügen. Ein Sprachgebrauch, der sich jedoch auf den Ionismus und einige Stellen des Thuk. beschränkt." Krüger Gr. Gr. §. 60, 4 A. 2. So in demselben Cap. *τοῖσι . . . ἀνδράσι, οὐ γὰρ ὑπέμειναν ...*, statt *οἱ . . . ἄνδρες, οὐ γὰρ ὑπέμειναν αὐτοῖς τὰ τέκνα, ἱδρύσαντο.* 200 *τῶν δὲ πᾶν γὰρ ἦν . . .*, statt *οἱ δέ, πᾶν γὰρ ἦν αὐτῶν τὸ πλῆθος μεταίτιον, οὐκ ἐδέκοντο τοὺς λόγους.* I, 24 *καὶ τοῖσι ἐσελθεῖν γὰρ ἡδονὴν . . . ἀναχωρῆσαι*, statt *καὶ τούς, ἐσελθεῖν γάρ αὐτοῖς ἡδονὴν . . . ἀναχωρῆσαι.* IX, 109 *τῇ δὲ κακῶς γαρ ἔδεε πανοικίῃ γενέσθαι ... εἶπε*, statt *ἡ δέ, κακῶς γὰρ αὐτῇ ἔδεε πανοικίῃ γενέσθαι ... εἶπε.* — *τοιγαροῦν ἔφη*: Subject ist Theras. — *ἐπὶ τοῦ ἔπ.*: zu I, 14. — *ἐπεκράτησε:* *id nomen* (*a patre discedente inditum filio*) *alteri* (*quo antehac appellari solitus erat*) *praevaluit.* Valla. — *ὑπέμειναν*: auch schon III, 88 stand ein Verbum im Plural, dessen Sub-

δὲ ἐν τῇ φυλῇ ταύτῃ ἀνδράσι οὐ γὰρ ὑπέμειναν τὰ τέκνα, ἱδρύσαντο ἐκ θεοπροπίου Ἐρινύων τῶν Λαΐου τε καὶ Οἰδιπόδεω ἱρόν· καὶ μετὰ τοῦτο ὑπέμεινε τὠυτὸ τοῦτο καὶ ἐν Θήρῃ τοῖσι ἀπὸ τῶν ἀνδρῶν τούτων γεγονόσι.

Μέχρι μέν νυν τούτου τοῦ λόγου Λακεδαιμόνιοι Θηραί- 150
οισι κατὰ ταὐτὰ λέγουσι, τὸ δὲ ἀπὸ τούτου μοῦνοι Θηραῖοι
ὧδε γενέσθαι λέγουσι. Γρῖνος ὁ Αἰσανίου ἐὼν Θήρα τού-
του ἀπόγονος καὶ βασιλεύων Θήρης τῆς νήσου ἀπίκετο ἐς
Δελφούς, ἄγων ἀπὸ τῆς πόλιος ἑκατόμβην· εἵποντο δέ οἱ
καὶ ἄλλοι τῶν πολιητέων καὶ δὴ καὶ Βάττος ὁ Πολυμνή-
στου, ἐὼν γένος Εὐθυμίδης τῶν Μινυέων. χρεωμένῳ δὲ τῷ
Γρίνῳ τῷ βασιλέι τῶν Θηραίων περὶ ἄλλων χρᾷ ἡ Πυθίη
κτίζειν ἐν Λιβύῃ πόλιν. ὁ δὲ ἀμείβετο λέγων "ἐγὼ μὲν
ὦναξ πρεσβύτερός τε ἤδη εἰμὶ καὶ βαρὺς ἀείρεσθαι· σὺ δέ
τινα τῶνδε τῶν νεωτέρων κέλευε ταῦτα ποιέειν." ἅμα τε
ἔλεγε ταῦτα καὶ ἐδείκνυε ἐς τὸν Βάττον. τότε μὲν τοσαῦτα,
μετὰ δὲ ἀπελθόντες ἀλογίην εἶχον τοῦ χρηστηρίου, οὔτε
Λιβύην εἰδότες ὅκου γῆς εἴη, οὔτε τολμῶντες ἐς ἀφανὲς
χρῆμα ἀποστέλλειν ἀποικίην. ἑπτὰ δὲ ἐτέων μετὰ ταῦτα 151
οὐκ ὗε τὴν Θήρην, ἐν τοῖσι τὰ δένδρεα πάντα σφι τὰ ἐν τῇ

ject ein Neutrum ist. — *Ἐρινύων ἱρόν*: um die Erinyen, denen sie ihr Unglück zuschrieben, zu besänftigen. — *τῶν Λαΐου τε καὶ Οἰδιπόδεω*: "*Dirae, quibus Aegidarum progenitor Oedipus, Furiis agitatus, filios suos devovit, a Thera quodammodo renovatae, filium se dicente καταλείψειν ὄιν ἐν λύκοισι, dicuntur Oedipodis Ἐρινύες. Laium quoque dirae dederant praecipitem, quibus illum Pelops devoverat ob raptum Chrysippum.*" Valcken. — *καὶ μετὰ τοῦτο ... γεγονόσι*: *ac postea hoc idem remansit (quod scil. Spartae remanserat, ut liberi superstites manerent nec morte consumerentur) etiam eorum posteris, in Thera qui consederant.*" Bähr.

C. 150. *ἐς Δελφούς*: "Von Sparta ist dieser Dienst (des Apollon Karneios) ganz ausnehmend der theräischen (ganz Thera war dem Apollon heilig), und von da wieder wandernd, der kyrenäischen Anpflanzung eigen." K. O. Müller Orchomen. S. 328. — *Εὐθυμίδης*: ein Nachkomme des Euthymos, der Minyer Eines. Statt *Εὐθυμίδης* lesen die meisten *Εὐφημίδης* nach Pindar P. 4, 455. — *πρεσβύτερος*: zu III, 29. — *βαρὺς ἀείρεσθαι*: *gravis (minus aptus) qui loco me moveam (ad iter suscipiendum)*; der Infinitiv wie IV, 46. — *ἅμα τε ... καὶ ...*: zu III, 76. — *ἀλογίην εἶχον*: zu III, 3. — *ἐς ἀφανὲς χρῆμα*: aufs Ungewisse.

νήσῳ πλὴν ἑνὸς ἐξανάνθη. χρεωμένοισι δὲ τοῖσι Θηραίοισι προέφερε ἡ Πυθίη τὴν ἐς Λιβύην ἀποικίην. ἐπείτε δὲ κακοῦ οὐδὲν ἦν σφι μῆχος, πέμπουσι ἐς Κρήτην ἀγγέλους διζημένους εἴ τις Κρητῶν ἢ μετοίκων ἀπιγμένος εἴη ἐς Λιβύην. περιπλανώμενοι δὲ αὐτὴν οὗτοι ἀπίκοντο καὶ ἐς Ἴτανον πόλιν, ἐν ταύτῃ δὲ συμμίσγουσι ἀνδρὶ πορφυρέι τῷ οὔνομα ἦν Κορώβιος, ὃς ἔφη ὑπ' ἀνέμων ἀπενειχθεὶς ἀπικέσθαι ἐς Λιβύην καὶ Λιβύης ἐς Πλατέαν νῆσον. μισθῷ δὲ τοῦτον πείσαντες ἦγον ἐς Θήρην, ἐκ δὲ Θήρης ἔπλεον κατάσκοποι ἄνδρες τὰ πρῶτα οὐ πολλοί· κατηγησαμένου δὲ τοῦ Κορωβίου ἐς τὴν νῆσον ταύτην δὴ τὴν Πλατέαν, τὸν μὲν Κορώβιον λείπουσι, σιτία καταλιπόντες ὅσωνδὴ μηνῶν, αὐτοὶ δὲ ἔπλεον τὴν ταχίστην ἀπαγγελέοντες Θηραί-
152 οισι περὶ τῆς νήσου. ἀποδημεόντων δὲ τούτων πλέω χρόνον τοῦ συγκειμένου τὸν Κορώβιον ἐπέλιπε τὰ πάντα. μετὰ δὲ νηῦς Σαμίη, τῆς ναύκληρος ἦν Κωλαῖος, πλέουσα ἐπ' Αἴγυπτον ἀπηνείχθη ἐς τὴν Πλατέαν ταύτην· πυθόμενοι δὲ οἱ Σάμιοι παρὰ τοῦ Κορωβίου τὸν πάντα λόγον, σιτία οἱ ἐνιαυτοῦ καταλείπουσι. αὐτοὶ δὲ ἀναχθέντες ἐκ τῆς νήσου καὶ γλιχόμενοι Αἰγύπτου ἔπλεον, ἀποφερόμενοι ἀπηλιώτῃ ἀνέμῳ· καὶ οὐ γὰρ ἀνίει τὸ πνεῦμα, Ἡρακλέας

C. 151. *προέφερε*: zu I, 3. — *πορφυρέι*: von *πορφυρεύς* Purpurfärber. — *καὶ Λιβύης*: und zwar, wie I, 52. — *Πλατέαν νῆσον*: an der kyrenäischen Küste. "Bei dem Cap Rezat steigen aus dem Meere drei grosse Klippen hervor, die wie Inseln sich im Osten des Golfs von Bomba zeigen. Della Cella hält ihn für den Menelai Portus der Alten, wo aber keine Ruinen sichtbar sind. Die Beduinen sagen, tiefer landein soll ein See liegen mit einer Insel, auf deren Mitte sehr grosse Ruinen stehen. Diesen Golf hält Burckhardt für die erste Ansiedelung der Griechen mit der Insel Plateia. Er gilt sehr unbestimmt als die politische Gränze zwischen Aegypten und Tripoli, und ist daher das Asyl der Ueberläufer und Räuber von beiden Territorien." Ritter S. 953. — *κατηγησαμένου*: zu III, 134. — *ὀσωνδή*: zu I, 157.

C. 152. *ἀνίει*: zu I, 213. — *Ἡρακλέας στήλας*: "Der Begriff derselben war schon im Alterthum schwankend; während Einige sie als wirkliche Säulen fassten, errichtet von Herakles an den Grenzen von Libyen und Europa, als Zeugen seiner äussersten Fahrten, verstanden Andere darunter die nordwestliche Spitze des kleinen Atlas in Mauritanien, Abyla, dem Berge Calpe in Spanien gegenüber. Herakles sollte die Europa und

στήλας διεκπερήσαντες ἀπίκοντο ἐς Ταρτησσόν, θείῃ πομπῇ χρεώμενοι. τὸ δὲ ἐμπόριον τοῦτο ἦν ἀκήρατον τοῦτον τὸν χρόνον, ὥστε ἀπονοστήσαντες οὗτοι ὀπίσω μέγιστα δὴ Ἑλλήνων πάντων τῶν ἡμεῖς ἀτρεκίην ἴδμεν ἐκ φορτίων ἐκέρδησαν, μετά γε Σώστρατον τὸν Λαοδάμαντος Αἰγινήτην· τούτῳ γὰρ οὐκ οἷά τέ ἐστι ἐρίσαι ἄλλον. οἱ δὲ Σάμιοι τὴν δεκάτην τῶν ἐπικερδίων ἐξελόντες ἓξ τάλαντα ἐποιήσαντο χαλκήιον κρητῆρος Ἀργολικοῦ τρόπον· πέριξ δὲ αὐτὸ γρυπῶν κεφαλαὶ πρόκροσσοί εἰσι· καὶ ἀνέθηκαν ἐς τὸ Ἡραῖον, ὑποστήσαντες αὐτῷ τρεῖς χαλκέους κολοσσοὺς ἑπταπήχεας, τοῖσι γούνασι ἐρηρεισμένους. Κυρηναίοισι δὲ καὶ Θηραίοισι ἐς Σαμίους ἀπὸ τούτου τοῦ ἔργου πρῶτα φιλίαι μεγάλαι συνεκρήθησαν. οἱ δὲ Θηραῖοι ἐπείτε τὸν 153
Κορώβιον λιπόντες ἐν τῇ νήσῳ ἀπίκοντο ἐς τὴν Θήρην, ἀπήγγελλον ὥς σφι εἴη νῆσος ἐπὶ Λιβύῃ ἐκτισμένη. Θηραίοισι δὲ ἕαδε ἀδελφεόν τε ἀπ' ἀδελφεοῦ πέμπειν πάλῳ λαχόντα, καὶ ἀπὸ τῶν χώρων ἁπάντων ἑπτὰ ἐόντων ἄνδρας, εἶναι δέ σφεων καὶ ἡγεμόνα καὶ βασιλέα Βάττον. οὕτω δὴ στέλλουσι δύο πεντηκοντέρους ἐς τὴν Πλατέαν.

Ταῦτα δὲ Θηραῖοι λέγουσι, τὰ δ' ἐπίλοιπα τοῦ λόγου 154
συμφέρονται ἤδη Θηραῖοι Κυρηναίοισι. Κυρηναῖοι γὰρ τὰ

Afrika verbindenden Felsen zerrissen und so das atlantische und mittelländische Meer in Verbindung gesetzt haben." Sintenis zu Arrian 2, 16, 4. — Ταρτησσόν: zu I, 163. — θείῃ πομπῇ: zu I, 62. — ἀκήρατον: entweder, noch unbesucht, oder noch nicht zerstört. — ἀπονοστήσαντες ὀπίσω: zu III, 16. — τῶν ἐπικ.: τὰ ἐπικέρδια der Handelsgewinn. — χαλκήιον: zu IV, 81. — τρόπον: nach Art. — πέριξ: zu IV, 15. — πρόκροσσαι: wie Mauerzinnen (κρόσσαι) hervorragend. Vgl. VII, 188. — ὑποστήσαντες: zu I, 196. — κολοσσούς: als Unterlage, ὑποκρητηρίδιον I, 25. — συνεκρήθησαν: vgl. VII, 151 φιλίην συνεκεράσαντο.

C. 153. ἐκτισμένη: wie I, 149. — Θηραίοισι δὲ ἕαδε ... ἄνδρας: *placuit igitur Theraeis, ut e singulis ditionis suae locis, quae numero septem erant, viri mitterentur, ita quidem ut frater cum fratre contenderet uter in coloniam abiret.* Schweigh. — ἑπτὰ ἐόντων: die Siebenzahl war die böotische Grundzahl, und galt auch in allen böotischen Niederlassungen des apollinischen Dienstes.

C. 154. συμφέρονται: zu I, 173. — τὰ περὶ Βάττον: nämlich das

περὶ Βάττον οὐδαμῶς ὁμολογέουσι Θηραίοισι. λέγουσι γὰρ
οὕτω. ἔστι τῆς Κρήτης Ἀξὸς πόλις, ἐν τῇ ἐγένετο Ἐτέαρ-
χος βασιλεύς, ὃς ἐπὶ θυγατρὶ ἀμήτορι τῇ οὔνομα ἦν Φρο-
νίμη, ἐπὶ ταύτῃ ἔγημε ἄλλην γυναῖκα. ἣ δὲ ἐπεσελθοῦσα
ἐδικαίευ εἶναι καὶ τῷ ἔργῳ μητρυιὴ τῇ Φρονίμῃ, παρέ-
χουσά τε κακὰ καὶ πᾶν ἐπ' αὐτῇ μηχανωμένη· καὶ τέλος
μαχλοσύνην ἐπενείκασά οἱ πείθει τὸν ἄνδρα ταῦτα ἔχειν
οὕτω. ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς ἔργον οὐκ ὅσιον
ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θη-
ραῖος ἔμπορος ἐν τῇ Ἀξῷ· τοῦτον ὁ Ἐτέαρχος παραλαβὼν
ἐπὶ ξείνια ἐξορκοῖ ἦ μέν οἱ διηκονήσειν ὅ τι ἂν δεηθέῃ.
ἐπείτε δὲ ἐξώρκωσε, ἀγαγών οἱ παραδιδοῖ τὴν ἑωυτοῦ θυ-
γατέρα, καὶ ταύτην ἐκέλευε καταποντῶσαι ἀπαγαγόντα. ὁ
δὲ Θεμίσων περιημεκτήσας τῇ ἀπάτῃ τοῦ ὅρκου καὶ διαλυ-
σάμενος τὴν ξεινίην ἐποίεε τοιάδε· παραλαβὼν τὴν παῖδα
ἀπέπλεε, ὡς δὲ ἐγίνετο ἐν τῷ πελάγεϊ, ἀποσιεύμενος τὴν
ἐξόρκωσιν τοῦ Ἐτεάρχου, σχοινίοισι αὐτὴν διαδήσας κατῆκε
155 ἐς τὸ πέλαγος, ἀνασπάσας δὲ ἀπίκετο ἐς τὴν Θήρην. ἐνθεῦ-
τεν δὲ τὴν Φρονίμην παραλαβὼν Πολύμνηστος, ἐὼν τῶν
Θηραίων ἀνὴρ δόκιμος, ἐπαλλακεύετο. χρόνου δὲ περιιόν-
τος ἐξεγένετό οἱ παῖς ἰσχόφωνος καὶ τραυλός, τῷ οὔνομα
ἐτέθη Βάττος, ὡς Θηραῖοί τε καὶ Κυρηναῖοι λέγουσι, ὡς
μέντοι ἐγὼ δοκέω, ἄλλο τι· Βάττος δὲ μετουνομάσθη,
ἐπείτε ἐς Λιβύην ἀπίκετο, ἀπό τε τοῦ χρηστηρίου τοῦ γε-

C. 150 Erzählte. — ἔστι τῆς Κρ.: epischer Anfang, wie Hom. Od. 19, 172 Κρήτη τις γαῖ' ἔστι μέσῳ ἐνὶ οἴνοπι πόντῳ. Vgl. 3, 293. 4, 354. 844. — ἐπὶ θυγατρί: ähnlich wie II, 86; *cum haberet filiam*. — Φρονίμη: "die Namen Phronime und Themison sind offenbar blos allegorisch." Müller a. a. O. S. 342 Anm. — ἐπὶ ταύτῃ: pleonastisch wie II, 13. — πᾶν μηχανωμένη: wie πάντα ποιεῖν Plat. Phaedon p. 114 c, Xen. An. 3, 1, 35, Hellen. 6, 1, 10, *nihil relinquere intentatum*, *omnem lapidem movere*. Noch VI, 88 u. 121. — ἐπενείκασα: zu I, 26. — ἀναγνωσθείς: zu I, 68. — ἐπὶ ξείνια: zu III, 14. — ἐξορκοῖ: zu III, 133. — περιημεκτήσας: zu I, 44. — ἀποσιεύμενος: zu I, 199.

C. 155. ἰσχόφωνος καὶ τραυλός: "er hatte eine kreischende und heisere Stimme." Müller a. a. O. S. 343 (er liest ἰσχνόφωνος); er stotterte und stammelte. Lange. ἰσχόφωνοι erklärt Aristot. Probl. II, 35 ὅτι ἴσχονται τοῦ φωνεῖν. — μετ-

νομένου ἐν Δελφοῖσι αὐτῷ καὶ ἀπὸ τῆς τιμῆς τὴν ἔσχε τὴν ἐπωνυμίην ποιεύμενος· Λίβυες γὰρ βασιλέα βάττον καλέουσι, καὶ τούτου εἵνεκα δοκέω θεσπίζουσαν τὴν Πυθίην καλέσαι μιν Λιβυκῇ γλώσσῃ, εἰδυῖαν ὡς βασιλεὺς ἔσται ἐν Λιβύῃ. ἐπείτε γὰρ ἠνδρώθη οὗτος, ἦλθε ἐς Δελφοὺς περὶ τῆς φωνῆς· ἐπειρωτῶντι δέ οἱ χρᾷ ἡ Πυθίη τάδε,

Βάττ', ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
ἐς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα,

ὥσπερ εἰ εἴποι Ἑλλάδι γλώσσῃ χρεωμένη "ὦ βασιλεῦ, ἐπὶ φωνὴν ἦλθες." ὁ δ' ἀμείβετο τοισίδε. "ὦναξ, ἐγὼ μὲν ἦλθον παρὰ σὲ χρησόμενος περὶ τῆς φωνῆς, σὺ δέ μοι ἄλλα ἀδύνατα χρᾷς, κελεύων Λιβύην ἀποικίζειν τέῳ δυνάμι, κοίῃ χειρί;" ταῦτα λέγων οὐκὶ ἔπειθε ἄλλα οἱ χρᾶν· ὡς δὲ κατὰ ταὐτὰ ἐθέσπιζέ οἱ καὶ πρότερον, οἴχετο μεταξὺ ἀπολιπὼν ὁ Βάττος ἐς τὴν Θήρην. μετὰ δὲ αὐτῷ τε τούτῳ καὶ 156
τοῖσι ἄλλοισι Θηραίοισι συνεφέρετο παλιγκότως· ἀγνοεῦντες δὲ τὰς συμφορὰς οἱ Θηραῖοι ἔπεμπον ἐς Δελφοὺς περὶ τῶν παρεόντων κακῶν. ἡ δὲ Πυθίη σφι ἔχρησε συγκτίζουσι Βάττῳ Κυρήνην τῆς Λιβύης ἄμεινον πρήξειν. ἀπέστελλον μετὰ ταῦτα τὸν Βάττον οἱ Θηραῖοι δύο πεντηκοντέροισι. πλώσαντες δὲ ἐς τὴν Λιβύην οὗτοι, οὐ γὰρ εἶχον ὅ τι ποιέωσι ἄλλο, ὀπίσω ἀπαλλάσσοντο ἐς τὴν Θήρην. οἱ δὲ Θηραῖοι καταγομένους ἔβαλλον καὶ οὐκ ἔων τῇ γῇ προσίσχειν, ἀλλ' ὀπίσω πλώειν ἐκέλευον. οἱ δὲ ἀναγκαζόμενοι ὀπίσω

ὠνομάσθη: er soll nämlich früher Aristoteles geheissen haben. — ἐπὶ φωνήν: wie III, 14, *vocis causa*, i. e. *sciscitaturus quo modo a linguae vitio possis liberari.* — μηλοτρόφον: vgl. Hom. Od. 4, 85 u. 86. — ἀποικίζειν: zu I, 94. — μεταξύ: *interim*, nämlich θεσπιζούσης αὐτῆς, *dum Pythia adhuc verba faciebat, quasi dicas in medio orationis illius.* — ἀπολιπών: nämlich τὴν Πυθίην.

C. 156. συνεφέρετο: zu II, 111. — παλιγκότως: mit Bezug auf das C. 151 Erzählte. — τὰς συμφοράς: nämlich die Ursachen des Unglücks; dieses bestand, wie wir es aus den Scholien zu Pind. P. 4, 10 aus Zwistigkeiten und Parteiungen, die mitten unter den Bürgern ausgebrochen waren. — συγκτίζουσι: anacoluthisch angezogen von dem Dativ σφί, da doch die regelmässige Construction entweder συγκτίζοντας .. πρήξειν oder συγκτίζουσι . . . ἔσεσθαι verlangen würde. — ὀπίσω ἀπαλλάσσοντο und ὀπίσω ἀπέπλωον: pleonastisch wie III, 16. — ἔβαλλον: nämlich mit Wurfgeschossen.

ἀπέπλωον, καὶ ἔκτισαν νῆσον ἐπὶ Λιβύῃ κειμένην, τῇ οὔνομα, ὡς καὶ πρότερον εἰρέθη, ἐστὶ Πλατέα. λέγεται δὲ
157 ἴση εἶναι ἡ νῆσος τῇ νῦν Κυρηναίων πόλι. ταύτην οἰκέοντες δύο ἔτεα, οὐδὲν γάρ σφι χρηστὸν συνεφέρετο, ἕνα αὐτῶν καταλιπόντες οἱ λοιποὶ πάντες ἀπέπλεον ἐς Δελφούς, ἀπικόμενοι δὲ ἐπὶ τὸ χρηστήριον ἐχρέωντο, φάμενοι οἰκέειν τε τὴν Λιβύην καὶ οὐδὲν ἄμεινον πρήσσειν οἰκεῦντες. ἡ δὲ Πυθίη σφι πρὸς ταῦτα χρᾷ τάδε.

αἰ τὺ ἐμεῦ Λιβύην μηλοτρόφον οἶδας ἄμεινον,
μὴ ἐλθὼν ἐλθόντος, ἄγαν ἄγαμαι σοφίην σευ.

ἀκούσαντες δὲ τούτων οἱ ἀμφὶ τὸν Βάττον ἀπέπλωον ὀπίσω· οὐ γὰρ δή σφεας ἀπίει ὁ θεὸς τῆς ἀποικίης, πρὶν δὴ ἀπίκωνται ἐς αὐτὴν Λιβύην. ἀπικόμενοι δὲ ἐς τὴν νῆσον καὶ ἀναλαβόντες τὸν ἔλιπον, ἔκτισαν αὐτῆς Λιβύης χῶρον ἀντίον τῆς νήσου τῷ οὔνομα ἦν Ἄζιρις, τὸν νάπαι

— ἔκτισαν: wie I, 149. — ἴση: nämlich an Umfang.

C. 157. οὐδὲν γάρ: die Partikel giebt den Grund zu ἀπέπλεον an. — συνεφέρετο: zu II, 111. — αἰ τύ = εἰ σύ, dorisch. — μηλοτρόφον: zu IV, 155. — ἄγαμαι: zu IV, 75. — ἀπέπλωον ὀπίσω: wie III, 16. — πρίν: zu I, 19. — ἔκτισαν: wie I, 149. — ἀντίον τῆς νήσου: ἀντίος mit dem Genitiv scheint das lokale Gegentheil zu bezeichnen, so dass zwei Dinge als zusammengehörig, als ein Paar betrachtet werden, von denen das eine auf der entgegengesetzten Seite eine dem andern entsprechende Lage hat; so ist es II, 34; Aegypten und das gebirgige Kilikien denkt sich H. als die beiden parallelen Seiten des Meeres, welche einander gerade gegenüber liegen; er fasst sie also als zwei zusammengehörige Gegenstände gleich beide zusammen auf wie ein ursprünglich verbundenes Paar, welches objectiv ist, nicht erst subjectiv durch sein Urtheil etwa ungefähr in dies Verhältniss gesetzt wird. Und gerade so ist es auch hier an dieser Stelle. Der Dativ dagegen wird bei lokal entgegengesetzten Dingen gebraucht, wenn beide nicht als ein Paar aufgefasst werden; das ist nirgends nöthig; aber nicht möglich ist es dann, wenn die Gegenstände von Natur nicht so gleichartig und so genau entsprechend sind, dass sie sich als paarweis zusammengehörig darböten, sondern man nur wahrnimmt oder urtheilt, dass sie einander gegenüber sind, sich ihre Vorderseiten zukehren, ohne sich im Uebrigen genau zu entsprechen. So ist es wieder II, 34, wo eine Stadt und eine Flussmündung mit einander zusammengestellt und verglichen werden; so heterogene Dinge bilden kein Paar, zumal da die Mündung nicht als solche, also als ein Punkt bezeichnet ist, sondern der ganze Fluss, indem er mündet (ἐκδιδόντι). Dieser Begriff der Paarheit ist jedoch beim Dativ auch nicht ausgeschlossen, und daher hat er weitere Be-

τε κάλλισται ἐπ' ἀμφότερα συγκληίουσι καὶ ποταμὸς τὰ ἐπὶ θάτερα παραρρέει. τοῦτον οἴκεον τὸν χῶρον ἓξ ἔτεα· 158
ἑβδόμῳ δέ σφεας ἔτεϊ παραιτησάμενοι Λίβυες ὡς ἐς ἀμείνονα χῶρον ἄξουσι, ἀνέγνωσαν ἐκλιπεῖν. ἦγον δέ σφεας ἐνθεῦτεν οἱ Λίβυες ἀναστήσαντες πρὸς ἑσπέρην· καὶ τὸν κάλλιστον τῶν χώρων ἵνα διεξιόντες οἱ Ἕλληνες μὴ ἴδοιεν, συμμετρησάμενοι τὴν ὥρην τῆς ἡμέρης νυκτὸς παρῆγον. ἔστι δὲ τῷ χώρῳ τούτῳ οὔνομα Ἴρασα. ἀγαγόντες δέ σφεας ἐπὶ κρήνην λεγομένην εἶναι Ἀπόλλωνος εἶπαν "ἄνδρες Ἕλληνες, ἐνθαῦτα ὑμῖν ἐπιτήδεον οἰκέειν· ἐνθαῦτα γὰρ ὁ οὐρανὸς τέτρηται."

deutung; er kann immer für den Genitiv, nicht dieser immer für den Dativ gesetzt werden. Es folgen nun hier sämmtliche im H. befindlichen Stellen nach den Casus geordnet: die Adverbien ἀντίον und ἀντία und das Adjectiv ἀντίος 1) mit dem Genitiv: *ex adverso* oder *coram* I, 31. 72. 80. 124. 133. 160. 201. II, 2. 34. 121. 135. 154. 166. III, 160. IV, 157. V, 77. 99. VI, 47. VII, 22. 209. VIII, 90. IX, 31 bis 48. 2) mit dem Dativ, um zu bezeichnen, was widerspricht, ohne dass es gerade ausdrücklich für das Gegentheil erklärt werde: II, 20. 34. V, 18. VI, 77. VII, 10. 10, 1. 211. 236. IX, 26. (Dass hierdurch blos Widerspruch bezeichnet wird, zeigen am deutlichsten die Stellen VII, 10 und 10, 1, wo es nur darauf ankommt, dass man Widerspruch **wagt**, ohne dass es gerade die entgegengesetzte Meinung zu sein braucht; es kann ein leiser Widerspruch sein.) Ueberhaupt sind diese Formen, wo sie mit dem Dativ verbunden werden, mit Ausnahme von VII, 10 u. 10, 1 immer in Verbindung mit dem Verbum zu nehmen, um eine Bewegung oder Richtung zu bezeichnen; also II, 34 ἀντίον κέεται = ἀντικέεται, VII, 236 ἢν ἴωσι ἀντία = ἢν ἀντίωσι u. s. w. In Bezug auf ἐναντίος findet ganz dasselbe Verhältniss statt; es ist aber seltener als ἀντίος. 1) mit dem Genitiv I, 82. II, 153. V, 111. VI, 57. 86. 109. VIII, 102. IX, 104. Auch κατεναντίον III, 144 und ὑπεναντίος III, 80 u. VII, 153. 2) mit dem Dativ I, 207. III, 65. IV, 137. 138. VI, 32. VIII, 108; und ὑπεναντίος VII, 39 u. 50, 1. Die Stelle VI, 32 ist, wie oben bei ἀντία VII, 236 zu erklären, nämlich στρατοπεδευομένοισι ἐναντία σφίσι = ἀντιστρατοπεδευομένοισι σφίσι. — ἐπ' ἀμφότερα u. ἐπὶ θάτερα: zu I, 50.

C. 158. παραιτησάμενοι . . . ἄξουσι: "*Libyes facultatem ab illis sibi petebant ut liceat meliorem in regionem illos deducere.*" Bähr. — ἀνέγνωσαν: zu I, 68. — παρῆγον: zu I, 91. — τέτρηται: eig. **ist durchbohrt** (wie ein Sieb) von τετραίνω, vom reichlichen befruchtenden Regen zu verstehen. "Ueber dies Bergland steigt man von hier (eine Stunde von Kyrene im Süden) an dessen Nordabhange nur ein weniges hinab, und es eröffnet sich, so weit das Auge reicht, eine weite Hochfläche, die ganz und gar mit Trümmern einer weitläuftigen grossen einst prunkvollen

159 Ἐπὶ μέν νυν Βάττεώ τε τοῦ οἰκιστέω τῆς ζόης, ἄρξαντος ἐπὶ τεσσεράκοντα ἔτεα, καὶ τοῦ παιδὸς αὐτοῦ Ἀρκεσίλεω ἄρξαντος ἑκκαίδεκα ἔτεα, οἴκεον οἱ Κυρηναῖοι ἐόντες τοσοῦτοι ὅσοι ἀρχὴν ἐς τὴν ἀποικίην ἐστάλησαν· ἐπὶ δὲ τοῦ τρίτου, Βάττεω τοῦ εὐδαίμονος καλεομένου, Ἕλληνας πάντας ὥρμησε χρήσασα ἡ Πυθίη πλέειν συνοικήσοντας Κυρηναίοισι Λιβύην· ἐπεκαλέοντο γὰρ οἱ Κυρηναῖοι ἐπὶ γῆς ἀναδασμῷ. ἔχρησε δὲ ὧδε ἔχοντα.

ὃς δέ κεν ἐς Λιβύην πολυήρατον ὕστερον ἔλθῃ
γᾶς ἀναδαιομένας, μετά οἵ ποκά φαμι μελήσειν.

συλλεχθέντος δὲ ὁμίλου πολλοῦ ἐς τὴν Κυρήνην περιταμνόμενοι γῆν πολλὴν οἱ περίοικοι Λίβυες καὶ ὁ βασιλεὺς αὐτῶν τῷ οὔνομα ἦν Ἀδικράν, οἷα τῆς τε χώρης στερισκόμενοι καὶ περιυβριζόμενοι ὑπὸ τῶν Κυρηναίων, πέμψαντες ἐς Αἴγυπτον ἔδοσαν σφέας αὐτοὺς Ἀπρίῃ τῷ Αἰγύπτου βασιλέι. ὁ δὲ συλλέξας στρατὸν Αἰγυπτίων πολλὸν ἔπεμπε ἐπὶ τὴν Κυρήνην. οἱ δὲ Κυρηναῖοι ἐκστρατευσάμενοι ἐς

Stadt überdeckt ist, die in Erstaunen setzen; denn der rauhe Boden ist mit Mauern und Thürmen wie bespickt, lange Reste von Strassen ziehen sich hin, die überall mit Grabmahlen und Sarkophagen besetzt sind; das wildwuchernde Gebüsch von Oleandern, die hohen ernsten Cypressen zwischen den Trümmern vertheilt, versetzen beim Eintritt in diese Region in eine feierliche Stimmung. Dies sind die Trümmer der berühmten Hauptstadt der Pentapolis (*Berenice Arsinoe Ptolemais Apollonia Cyrene*), von Kyrene, welche heute noch unter dem Namen La Grenne bei den Einheimischen, auf der Hochfläche des Küstenplateaus liegt. An der Westseite der Stadt zeigen sich steilaufsteigende Kalkfelswände; aus deren Fusse sprudelt mitten aus dem Felsen eine der reichsten und schönsten Quellen hervor; sie fliesst zu jeder Jahreszeit ununterbrochen fort; umher ragt das ehrwürdige Gemäuer eines alten Apollotempels hervor, an diesem berühmten einst heiligen Quell, wo die Kyrenäer ihr Orakel und ihre Colonie gründeten, und die Stadt erbauten." Ritter a. a. O. S. 946 flg.

C. 159. τῆς ζόης: hängt ab von ἐπί: zu I, 5. — ἀρχήν: vgl. II, 95. — τοῦ τρίτου: nämlich βασιλέος. — Βάττεω τοῦ Εὐδ. καλ.: also Battus II. — ἐπὶ γ. ἀν.: wie I, 41. — ὕστερον ... γᾶς ἀναδ.: drückt Diod. Sic. 5, 53 aus: καθυστερεῖν τῆς κληροδοσίας. — μετά: ist zu verbinden mit μελήσειν., ποκά ist dorisch für ποτέ. — ὁμίλου πολλοῦ: welcher, wie aus C. 161 erhellt, aus Peloponnesiern, Kretern und Inselbewohnern bestand. — περιταμνόμενοι: variirt weiter un-

Ἴρασα χῶρον καὶ ἐπὶ κρήνῃ Θέστην συνέβαλόν τε τοῖσι Αἰγυπτίοισι καὶ ἐνίκησαν τῇ συμβολῇ· ἅτε γὰρ οὐ πεπειρημένοι πρότερον οἱ Αἰγύπτιοι Ἑλλήνων καὶ παραχρεώμενοι διεφθάρησαν οὕτω ὥστε ὀλίγοι τινὲς αὐτέων ἀπενόστησαν ἐς Αἴγυπτον. ἀντὶ τούτων Αἰγύπτιοι κατὰ ταὐτὰ ἐπιμεμφόμενοι Ἀπρίῃ ἀπέστησαν ἀπ' αὐτοῦ.

Τούτου δὲ τοῦ Βάττεω γίνεται παῖς Ἀρκεσίλεως, ὃς 160
βασιλεύσας πρῶτα τοῖσι ἑωυτοῦ ἀδελφεοῖσι ἐστασίασε, ἐς ὅ μιν οὗτοι ἀπολιπόντες οἴχοντο ἐς ἄλλον χῶρον τῆς Λιβύης καὶ ἐπ' ἑωυτῶν βαλόμενοι ἔκτισαν πόλιν ταύτην ἣ τότε καὶ νῦν Βάρκη καλέεται· κτίζοντες δ' ἅμα αὐτὴν ἀπιστᾶσι ἀπὸ τῶν Κυρηναίων τοὺς Λίβυας. μετὰ δὲ Ἀρκεσίλεως ἐς τοὺς ὑποδεξαμένους τε τῶν Λιβύων καὶ ἀποστάντας τοὺς αὐτοὺς τούτους ἐστρατεύετο· οἱ δὲ Λίβυες δείσαντες αὐτὸν οἴχοντο φεύγοντες πρὸς τοὺς ἠοίους τῶν Λιβύων. ὁ δὲ Ἀρκεσίλεως εἵπετο φεύγουσι, ἐς ὃ ἐν Λεύκωνί τε τῆς Λιβύης ἐγίνετο ἐπιδιώκων καὶ ἔδοξε τοῖσι Λίβυσι ἐπιθέσθαι οἱ. συμβαλόντες δὲ ἐνίκησαν τοὺς Κυρηναίους τοσοῦτο ὥστε ἑπτακισχιλίους ὁπλίτας Κυρηναίων ἐνθαῦτα πεσέειν. μετὰ δὲ τὸ τρῶμα τοῦτο Ἀρκεσίλεων μὲν κάμνοντά τε καὶ φάρμακον πεπωκότα ὁ ἀδελφεὸς Λέαρχος ἀποπνίγει, Λέαρχον δὲ ἡ γυνὴ ἡ Ἀρκεσίλεω δόλῳ κτείνει, τῇ
οὔνομα ἦν Ἐρυξώ. διεδέξατο δὲ τὴν βασιληίην τοῦ Ἀρκε- 161
σίλεω ὁ παῖς Βάττος, χωλὸς ἐὼν καὶ οὐκ ἀρτίπους. οἱ δὲ Κυρηναῖοι πρὸς τὴν καταλαβοῦσαν συμφορὴν ἔπεμπον ἐς Δελφοὺς ἐπειρησομένους ὅντινα τρόπον καταστησάμενοι

ten durch στερισκόμενοι. — συνέβαλόν τε τοῖσι Αἰγυπτίοισι: schon erzählt II, 161. — παραχρεώμενοι: zu I, 108. — κατὰ ταὐτά: *eodem modo*, (*quo Libyes*). Bekker schlägt vor καὶ ταῦτα. In der angeführten Stelle II, 161 steht: Αἰγύπτιοι δὲ ταῦτα ἐπιμεμφόμενοι ἀπέστησαν ἀπ' αὐτοῦ.

C. 160. παῖς Ἀρκ.: also Arkesilaus II. — ἐπ' ἑωυτῶν βαλλόμενοι: zu III, 71. — Βάρκη: zu IV, 200. — ὑποδεξαμένους: zu I, 41; als Object ist hinzuzudenken τοὺς ἀδελφεούς. — ἐπιθέσθαι: zu I, 26.

C. 161. ὁ παῖς Βάττος: also Battus III. — πρὸς τήν: zu I, 38. — καταλαβοῦσαν: wohl zu fassen wie II, 66; das Object lässt sich leicht ergänzen. — συμφορήν: zu I, 32. — ὅντινα τρόπον καταστησάμενοι: *quo modo rem publicam constituerent, ut* ...

κάλλιστα ἂν οἰκέοιεν. ἡ δὲ Πυθίη ἐκέλευε ἐκ Μαντινέης τῆς Ἀρκάδων καταρτιστῆρα ἀγαγέσθαι. αἴτεον ὦν οἱ Κυρηναῖοι, καὶ οἱ Μαντινέες ἔδοσαν ἄνδρα τῶν ἀστῶν δοκιμώτατον, τῷ οὔνομα ἦν Δημῶναξ. οὗτος ὦν ὡνὴρ ἀπικόμενος ἐς τὴν Κυρήνην καὶ μαθὼν ἕκαστα τοῦτο μὲν τριφύλους ἐποίησέ σφεας, τῇδε διαθείς· Θηραίων μὲν γὰρ καὶ τῶν περιοίκων μίαν μοῖραν ἐποίησε, ἄλλην δὲ Πελοποννησίων καὶ Κρητῶν, τρίτην δὲ νησιωτέων πάντων· τοῦτο δὲ τῷ βασιλέι Βάττῳ τεμένεα ἐξελὼν καὶ ἱροσύνας, τὰ ἄλλα πάντα τὰ πρότερον εἶχον οἱ βασιλέες ἐς μέσον τῷ δήμῳ ἔθηκε.

162 *Ἐπὶ μὲν δὴ τούτου τοῦ Βάττεω οὕτω διετέλεε ἐόντα, ἐπὶ δὲ τοῦ τούτου παιδὸς Ἀρκεσίλεω πολλὴ ταραχὴ περὶ τῶν τιμέων ἐγένετο. Ἀρκεσίλεως γὰρ ὁ Βάττου τε τοῦ χωλοῦ καὶ Φερετίμης οὐκ ἔφη ἀνέξεσθαι κατὰ ὁ Μαντινεὺς Δημῶναξ ἔταξε, ἀλλ' ἀπαίτεε τὰ τῶν προγόνων γέρεα. ἐν-*

"Anfänglich mag die Verfassung von Kyrene der spartiatischen ziemlich analog gewesen sein. Hernach kamen die alten Rechte der ursprünglichen Colonisten mit den Ansprüchen der hinzugekommenen in mannigfachen Streit, und zugleich gewannen die Könige eine verfassungswidrige und fast tyrannische Macht. Daher musste unter Battus III Demonax, als Gesetzgeber herbeigerufen, die Souveränetät der Gemeinde wieder herstellen; derselbe gab den neuen Colonisten mit den Altbürgern im Ganzen gleiches Bürgerrecht, wenn diesen auch noch manche Vorzüge gelassen wurden. Die Könige wurden ausserordentlich beschränkt, und allein auf die Einkünfte von priesterlichen Funktionen (*ἱρωσύνας*) und ihren Gütern (*τεμένεα*) angewiesen, da sie sich vorher das Vermögen des Staats im Ganzen angemasst; sie hatten Sitz und Stimme im Rathe und auch wohl die Leitung desselben, welches Amt Pheretime, die Mutter Arkesilaos' III, während Abwesenheit ihres Sohnes versah (C. 165). Diesen Beschränkungen widerstritten aber die Regenten mit Heftigkeit, und zogen so ihren Untergang selbst herbei (C. 162 flgg.)." K. O. Müller Dorier 2 S. 173. — *ἐκ Μαντινέης:* als *εὐνομώτατοι* werden die Mantineer gepriesen bei Aelian V. H. 2, 22. — *τριφύλους*: nach dorischem Muster; vgl. V, 68. — *τῶν περιοίκων*: "Hieraus ist deutlich, dass auch fortwährend nur die ursprünglichen Colonisten Periöken (zu VI, 58) hatten, die andern nicht, und jene immer noch eine Art von Bevorrechteten waren, deren Existenz wohl grösstentheils vom eigenen Betrieb des Landbaues unabhängig war; so ehrte der weise Demonax die geschichtliche Vergangenheit." Müller S. 64. — *Πελοπ. καὶ Κρ.*: vgl. C. 159 *συλλεχθέντος δὲ ὁμίλου πολλοῦ ἐς τὴν Κυρήνην.* — *ἐξελών*: zu I, 148.

C. 162. *Ἀρκεσίλεω:* also Arkesilaos III. — *γέρεα:* zu III, 142. —

θεῦτεν στασιάζων ἑσσώθη καὶ ἔφυγε ἐς Σάμον, ἡ δὲ μήτηρ οἱ ἐς Σαλαμῖνα τῆς Κύπρου ἔφυγε. τῆς δὲ Σαλαμῖνος τοῦτον τὸν χρόνον ἐπεκράτεε Εὐέλθων, ὃς τὸ ἐν Δελφοῖσι θυμιητήριον ἐὸν ἀξιοθέητον ἀνέθηκε, τὸ ἐν τῷ Κορινθίων θησαυρῷ κέεται. ἀπικομένη δὲ παρὰ τοῦτον ἡ Φερετίμη ἐδέετο στρατιῆς ἣ κατάξει σφέας ἐς τὴν Κυρήνην. ὁ δέ γε Εὐέλθων πᾶν μᾶλλον ἢ στρατιήν οἱ ἐδίδου· ἡ δὲ λαμβάνουσα τὸ διδόμενον καλὸν μὲν ἔφη καὶ τοῦτο εἶναι, κάλλιον δὲ ἐκεῖνο, τὸ δοῦναί οἱ δεομένῃ στρατιήν· τοῦτο γὰρ ἐπὶ παντὶ τῷ διδομένῳ ἔλεγε. τελευταῖόν οἱ ἐξέπεμψε δῶρον ὁ Εὐέλθων ἄτρακτον χρύσεον καὶ ἠλακάτην, προσῆν δὲ καὶ εἴριον. εἰπάσης δὲ αὖτις τῆς Φερετίμης τὠυτὸ ἔπος, ὁ Εὐέλθων ἔφη τοιούτοισι γυναῖκας δωρέεσθαι ἀλλ' οὐ στρατιῇ.

163 ὁ δὲ Ἀρκεσίλεως τοῦτον τὸν χρόνον ἐὼν ἐν Σάμῳ συνήγειρε πάντα ἄνδρα ἐπὶ γῆς ἀναδασμῷ. συλλεγομένου δὲ στρατοῦ πολλοῦ ἐστάλη ἐς Δελφοὺς Ἀρκεσίλεως χρησόμενος τῷ χρηστηρίῳ περὶ κατόδου. ἡ δὲ Πυθίη οἱ χρᾷ τάδε. "ἐπὶ μὲν τέσσερας Βάττους καὶ Ἀρκεσίλεως τέσσερας, ὀκτὼ ἀνδρῶν γενεάς, διδοῖ ὑμῖν Λοξίης βασιλεύειν Κυρήνης· πλέον μέντοι τούτου οὐδὲ πειρᾶσθαι παραινέει. σὺ μέντοι ἥσυχος εἶναι κατελθὼν ἐς τὴν σεωυτοῦ. ἢν δὲ τὴν κάμινον εὕρῃς πλέην ἀμφορέων, μὴ ἐξοπτήσῃς τοὺς ἀμφορέας ἀλλ' ἀπόπεμπε κατ' οὖρον. εἰ δὲ ἐξοπτήσεις τὴν κάμινον, μὴ ἐσέλθῃς ἐς τὴν ἀμφίρρυτον· εἰ δὲ μή, ἀποθανέαι καὶ αὐτὸς

ἐς Σάμον: denn Κυρηναίοισι ... ἐς Σαμίους ... φιλίαι μεγάλαι συνεκρήθησαν IV, 152. Zu dieser Zeit herrschte auf Samos der mächtige Polykrates, von dem A. Hülfe zu erlangen hoffen konnte. — ἐν τῷ Κορινθίων θησαυρῷ: schon erwähnt I, 14. — σφέας: sie und ihren Sohn. — ἐπὶ π.: zu II, 86.

C. 163. ἐπὶ γῆς ἀν.: schon oben C. 159. — Λοξίης: zu I, 91. — ἥσυχος εἶναι: zu III, 35. — κατ' οὖρον: in die Luft. — ἢν δὲ ... καλλιστεύων: diese an sich unverständlichen Worte werden durch die Auseinandersetzung im folgenden Capitel von selbst klar, so wie auch dass durch ταῦρος ὁ καλλιστεύων sein Schwiegervater Alazir gemeint war, der vielleicht als ταῦρος bezeichnet wurde, weil er nicht wegen eigener Schuld, sondern als Opfer fiel. Wie aber ἐς τὴν ἀμφίρρυτον (nach gewöhnlichem Sprachgebrauch Beiwort einer Insel) einerseits vom Arkesilaus irrthümlich auf Kyrene, andererseits von der Pythia auf Barka, wie es sich nachher ausweist, bezogen werden konnte, dies zu begreifen, bedarf es ei-

καὶ ταῦρος ὁ καλλιστεύων.“ ταῦτα ἡ Πυθίη Ἀρκεσίλεῳ
164 *χρᾷ. ὁ δὲ παραλαβὼν τοὺς ἐκ τῆς Σάμου κατῆλθε ἐς τὴν Κυρήνην, καὶ ἐπικρατήσας τῶν πρηγμάτων τοῦ μαντηίου οὐκ ἐμέμνητο, ἀλλὰ δίκας τοὺς ἀντιστασιώτας αἴτεε τῆς ἑωυτοῦ φυγῆς. τῶν δὲ οἱ μὲν τὸ παράπαν ἐκ τῆς χώρης ἀπαλλάσσοντο, τοὺς δέ τινας χειρωσάμενος ὁ Ἀρκεσίλεως ἐς Κύπρον ἀπέστειλε ἐπὶ διαφθορῇ. τούτους μέν νυν Κνίδιοι ἀπενειχθέντας πρὸς τὴν σφετέρην ἐρρύσαντο καὶ ἐς Θήρην ἀπέστειλαν· ἑτέρους δέ τινας τῶν Κυρηναίων ἐς πύργον μέγαν Ἀγλωμάχου καταφυγόντας ἰδιωτικὸν ὕλην περινήσας ὁ Ἀρκεσίλεως ἐνέπρησε. μαθὼν δὲ ἐπ᾽ ἐξεργασμένοισι τὸ μαντήιον ἐὸν τοῦτο, ὅτι μιν ἡ Πυθίη οὐκ ἔα εὑρόντα ἐν τῇ καμίνῳ τοὺς ἀμφορέας ἐξοπτῆσαι, ἔργετο ἑκὼν τῆς τῶν Κυρηναίων πόλιος, δειμαίνων τε τὸν κεχρησμένον θάνατον καὶ δοκέων ἀμφίρρυτον τὴν Κυρήνην εἶναι. εἶχε δὲ γυναῖκα συγγενέα ἑωυτοῦ, θυγατέρα δὲ τοῦ τῶν Βαρκαίων βασιλέος, τῷ οὔνομα ἦν Ἀλαζίρ. παρὰ τοῦτον ἀπικνέεται, καί μιν Βαρκαῖοί τε ἄνδρες καὶ τῶν ἐκ Κυρήνης φυγάδων τινὲς καταμαθόντες ἀγοράζοντα κτείνουσι,*

ner gewiss sehr kühnen Vermuthung. *Barca* heisst bekanntlich die Barke, das Schiffchen, verwandt mit *βᾶρις* (vgl. II, 41. 60. 179) jedenfalls ägyptischen Ursprungs. Bedeutet hiernach der Ortsname *Βάρκη* das Schiffchen, so begreift man wohl, weshalb die Pythia diesen Ort symbolisch die ringsumflossene nennen konnte; denn die Barke ist dazu bestimmt, vom Meere umflossen zu sein. Wie aber Arkesilaus Kyrene für ringsumflossen halten konnte, da es nach Strabo 17, 3 *πόλις ἐν τραπεζοειδεῖ πεδίῳ κειμένη* ist, möchte wohl nur aus dem Laufe der Begebenheiten, welche H. andeutet, zu erkennen sein. Wahrscheinlich schien dem Tyrannen, nachdem er einige seiner Landsleute *ἐπὶ διαφθορῇ* nach Kypern geschickt, andere *ἐν τῷ πύργῳ* verbrannt hatte, nunmehr, als er das Orakel zu verstehen glaubte, Kyrene eine mit Blut ringsumflossene zu sein, weshalb er aus Furcht nach Barka ging.

C. 164. *ἐπὶ διαφθορῇ*: wie I, 41. — *Κνίδιοι ἐρρύσαντο*: die Freundschaft der Knidier mit den Tarentinern (vgl. III, 138) wie mit den Kyrenäern beruht auf der Anerkennung gemeinsamen Ursprungs (vgl. I, 174). — *ἀπενειχθέντας*: sonst steht noch dabei *ὑπ᾽ ἀνέμων* (vgl. IV, 151) oder etwas der Art. — *ἐς Θήρην*: also nach dem Mutterstaat. — *ἐς πύργον . . . Ἀγλωμάχου . . . ἰδιωτικόν*: in einem Th., der dem A. eigen gehörte; der Gegensatz wäre: der dem Staate gehörte. — *περινήσας*: zu II, 107. — *ἐπ᾽ ἐξεργασμένοισι*: zu

πρὸς δὲ καὶ τὸν πενθερὸν αὐτοῦ Ἀλαζῖρα. Ἀρκεσίλεως μέν νυν εἴτε ἑκὼν εἴτε ἀέκων ἁμαρτὼν τοῦ χρησμοῦ ἐξέπλησε μοῖραν τὴν ἑωυτοῦ.

165 Ἡ δὲ μήτηρ Φερετίμη, τέως μὲν ὁ Ἀρκεσίλεως ἐν τῇ Βάρκῃ διαιτᾶτο ἐξεργασμένος ἑωυτῷ κακόν, ἡ δὲ εἶχε αὐτὴ τοῦ παιδὸς τὰ γέρεα ἐν Κυρήνῃ, καὶ τἆλλα νεμομένη καὶ ἐν βουλῇ παρίζουσα· ἐπείτε δὲ ἔμαθε ἐν τῇ Βάρκῃ ἀποθανόντα οἱ τὸν παῖδα, φεύγουσα οἰχώκεε ἐς Αἴγυπτον. ἔσαν γάρ οἱ ἐκ τοῦ Ἀρκεσίλεω εὐεργεσίαι ἐς Καμβύσεα τὸν Κύρου πεποιημέναι· οὗτος γὰρ ἦν ὁ Ἀρκεσίλεως ὃς Κυρήνην Καμβύσῃ ἔδωκε καὶ φόρον ἐτάξατο. ἀπικομένη δὲ ἐς Αἴγυπτον ἡ Φερετίμη Ἀρυάνδεω ἱκέτις ἕζετο, τιμωρῆσαι ἑωυτῇ κελεύουσα, προϊσχομένη πρόφασιν ὡς διὰ τὸν μηδισμὸν ὁ παῖς οἱ τέθνηκε.

166 ὁ δὲ Ἀρυάνδης ἦν οὗτος τῆς Αἰγύπτου ὕπαρχος ὑπὸ Καμβύσεω κατεστεώς, ὃς ὑστέρῳ χρόνῳ τούτων παρισεύμενος Δαρείῳ διεφθάρη· πυθόμενος γὰρ καὶ ἰδὼν Δαρεῖον ἐπιθυμέοντα μνημόσυνον ἑωυτοῦ λιπέσθαι τοῦτο τὸ μὴ ἄλλῳ εἴη βασιλέι κατεργασμένον, ἐμιμέετο τοῦτον, ἐς ὃ ἔλαβε τὸν μισθόν. Δαρεῖος μὲν γὰρ χρυσίον καθαρώτατον ἀπεψήσας ἐς τὸ δυνατώτατον νόμισμα ἐκόψατο, Ἀρυάνδης δὲ ἄρχων Αἰγύπτου ἀργύριον

I, 170. — οὐκ ἐᾷ: zu II, 30. — ἀγοράζοντα: zu III, 139.

C. 165. ἐξεργασμένος ἑωυτῷ κακόν: mali sui sibi auctor. — ἡ δέ: wie I, 112; ἡ nimmt ἡ μήτηρ wieder auf. — τὰ γέρεα: zu III, 142. — καὶ τἆλλα ... παρίζουσα: zu IV, 161. — ἔσαν γάρ οἱ: dativ. ethic., ihr zum Nuzzen. — ὃς Κ. Κ. ἔδωκε: "Arcesilai non meminit Herodotus III, 13, ubi donorum mentionem facit, ad Cambysem a Cyrenaeis missorum: quae quidem dona neutiquam benigne a Cambyse accepta esse ait, sed per contemtum militibus ab illo proiecta. Videtur deinde Arcesilaus tradita Cambysi Cyrenaica melius de illo voluisse mereri." Schweigh. — φόρον ἐτάξατο: zu III, 13. — προϊσχομένη: zu I, 3.

C. 166. ὕπαρχος: zu III, 120; variirt weiter unten durch ἄρχων. — παρισεύμενος: von παρισοῦμαι, ich stelle mich jemanden gleich; noch VIII, 140, 1. — τοῦτο τό: zu II, 135. — καθαρώτατον ἐς τὸ δυνατώτατον: ut, quoad maxime fieri posset, esset purgatissimum. — νόμισμα ἐκόψατο: nämlich die Δαρεικοί, aber zuerst nur als Gedächtnissmünze; später wurden sie gangbare Münze, besonders seitdem man die Miethtruppen darin bezahlte. Vor Darius Hystaspis hatten die Perser noch kein Geld,

τὠυτὸ τοῦτο ἐποίεε· καὶ νῦν ἐστὶ ἀργύριον καθαρώτατον τὸ Ἀρυανδικόν. μαθὼν δὲ Δαρεῖός μιν ταῦτα ποιεῦντα, αἰτίην οἱ ἄλλην ἐπενείκας, ὥς οἱ ἐπανίσταιτο, ἀπέκτεινε.
167 *τότε δὲ οὗτος ὁ Ἀρυάνδης κατοικτείρας Φερετίμην διδοῖ αὐτῇ στρατὸν τὸν ἐξ Αἰγύπτου ἅπαντα, καὶ τὸν πεζὸν καὶ τὸν ναυτικόν· στρατηγὸν δὲ τοῦ μὲν πεζοῦ Ἄμασιν ἀπέδεξε ἄνδρα Μαράφιον, τοῦ δὲ ναυτικοῦ Βάδρην ἐόντα Πασαργάδην γένος. πρὶν δὲ ἢ ἀποστεῖλαι τὴν στρατιήν, ὁ Ἀρυάνδης πέμψας ἐς τὴν Βάρκην κήρυκα ἐπυνθάνετο τίς εἴη ὁ Ἀρκεσίλεων ἀποκτείνας. οἱ δὲ Βαρκαῖοι αὐτοὶ ὑπεδεκέατο πάντες· πολλά τε γὰρ καὶ κακὰ πάσχειν ὑπ' αὐτοῦ. πυθόμενος δὲ ταῦτα ὁ Ἀρυάνδης οὕτω δὴ τὴν στρατιὴν ἀπέστειλε ἅμα τῇ Φερετίμῃ. αὕτη μέν νυν αἰτίη πρόσχημα τοῦ λόγου ἐγίνετο, ἐπέμπετο δὲ ἡ στρατιή, ὡς ἐμοὶ δοκέειν, ἐπὶ Λιβύων καταστροφῇ· Λιβύων γὰρ δὴ ἔθνεα πολλὰ καὶ παντοῖα ἐστί, καὶ τὰ μὲν αὐτῶν ὀλίγα βασιλέος ἦν ὑπήκοα, τὰ δὲ πλέω ἐφρόντιζε Δαρείου οὐδέν.*

168 *Οἰκέουσι δὲ κατὰ τάδε Λίβυες, ἀπ' Αἰγύπτου ἀρξάμενοι. πρῶτοι Ἀδυρμαχίδαι Λιβύων κατοίκηνται, οἳ νόμοισι*

wenigstens keines, das von ihnen selber geprägt war; vgl. III, 96. — *ἐποίεε:* mit doppeltem Accusativ. — *ἐπενείκας*: zu I, 26.

C. 167. *Μαράφιον* und *Πασαργάδην:* bezeichnet als vornehme Stämme der Perser I, 125. "Die eigentlichen Feldherrn gehörten stets zu den Vornehmsten der Nation. Bei den meisten derselben wird ausdrücklich erwähnt, dass sie aus der Familie der Achämeniden oder doch dem Stamme der Pasargaden waren. Nur ein einziges Beispiel kommt in der Geschichte vor, dass ein Perser aus dem Stamme der Maraphier ein Commando bekam." Heeren I, 1 S. 512. — *Βάδρην:* derselbe heisst IV, 203 Bares. — *ὑπεδεκέατο*: zu I, 41. — *πρόσχημα τοῦ λόγου*: "*velamentum et color sermonis est, quo veritatem dissimulabant Persae. Geminum germanum* VI, 133 *τοῦτο μὲν δὴ πρόσχημα λόγου ἦν: hoc colore inter fandum Miltiades utebatur.*" Wessel. So *πρόσχημα* noch VI, 44. VII, 157. IX, 87; aber V, 28 Zierde. — *ἐπὶ Λιβύων κατ.*: wie I, 41. — *ἐφρόντιζε Δ. οὐδέν:* kümmerte sich um den D. gar nicht; dieselbe Redeweise III, 97. 151. IV, 197. 198.

C. 168. Nachdem H. die Veranlassung zum (C. 145) angemeldeten Kriegszuge der Perser gegen Barka weitläuftig auseinander gesetzt hat, schaltet er nun, ehe er die Erzählung des Zuges selbst beginnt, die geographische Beschreibung der Libyschen Völker und die Darstellung ihrer Sitten und Gebräuche nach seiner Weise episodisch ein, wozu

μὲν τὰ πλέω Αἰγυπτίοισι χρέωνται, ἐσθῆτα δὲ φορέουσι οἵην περ οἱ ἄλλοι Λίβυες. αἱ δὲ γυναῖκες αὐτῶν ψέλιον περὶ ἑκατέρῃ τῶν κνημέων φορέουσι χάλκεον· τὰς κεφαλὰς δὲ κομῶσαι, τοὺς φθεῖρας ἐπεὰν λάβωσι τοὺς ἑωυτῆς ἑκάστη ἀντιδάκνει καὶ οὕτω ῥίπτει. οὗτοι δὲ μοῦνοι Λιβύων τοῦτο ἐργάζονται, καὶ τῷ βασιλέι μοῦνοι τὰς παρθένους μελλούσας συνοικέειν ἐπιδεικνύουσι· ἣ δὲ ἂν τῷ βασιλέι ἀρεστὴ γένηται, ὑπὸ τούτου διαπαρθενεύεται. παρήκουσι δὲ οὗτοι οἱ Ἀδυρμαχίδαι ἀπ' Αἰγύπτου μέχρι λιμένος τῷ οὔνομα Πλυνός ἐστι. τούτων δὲ ἔχονται Γιλιγάμμαι, νεμό- 169
μενοι τὴν πρὸς ἑσπέρην χώρην μέχρι Ἀφροδισιάδος νήσου. ἐν δὲ τῷ μεταξὺ τούτου χώρῳ ἥ τε Πλατέα νῆσος ἐπικέεται, τὴν ἔκτισαν Κυρηναῖοι, καὶ ἐν τῇ ἠπείρῳ Μενελάιος λιμήν ἐστι καὶ Ἄζιρις, τὴν οἱ Κυρηναῖοι οἴκεον· καὶ τὸ σίλφιον ἄρχεται ἀπὸ τούτου. παρήκει δὲ ἀπὸ Πλατέης νήσου μέχρι τοῦ στόματος τῆς Σύρτιος τὸ σίλφιον. νόμοισι δὲ χρεῶνται οὗτοι παραπλησίοισι τοῖσι ἑτέροισι. Γιλιγαμ- 170
μέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης Ἀσβύται· οὗτοι τὸ ὑπὲρ Κυρήνης οἰκέουσι. ἐπὶ θάλασσαν δὲ οὐ κατήκουσι Ἀσβύται· τὸ γὰρ παρὰ θάλασσαν Κυρηναῖοι νέμονται. τεθριπποβάται δὲ οὐκ ἥκιστα ἀλλὰ μάλιστα Λιβύων εἰσί, νόμους

er sich den Uebergang vorbereitet hatte durch die am Ende des vorigen Cap. befindlichen Worte *ἐπὶ Λιβύων καταστροφῇ*. Die Erzählung des Kriegszuges beginnt erst C. 200. — *κατὰ τάδε*: in folgender Ordnung. — *τοὺς φθεῖρας . . . ἀντιδάκνει*: vgl. IV, 109 zu *φθειροτραγέουσι*.

C. 169. *μέχρι Ἀφροδισιάδος ν.*: nach Rennel bei Derna zu suchen. Da der Theil zwischen *Πλατέα* und *Ἀφροδισιάς* als kyrenäisch erscheint, muss man wohl annehmen, die Giligammen hätten früher so weithin gewohnt, und seien dann durch Ansiedelung der Hellenen aus jener Gegend verdrängt worden. — Ueber *Πλατέα* und *Μενελάιος λιμήν*: zu IV, 151. Vgl. II, 119. — *τὸ σίλφιον*: eigentlich eine Pflanze, *laserpitium*, deren Saft als Arznei und an Speisen gebraucht ward, und einen grossen Theil des kyrenäischen Handels ausmachte. Denselben Namen erhielt das Land, wo sie wuchs. — *τῆς Σύρτιος*: H. erwähnt nur eine Syrte (vgl. II, 32. 150. IV, 173), u. zwar die grosse.

C. 170. *ὑπὲρ Κυρήνης*: die Asbyten wohnten also westlich von den Giligammen und südlich von Kyrene. — *κατήκουσι*: zu I, 148. — *τεθριπποβάται . . . μιμέεσθαι*: Kyrene war durch ihre Pferdezucht berühmt; Pind. P. 4, 2 *εὐίππου Κυράνας*. 7 *εὐάρματον πόλιν*. Strabo 17 p. 1194 b *καὶ γὰρ ἱππο-*

δὲ τοὺς πλεῦνας μιμέεσθαι ἐπιτηδεύουσι τοὺς Κυρηναίων.
171 Ἀσβυτέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης Αὐσχίσαι· οὗτοι ὑπὲρ Βάρκης οἰκέουσι, κατήκοντες ἐπὶ θάλασσαν κατ᾽ Εὐεσπερίδας. Αὐσχισέων δὲ κατὰ μέσον τῆς χώρης οἰκέουσι Κάβαλες, ὀλίγον ἔθνος, κατήκοντες ἐπὶ θάλασσαν κατὰ Ταύχειρα πόλιν τῆς Βαρκαίης· νόμοισι δὲ τοῖσι αὐτοῖσι
172 χρέωνται τοῖσι καὶ οἱ ὑπὲρ Κυρήνης. Αὐσχισέων δὲ τουτέων τὸ πρὸς ἑσπέρης ἔχονται Νασαμῶνες, ἔθνος ἐὸν πολλόν, οἳ τὸ θέρος καταλείποντες ἐπὶ τῇ θαλάσσῃ τὰ πρόβατα ἀναβαίνουσι ἐς Αὔγιλα χῶρον ὀπωριεῦντες τοὺς φοίνικας· οἱ δὲ πολλοὶ καὶ ἀμφιλαφέες πεφύκασι, πάντες ἐόντες καρποφόροι. τοὺς δὲ ἀττελέβους ἐπεὰν θηρεύσωσι, αὐήναντες πρὸς τὸν ἥλιον καταλέουσι καὶ ἔπειτα ἐπὶ γάλα ἐπιπάσσοντες πίνουσι. γυναῖκας δὲ νομίζοντες πολλὰς ἔχειν ἕκαστος ἐπίκοινον αὐτέων τὴν μῖξιν ποιεῦνται, τρόπῳ παραπλησίῳ τῷ καὶ Μασσαγέται· ἐπεὰν σκίπωνα προστήσωνται, μίσγονται. πρῶτον δὲ γαμέοντος Νασαμῶνος ἀνδρὸς νόμος ἐστὶ τὴν νύμφην νυκτὶ τῇ πρώτῃ διὰ πάντων διεξελθεῖν τῶν δαιτυμόνων μισγομένην· τῶν δὲ ὡς ἕκαστός οἱ μιχθῇ, διδοῖ δῶρον τὸ ἂν ἔχῃ φερόμενος ἐξ οἴκου. ὁρκίοισι δὲ καὶ μαντικῇ χρέωνται τοιῇδε· ὀμνύουσι μὲν τοὺς παρὰ σφίσι ἄνδρας δικαιοτάτους καὶ ἀρίστους λεγο-

τρόφος ἐστὶν ἀρίστη (ἡ Κυρήνη) καὶ καλλίκαρπος.

C. 171. ὑπὲρ Βάρκης: wie 170 ὑπὲρ Κυρήνης. — κατήκοντες: zu I, 148. — Εὐεσπερίδας = Ἑσπερίδας. Steph. B. s. v. Ἑσπερίς, πόλις Λιβύης, ἡ νῦν Βερενίκη. ὁ πολίτης Ἑσπερίτης. Heutzutage Bengasi. Ritter S. 938: "Dieses Nordwestgehänge würde bei einigem Fleiss leicht mit Obsthainen, Olivenwäldern, Weinbergen sich bedecken; die fruchtbare Küstenebene würde die reichsten Getreidefelder abgeben, und leicht wieder in hesperische Gärten zu verwandeln sein, die hier früher schon die Ostufer des grossen Golfs schmückten." — Ταύχειρα: (τά), später Arsinoe, jetzt Terkera genannt.

C. 172. Νασαμῶνες: schon erwähnt II, 32. — Αὔγιλα: zu IV, 182. — ἀμφιλαφέες: zu III, 114. — ἐπίκοινον: zu I, 216. — τῷ καὶ Μασσαγέται: vgl. I, 216. — ἐπεὰν σκίπωνα προστήσωνται: von den Arabern erzählt Strabo 16 p. 783 a: ὁ δὲ φθάσας εἰσιὼν μίγνυται, προθεὶς τῆς θύρας τὴν ῥάβδον. — μισγομένην: zu I, 5. — ὡς ἕκαστός οἱ μιχθῇ: in der Regel steht in einer solchen Verbindung ἄν hinter ὡς. Der umgekehrte Fall

μένους γενέσθαι τούτους, τῶν τύμβων ἁπτόμενοι, μαντεύονται δὲ ἐπὶ τῶν προγόνων φοιτῶντες τὰ σήματα, καὶ κατευξάμενοι ἐπικατακοιμῶνται· τὸ δ' ἂν ἴδῃ ἐν τῇ ὄψι ἐνύπνιον, τούτῳ χρᾶται. πίστισι δὲ τοιῇσίδε χρέωνται· ἐκ τῆς χειρὸς διδοῖ πιεῖν, καὶ αὐτὸς ἐκ τῆς τοῦ ἑτέρου πίνει. ἢν δὲ μὴ ἔχωσι ὑγρὸν μηδέν, οἱ δὲ τῆς χαμᾶθεν σποδοῦ λαβόντες λείχουσι.

Νασαμῶσι δὲ προσόμουροί εἰσι Ψύλλοι· οὗτοι ἐξαπο- 173
λώλασι τρόπῳ τοιῷδε. ὁ νότος σφι πνέων ἄνεμος τὰ ἔλυτρα τῶν ὑδάτων ἐξηύηνε, ἡ δὲ χώρη σφι πᾶσα ἐντὸς ἐοῦσα τῆς Σύρτιος ἦν ἄνυδρος· οἱ δὲ βουλευσάμενοι κοινῷ λόγῳ ἐστρατεύοντο ἐπὶ τὸν νότον (λέγω δὲ ταῦτα τὰ λέγουσι Λίβυες), καὶ ἐπείτε ἐγίνοντο ἐν τῇ ψάμμῳ, πνεύσας ὁ νότος κατέχωσέ σφεας. ἐξαπολομένων δὲ τουτέων ἔχουσι τὴν χώρην οἱ Νασαμῶνες.

Τουτέων δὲ κατύπερθε πρὸς νότον ἄνεμον ἐν τῇ θηριώ- 174
δεϊ οἰκέουσι Γαράμαντες, οἳ πάντα ἄνθρωπον φεύγουσι καὶ παντὸς ὁμιλίην, καὶ οὔτε ὅπλον ἐκτέαται ἀρήιον οὐδὲν
οὔτε ἀμύνεσθαι ἐπιστέαται. οὗτοι μὲν δὴ κατύπερθε οἰ- 175

findet sich I, 196 u. III, 44, wo ἂν beim Optativ steht. — τὸ δ' ἂν ἴδῃ: zu II, 38. — πίστισι: Treubündnisse. — διδοῖ: als Subject lässt sich leicht ergänzen ὁ ἕτερος τῶν ἀμφοτέρων τῶν πίστισι χρεωμένων. — πιεῖν: nämlich τῷ ἑτέρῳ. — οἱ δέ: wie I, 112.

C. 173. τὰ ἔλυτρα: zu I, 185. — ἐντὸς τῆς Σύρτιος: (vgl. IV, 169) in der Mitte des Syrtenlandes, also um das jetzige Mesurate. — ἐστρατεύοντο ἐπὶ τὸν νότον: Ritter 1 S. 934: "Die heissen Südwinde sind hier immer mit rothen Wolkensandschichten geschwängert und die herodotische Nachricht vom Feldzuge der Psyllen, die im innersten Winkel der Syrte wohnend, als ihre Wasserbehälter vertrocknet waren, gegen den feindlichen Südwind zu Felde zogen, aber von ihm unter dem Sande begraben wurden, zeigt im Gewande der Fabel eine genaue Bekanntschaft mit der geographischen Natur der syrtischen Landschaft. Vermuthlich kamen die Psyllen in ihrer verzweifelten Lage auf einer Emigration in das Land der Garamanten (Fezzan) um."

C. 174. ἐν τῇ θηριώδεϊ: zu IV, 181. — Γαράμαντες: können dasselbe Volk sein als die IV, 183 erwähnten, obgleich hier eine andere Lokalität gemeint zu sein scheint, als dort. — οἳ πάντα ... ἐπιστέαται: freilich hierin sehr verschieden von den C. 183 dargestellten. Heeren S. 232: "Man sieht leicht, dass dieses von einem einzelnen Stamme zu verstehen ist, der irgend in einem abgelegenen Winkel der

κέουσι Νασαμώνων· τὰ δὲ παρὰ τὴν θάλασσαν ἔχονται τὸ
πρὸς ἑσπέρης Μάκαι, οἳ λόφους κείρονται, τὸ μὲν μέσον
τῶν τριχῶν ἀνιέντες αὔξεσθαι, τὰ δὲ ἔνθεν καὶ ἔνθεν κεί-
ροντες ἐν χροΐ, ἐς δὲ τὸν πόλεμον στρουθῶν καταγαίων
δορὰς φορέουσι προβλήματα. διὰ δὲ αὐτῶν Κῖνυψ ποτα-
μὸς ῥέων ἐκ λόφου καλευμένου Χαρίτων ἐς θάλασσαν ἐκ-
διδοῖ. ὁ δὲ λόφος οὗτος ὁ Χαρίτων δασὺς ἴδῃσί ἐστι, ἐού-
σης τῆς ἄλλης τῆς προκαταλεχθείσης Λιβύης ψιλῆς· ἀπὸ
176 θαλάσσης δὲ ἐς αὐτὸν στάδιοι διηκόσιοί εἰσι. Μακέων δὲ
τουτέων ἐχόμενοι Γίνδανές εἰσι, τῶν αἱ γυναῖκες περισφύ-
ρια δερμάτων πολλὰ ἑκάστη φορέει κατὰ τοιόνδε τι, ὡς
λέγεται· κατ᾽ ἄνδρα ἕκαστον μιχθέντα περισφύριον περι-
δέεται· ἣ δ᾽ ἂν πλεῖστα ἔχῃ, αὕτη ἀρίστη δέδοκται εἶναι
177 ὡς ὑπὸ πλείστων ἀνδρῶν φιληθεῖσα. ἀκτὴν δὲ προέχουσαν
ἐς τὸν πόντον τούτων τῶν Γινδάνων νέμονται Λωτοφάγοι,
οἳ τὸν καρπὸν μοῦνον τοῦ λωτοῦ τρώγοντες ζώουσι. ὁ δὲ

Wüste wohnte, der nicht an der Karavanenstrasse lag."

C. 175. *ἔχονται:* nämlich *τῶν Νασαμώνων*. — *οἳ λόφους κείρονται:* die sich Schöpfe scheeren. — *ἀνιέντες:* zu I, 213. — *στρουθῶν καταγαίων:* Bezeichnung des Strausses bei H., da *στρουθός* ohne Zusatz in der Regel Sperling heisst; noch IV, 192. Statt *κατάγαιοι* steht bei Aelian N. A. 14, 13 *χερσαῖαι*, und 2, 27 *στροῦθος μεγάλη*. — *Κῖνυψ:* nach Heeren II, 1 S. 51 heutzutage Zenifes, Magro; nach Ritter S. 927 Cinifo oder Wadi Quaam, ein Gebirgsbach, der drei Stunden im Osten von Lebeda am Vorgebirge Mesurata (Cap Cephala) sich ins Meer ergiesst. — *ἐκ λόφου καλευμένου Χαρίτων:* über die ausserordentliche Fruchtbarkeit dieser ganzen Gegend vgl. IV, 198. — *ἴδῃσι:* zu I, 110. — *στάδιοι διηκόσιοί εἰσι:* Ritter a. a. O. "Diese Berghöhen (*ὁ λόφος ὁ Χαρίτων*) liegen durchaus nicht so wie die Landkarten sie der Küste ganz benachbart angeben, sondern ganz richtig nach Herodots Angabe, 200 Stadien von der Küste entfernt; sie sind heute noch wie zu Herodots Zeit durch ihre Bewaldung ausgezeichnet."

C. 176. *κατὰ τοιόνδε τι:* aus folgendem Grunde.

C. 177. *Λωτοφάγοι:* bewohnten dieselben Küsten, die, Malea gegenüber, den Odysseus aufnehmen mussten, als der Nordsturm ihn nach Libyen warf; vgl. Hom. Od. 9, 82 — 104. Heeren II, 1 S. 51: "Die Sitze der Lotophagen lassen sich nach H. sehr genau angeben; sie müssen recht die Mitte der Küste von Tripolis, ungefähr von der Insel Meninx, die auch von ihnen besetzt war, bis nach dem alten Leptis magna, bewohnt haben." — *τοῦ λωτοῦ:* der Rhamnus Lotus, verschieden von dem ägyptischen II, 92 erwähnten. — *τρώγοντες:*

τοῦ λωτοῦ καρπός ἐστι μέγαθος ὅσον τε τῆς σχίνου, γλυκύτητα δὲ τοῦ φοίνικος τῷ καρπῷ προσίκελος. ποιεῦνται δὲ ἐκ τοῦ καρποῦ τούτου οἱ Λωτοφάγοι καὶ οἶνον. Λωτο- 178
φάγων δὲ τὸ παρὰ θάλασσαν ἔχονται Μάχλυες, τῷ λωτῷ μὲν καὶ οὗτοι χρεώμενοι, ἀτὰρ ἔσσον γε τῶν πρότερον λεχθέντων. κατήκουσι δὲ ἐπὶ ποταμὸν μέγαν τῷ οὔνομα Τρίτων ἐστί· ἐκδιδοῖ δὲ οὗτος ἐς λίμνην μεγάλην Τριτωνίδα· ἐν δὲ αὐτῇ νῆσος ἔνι τῇ οὔνομα Φλά. ταύτην δὲ τὴν νῆσον Λακεδαιμονίοισί φασι λόγιον εἶναι κτίσαι. ἔστι δὲ καὶ ὅδε 179
λόγος λεγόμενος, Ἰήσονα, ἐπείτε οἱ ἐξεργάσθη ὑπὸ τῷ Πηλίῳ ἡ Ἀργώ, ἐσθέμενον ἐς αὐτὴν ἄλλην τε ἑκατόμβην καὶ δὴ καὶ τρίποδα χάλκεον περιπλώειν Πελοπόννησον, βουλόμενον ἐς Δελφοὺς ἀπικέσθαι· καί μιν, ὡς πλέοντα γενέσθαι κατὰ Μαλέην, ὑπολαβεῖν ἄνεμον βορῆν καὶ ἀποφέρειν πρὸς τὴν Λιβύην· πρὶν δὲ κατιδέσθαι γῆν, ἐν τοῖσι βράχεσι γενέσθαι λίμνης τῆς Τριτωνίδος. καί οἱ ἀπορέοντι τὴν ἐξαγωγὴν λόγος ἐστὶ φανῆναι Τρίτωνα, καὶ κελεύειν

zu II, 37. — *γλυκύτητα:* Hom. Od. 9, 94 *μελιηδέα καρπόν.* — *καὶ οἶνον*: Heeren a. a. O. "Noch jetzt dient seine Frucht nicht blos in diesen Gegenden, sondern bis ins Herz von Afrika, zur gewöhnlichen Nahrung, so wie auch noch gegenwärtig, wie im Alterthum, eine Art Wein oder Meth daraus gemacht wird."

C. 178. *κατήκουσι:* zu I, 148. — *ἐς λίμνην μεγάλην Τριτωνίδα*: Heeren II, 1 S. 35 Anm. "Aus Herodot IV, 179 erhellt, dass er den Tritons-See für einerlei oder in Verbindung stehend mit der kleinen Syrte hielt: vielleicht ist es der kleine Landsee, der Shikkah el Low-Deah heisst. Noch zu Skylax Zeiten stand dieser See mit der Syrte in Verbindung, jedoch nur durch einen schmalen Eingang, in dessen Mitte sich eine Insel befand, die, wie er hinzusetzt, indess nur bei der Ebbe vom Meer unbedeckt war, bei der Flut aber unter Wasser stand. Die Sandbank hat sich also seitdem erhöht, und so ist die Trennung des Sees von dem Meerbusen entstanden. Die Schwierigkeit bleibt nur immer, wo der Fluss des Tritons zu suchen sei. Will man den kleinen Fluss El Hammah darunter verstehen, so passt dies doch nicht mit der Angabe H.'s, der den Fluss einen grossen nennt. Allein die Erzählung H.'s C. 179 stammt vermuthlich aus einem Argonauten-Dichter her; sollte also etwa der Fluss des Tritons, wenn nicht sein Dasein, doch seine Grösse, nur der Phantasie eines solchen Dichters verdanken?" — *κτίσαι:* zu I, 149.

C. 179. *ὑπὸ τῷ Π.:* am Fuss des P. — *ὡς . . . γενέσθαι*: zu I, 24. — *Μαλέην:* die Pluralform I, 82. — *ὑπολαβεῖν:* zu I, 24. — *βράχεσι:* zu II, 102. — *ἀπορέοντι*

τὸν Ἰήσονα ἑωυτῷ δοῦναι τὸν τρίποδα, φάμενόν σφι καὶ τὸν πόρον δέξειν καὶ ἀπήμονας ἀποστελέειν. πειθομένου δὲ τοῦ Ἰήσονος, οὕτω δὴ τόν τε διέκπλοον τῶν βραχέων δεικνύναι τὸν Τρίτωνά σφι, καὶ τὸν τρίποδα θεῖναι ἐν τῷ ἑωυτοῦ ἱρῷ ἐπιθεσπίσαντά τε τῷ τρίποδι καὶ τοῖσι σὺν Ἰήσονι σημήναντα τὸν πάντα λόγον, ὡς ἐπεὰν τὸν τρίποδα κομίσηται τῶν τις ἐκγόνων τῶν ἐν τῇ Ἀργοῖ συμπλεόντων, τότε ἑκατὸν πόλιας οἰκῆσαι περὶ τὴν Τριτωνίδα λίμνην Ἑλληνίδας πᾶσαν εἶναι ἀνάγκην. ταῦτα ἀκούσαντας τοὺς ἐπιχωρίους τῶν Λιβύων κρύψαι τὸν τρίποδα.

180. Τούτων δὲ ἔχονται τῶν Μαχλύων Αὐσέες· οὗτοι δὲ καὶ οἱ Μάχλυες πέριξ τὴν Τριτωνίδα λίμνην οἰκέουσι, τὸ μέσον δέ σφι οὐρίζει ὁ Τρίτων. καὶ οἱ μὲν Μάχλυες τὰ ὀπίσω κομῶσι τῆς κεφαλῆς, οἱ δὲ Αὐσέες τὰ ἔμπροσθε. ὁρτῇ δὲ ἐνιαυσίῃ Ἀθηναίης αἱ παρθένοι αὐτῶν δίχα διαστᾶσαι μάχονται πρὸς ἀλλήλας λίθοισί τε καὶ ξύλοισι, τῷ αὐτιγενέι θεῷ λέγουσαι τὰ πάτρια ἀποτελέειν, τὴν Ἀθηναίην καλέομεν. τὰς δὲ ἀποθνησκούσας τῶν παρθένων ἐκ τῶν τρωμάτων ψευδοπαρθένους καλέουσι. πρὶν δ᾽ ἀνεῖναι αὐτὰς μάχεσθαι, τάδε ποιεῦσι· κοινῇ παρθένον τὴν καλλιστεύουσαν ἑκάστοτε κοσμήσαντες κυνῇ τε Κορινθίῃ καὶ πανοπλίῃ Ἑλληνικῇ καὶ ἐπ᾽ ἅρμα ἀναβιβάσαντες περιάγουσι τὴν λίμνην κύκλῳ. ὁτέοισι δὲ τὸ πάλαι ἐκόσμεον τὰς παρθένους πρὶν ἤ σφι Ἕλληνας παροικισθῆναι, οὐκ ἔχω εἶπαι, δοκέω δ᾽ ὦν Αἰγυπτίοισι ὅπλοισι κοσμέεσθαι αὐτάς· ἀπὸ γὰρ Αἰγύπτου καὶ τὴν ἀσπίδα καὶ τὸ κράνος φημὶ ἀπῖχθαι ἐς τοὺς Ἕλληνας. τὴν δὲ Ἀθηναίην φασὶ Ποσειδέωνος εἶναι θυγατέρα καὶ τῆς Τριτωνίδος λίμνης, καί μιν μεμφθεῖσάν τι τῷ πατρὶ δοῦναι ἑωυτὴν τῷ Διί,

τὴν ἐξαγωγήν: zu III, 4. — *ἀπήμονας*: als wenn nicht *τὸν Ἰήσονα* sondern *τοὺς σὺν Ἰήσονι* vorangestanden hätte. — *πόλιας*: es scheint natürlicher *πόλιας* als Object zu nehmen; das Subject bleibt unbestimmt; *οἰκῆσαι* heisst dann g r ü n d e n.

C. 180. *πέριξ*: zu IV, 15. — *αὐτιγενέι*: zu II, 17. — *ἀνεῖναι*: zu I, 213. — *ὁτέοισι*: w o m i t. — *τῆς Τριτωνίδος λ.*: daher *Τριτογένεια*. — *μεμφθεῖσαν*: zu III, 1. — *ἑωυτοῦ ... ποιήσασθαι*: h a b e s i e a d o p t i r t. — *ἐπίκοινον*: zu I, 216. — *ἀδρόν*: zu I, 17.

τὸν δὲ Δία ἑωυτοῦ μιν ποιήσασθαι θυγατέρα. ταῦτα μὲν λέγουσι, μῖξιν δὲ ἐπίκοινον τῶν γυναικῶν ποιέονται, οὔτε συνοικέοντες κτηνηδόν τε μισγόμενοι. ἐπεὰν δὲ γυναικὶ τὸ παιδίον ἁδρὸν γένηται, συμφοιτῶσι ἐς τὠυτὸ οἱ ἄνδρες τρίτου μηνός, καὶ τῷ ἂν οἴκῃ τῶν ἀνδρῶν τὸ παιδίον, τούτου παῖς νομίζεται.

Οὗτοι μὲν οἱ παραθαλάσσιοι τῶν νομάδων Λιβύων 181
εἰρέαται, ὑπὲρ δὲ τούτων ἐς μεσόγαιαν ἡ θηριώδης ἐστὶ Λιβύη, ὑπὲρ δὲ τῆς θηριώδεος ὀφρύη ψάμμης κατήκει, παρατείνουσα ἀπὸ Θηβέων τῶν Αἰγυπτιέων ἐπ' Ἡρακλέας στήλας. ἐν δὲ τῇ ὀφρύῃ ταύτῃ μάλιστα διὰ δέκα ἡμερέων ὁδοῦ ἁλός ἐστι τρύφεα κατὰ χόνδρους μεγάλους ἐν κολωνοῖσι, καὶ ἐν κορυφῇσι ἑκάστου τοῦ κολωνοῦ ἀνακοντίζει ἐκ μέσου τοῦ ἁλὸς ὕδωρ ψυχρὸν καὶ γλυκύ, περὶ δὲ αὐτὸ ἄνθρωποι οἰκέουσι ἔσχατοι πρὸς τῆς ἐρήμου καὶ ὑπὲρ τῆς θηριώδεος, πρῶτοι μὲν ἀπὸ Θηβέων διὰ δέκα ἡμερέων ὁδοῦ Αμμώ-

C. 181. οὗτοι μὲν ... εἰρέαται: also das Tell, oder derjenige grosse Bogen, welcher in einer Breite von mehreren Tagereisen die Meeresküste entlang die Berberei einsäumt. — ἡ θηριώδης: das thierreiche, der zweite der parallel laufenden Landgürtel, woraus sich H. Libyen bestehend denkt; die Araber bezeichnen ihn mit dem Namen Biledulgerid. — ὀφρύη ψάμμης: die Sandwüste. — κατήκει: zu I, 148. — παρατείνουσα: zu I, 180. — Ἡρακλέας στήλας: zu IV, 152. — ἐν δὲ τῇ ὀφρύῃ ... ἐν κολωνοῖσι: über diesen von H. von C. 181—185 beschriebenen Sandstrich bemerkt Heeren II, 1 S. 207: "Es ist beinahe unmöglich, in diesen Nachrichten die Beschreibung einer Karavanenstrasse zu verkennen.", und S. 209: "Herodots Nachrichten enthalten die Beschreibung des Handelswegs zwischen Oberägypten und Fezzan, so wie zwischen Karthago und diesen Ländern, wahrscheinlich aber auch noch weiter bis zu den Nigerländern.", und weiter: "Zwei Zwischenplätze sind ausgelassen, wahrscheinlich nicht durch die Nachlässigkeit des Schriftstellers, sondern der Reisenden, von denen er seine Nachrichten einzog. Diese suchten etwas darin, wie es scheint, der ganzen Strasse eine solche Regelmässigkeit zu geben, dass gerade alle zehn Tage ein Ruheplatz sich fand, der zugleich eine Merkwürdigkeit enthielt." — κατὰ χόνδρους: die Präposition wie I, 98. — ἀνακοντίζει: *intr.* schiesst, sprudelt hervor; noch Hom. Il. 5, 113. — Ἀμμώνιοι: zu II, 32. Zwischen Theben und Ammonium ist nach Heeren S. 218 die eine der beiden von H. ausgelassenen Stationen zu suchen. "Der Weg von Theben nach Ammonium muss nothwendig zuerst nach der grossen Oasis, El Wah, führen, wo die Natur selber eine ähnliche Station für die Karavanen gebildet hat. Dass über diese der gewöhnliche Weg nach Ammonium ging, ist selbst aus einer andern Stelle des Herodot klar

νιοι, ἔχοντες τὸ ἱρὸν ἀπὸ τοῦ Θηβαιέος Διός· καὶ γὰρ τὸ ἐν Θήβῃσι, ὡς καὶ πρότερον εἴρηταί μοι, κριοπρόσωπον τοῦ Διὸς τὤγαλμά ἐστι. τυγχάνει δὲ καὶ ἄλλο σφι ὕδωρ κρηναῖον ἐόν, τὸ τὸν μὲν ὄρθρον γίνεται χλιαρόν, ἀγορῆς δὲ πληθυούσης ψυχρότερον· μεσαμβρίη τέ ἐστι καὶ τὸ κάρτα γίνεται ψυχρόν· τηνικαῦτα δὲ ἄρδουσι τοὺς κήπους· ἀποκλινομένης δὲ τῆς ἡμέρης ὑπίεται τοῦ ψυχροῦ, ἐς ὃ δύεταί τε ὁ ἥλιος καὶ τὸ ὕδωρ γίνεται χλιαρόν· ἐπὶ δὲ μᾶλλον ἰὸν ἐς τὸ θερμὸν ἐς μέσας νύκτας πελάζει, τηνικαῦτα δὲ ζέει ἀμβολάδην· παρέρχονταί τε μέσαι νύκτες καὶ ψύχεται μέχρι ἐς ἠῶ. ἐπίκλησιν δὲ αὕτη ἡ κρήνη καλέεται ἡλίου.

(III, 26), wo er zugleich die Entfernung von Theben dahin auf sieben Tagereisen setzt." — *τὸ ἱρὸν ἀπὸ τοῦ Θηβαιέος Διός:* Heeren II, 1 S. 213: "Die Ruine des alten Tempels wird von den Einwohnern bald Birbé (Tempel), gewöhnlicher aber Umebeda genannt. Gross kann das Gebäude niemals gewesen sein, obgleich offenbar grösser als jetzt. Die Construction, so wie die ganze Form des Gebäudes stimmt mit der altägyptischen völlig überein. Die Mauern sind ganz aus Quadern aufgeführt. Der ganze Tempel war innen und aussen mit Bildwerken und Hieroglyphen bedeckt. Die Zwischenräume zwischen den Hieroglyphen auf den Wänden und an der Decke waren bemalt. Die Bildwerke zeigen allenthalben die Spuren des Ammoncultus, denen zu Theben ähnlich; selbst auch die Procession mit dem heiligen Schiff." — *καὶ γὰρ τὸ ἐν Θήβῃσι*: wenn man nicht annehmen will, dass das *τό* vor *ἐν Θήβῃσι*, so wie das *τό* vor *πρῶτον* oder vor *πρὸς ἑσπέρης* oder wie *τὸ ἀπὸ Ἴστρου* IV, 99 zu fassen ist, indem *ἐν Θήβῃσι* einer adverbialischen Bestimmung sinngleich ist, so scheint durch den eingeschobenen Satz *ὡς καὶ πρότερον εἴρηταί μοι* eine kleine Anacoluthie entstanden zu sein, indem H. eigentlich sagen wollte: *καὶ γὰρ τὸ ἐν Θήβῃσι Διὸς ἄγαλμα κριοπρόσωπόν ἐστι.*, aber durch den Zwischensatz unterbrochen, nimmt er das schon vorausgeschickte *τό* wieder auf und wiederholt es in *τὤγαλμα*. — *πρότερον*: nämlich II, 42. — *καὶ ἄλλο*: lässt schliessen ausser dem Sonnenquell auf noch ein anderes Wasser *ψυχρὸν καὶ γλυκὺ ἐκ μέσου ἁλὸς ἀνακοντίζον*. — *ἀγορῆς πληθυούσης*: zu II, 173. — *μεσαμβρίη τέ ἐστι καὶ* . . .: zu III, 76. — *ὑπίεται τοῦ ψυχροῦ*: zu I, 156. — *ἀμβολάδην*: Gloss. Her. *καθ' ὑπερβολήν*. Vgl. Hom. Il. 21, 364 vom kochenden Wasser, aufsprudelnd. — *ἐπίκλησιν . . . ἡλίου:* vgl. Curtius 4, 7, 22. Arrian Anab. 3, 4, 2. Heeren S. 215: "Südlich vom Tempel, in der Entfernung einer guten Viertelstunde, entspringt in einem Walde von Dattelbäumen der einst dem Ammon geheiligte Sonnenquell, welcher einen kleinen See bildet. Seine Länge beträgt etwa 30, die Breite 20 Schritte. Er soll sechs Klafter tief sein; ist aber so klar, dass man bis auf den Grund sieht, aus welchem stets eine Menge Blasen wie aus einem siedenden Kessel aufsteigen. Die Temperatur

Μετὰ δὲ Ἀμμωνίους, διὰ τῆς ὀφρύης τῆς ψάμμου δι' 182
ἀλλέων δέκα ἡμερέων ὁδοῦ, κολωνός τε ἁλός ἐστι ὅμοιος
τῷ Ἀμμωνίῳ καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέ-
ουσι· τῷ δὲ χώρῳ τούτῳ οὔνομα Αὔγιλά ἐστι. ἐς τοῦτον
τὸν χῶρον οἱ Νασαμῶνες ὀπωριεῦντες τοὺς φοίνικας φοι-
τῶσι. ἀπὸ δὲ Αὐγίλων διὰ δέκα ἡμερέων ἀλλέων ὁδοῦ 183
ἕτερος ἁλὸς κολωνὸς καὶ ὕδωρ καὶ φοίνικες καρποφόροι
πολλοί, κατά περ καὶ ἐν τοῖσι ἑτέροισι· καὶ ἄνθρωποι
οἰκέουσι ἐν αὐτῷ τοῖσι οὔνομα Γαράμαντές ἐστι, ἔθνος

des Wassers wechselt, es ist des Nachts wärmer als am Tage; wahrscheinlich ist es eine warme Quelle, deren natürliche Temperatur man am Tage wegen der glühenden Sonnenhitze nicht wahrnimmt." Neuere Reisende (bei Mützell zu Curtius I, S. 272) geben den Temperaturwechsel so an: Abends 60 Gr., Mitternachts 100 Gr., Morgens 80 Gr., Mittags 40 Gr.

C. 182. *Αὔγιλα*: Heeren S. 221: "Augila ist ein bekannter Name in der alten wie in der neuen Geographie; es ist auch jetzt die Hauptstadt eines Distrikts, der noch zwei andere Ortschaften umfasst. Der Ort verdankt seinen Ruf nicht der Grösse oder irgend einer andern Merkwürdigkeit, sondern der durchreisenden Karavanen, die ihn noch gegenwärtig auf ihrem Zuge aus dem westlichen Afrika nach Kairo berühren, und dort einen Ruheplatz haben. Noch jetzt widmet sich ein Theil der Einwohner blos den Karavanenreisen. Ausserdem aber war es ein Hauptplatz des Dattelnhandels, die hier von jeher, so wie noch gegenwärtig, von vorzüglicher Güte und in grosser Menge sich fanden." — *οἱ Νασαμῶνες ὀπωριεῦντες τοὺς φοίνικας*: vgl. IV, 172.

C. 183. *Γαράμαντες*: Heeren II, 1 S. 223: "Der Name der Garamanten ist einer der umfassendsten bei den alten Geographen, und bezeichnet ein weit verbreitetes Volk des innern Afrika's, von dem Dattellande bis zum Niger, und östlich bis nach Aethiopien. Es kommt aber darauf an zu bestimmen, wo diese Garamanten des Herodot sind." Als ihren Sitz bezeichnet Heeren das jetzige Fezzan. Da aber Fezzan nicht etwa eine beschränkte Oase ist, sondern eine Landschaft von fast 80 Meilen in der Länge von Norden nach Süden, und 30 bis 40 Meilen in der Breite, so entsteht zuerst die Frage, wo die Station zu suchen sei, von der H. spricht. Heeren findet sie unweit der Ostgränze des Landes in der Stadt Zuila und deren Umgegend, wo auch noch jetzt die Ruhestätte der von Aegypten und von Sudan kommenden Karavanen ist. Allein da die Entfernung von Augila bis Fezzan zu gross ist, als dass die Reise in 10 Tagen gemacht werden könnte, ja die arabischen Geographen die Entfernung von Zuila bis Augila 20 Tagereisen rechnen, so ist hier wieder derselbe Fall wie bei der Entfernung zwischen Theben und Ammonium (vgl. C. 181), dass sie nämlich das Doppelte von der Angabe des H. beträgt. Daher muss hier wiederum die Vermuthung entstehen, dass eine Station in der Mitte ausgelassen sei, die Heeren in dem Orte Zala zu finden glaubt, den die arabischen Geographen in die Mitte des Weges zwischen Augila u. Zuila, 10 Tage-

μέγα ἰσχυρῶς, οἳ ἐπὶ τὸν ἅλα γῆν ἐπιφορέοντες οὕτω σπείρουσι. συντομώτατον δ᾽ ἐστὶ ἐς τοὺς Λωτοφάγους, ἐκ τῶν τριήκοντα ἡμερέων ἐς αὐτοὺς ὁδός ἐστι. ἐν τοῖσι καὶ οἱ ὀπισθονόμοι βόες γίνονται. ὀπισθονόμοι δὲ διὰ τόδε εἰσί· τὰ κέρεα ἔχουσι κεκυφότα ἐς τὸ ἔμπροσθε. διὰ τοῦτο ὀπίσω ἀναχωρέοντες νέμονται· ἐς γὰρ τὸ ἔμπροσθε οὐκ οἷοί τέ εἰσι προεμβαλλόντων ἐς τὴν γῆν τῶν κερέων. ἄλλο δὲ οὐδὲν διαφέρουσι τῶν ἄλλων βοῶν ὅτι μὴ τοῦτο, καὶ τὸ δέρμα ἐς παχύτητά τε καὶ τρῖψιν. οἱ Γαράμαντες δὲ οὗτοι τοὺς τρωγλοδύτας Αἰθίοπας θηρεύουσι τοῖσι τεθρίπποισι· οἱ γὰρ τρωγλοδύται Αἰθίοπες πόδας τάχιστοι ἀνθρώπων πάντων εἰσὶ τῶν ἡμεῖς πέρι λόγους ἀποφερομέ-

reissen von jedem, setzen. — *ἐπὶ τὸν ἅλα γῆν ἐπιφορέοντες*: Heeren S. 229: "Fezzan hat einen sandigen und unfruchtbaren Boden; nur durch Hülfe des Düngers zwingt man ihm einige Fruchtbarkeit ab; dass das Salz die Stelle desselben vertreten kann, ist keinem Zweifel unterworfen. Wollte man dennoch H.'s Nachricht bezweifeln, so bietet sich noch eine andere Auflösung dar. Fezzan ist sehr reich an weissem Thon. Um den Sand urbar zu machen, wird der Sand mit diesem gemischt, wie bei uns mit dem Mergel. Wie leicht dieser weisse Thon von Unkundigen mit Salz verwechselt werden konnte, fällt in die Augen." — *συντομώτατον . . . ὁδός ἐστι*: *brevissima ab his via ad L., a quibus iter est triginta dierum ad illos.* Auch jetzt noch gebrauchen nach den englischen Berichten die Karavanen 30 Tage, um den Weg von Tripolis nach Zuila zurückzulegen. — *ἐν τοῖσι*: geht auf *αὐτούς*, und dies auf die Garamanten. — *οἱ ὀπισθονόμοι βόες*: dergleichen finden sich jetzt nicht. Heeren S. 230: "Die Hirtenvölker von Afrika beschäftigen sich oft damit, den Hörnern ihres Rindviehs durch Biegen künstliche Formen zu geben; vielleicht war dies auch hier der Fall, und diese frühere Vermuthung hat sich seitdem durch die Monumente bestätigt. Auf einem grossen Relief erscheinen zwei Paar Stiere mit Hörnern von einer Gestalt, die nicht die Natur, sondern nur die Kunst ihnen geben konnte; denn das eine ist gerade vorwärts, das andere rücklings gebogen. Ob es nur eine Spielerei war, vielleicht um sie rücklings weidend zu machen, oder ob sie etwa in den Kriegen gebraucht wurden, und zum Angriff dadurch geschickter sein sollten, muss ich unentschieden lassen." — *ὀπίσω ἀναχωρέοντες*: wie III, 16. — *οἷοί τέ εἰσι*: nämlich *νέμεσθαι*. — *διαφέρουσι*: zu I, 85. — *ὅτι μή*: zu I, 18. — *τοὺς τρωγλοδύτας Αἰθίοπας θηρεύουσι*: Heeren S. 231: "Diese Aethioper scheinen ein Negervolk gewesen zu sein, das in benachbarten Gebirgen in Höhlen wohnte, und von den Garamanten geraubt wurde, um sie als Sklaven zu verkaufen. Diese Menschenjagden sind hier heutzutage so wenig ausser Gebrauch gekommen, dass der Sultan von Fezzan sie noch jetzt, wenn auch nicht mit Viergespannen (*τεθρίπποισι*), doch mit Reiterei und Fussvolk, ja sogar jetzt jährlich, anstellen lässt." —

νους ἀκούομεν. σιτέονται δὲ οἱ τρωγλοδύται ὄφις καὶ σαύρους καὶ τὰ τοιαῦτα τῶν ἑρπετῶν· γλῶσσαν δὲ οὐδεμιῇ ἄλλῃ παρομοίην νενομίκασι, ἀλλὰ τετρίγασι κατά περ αἱ νυκτερίδες.

Ἀπὸ δὲ Γαραμάντων δι' ἀλλέων δέκα ἡμερέων ὁδοῦ ἄλλος ἁλός τε κολωνὸς καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν 184 *οἰκέουσι τοῖσι οὔνομά ἐστι Ἀτάραντες, οἳ ἀνώνυμοί εἰσι μοῦνοι ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν· ἁλέσι μὲν γάρ σφί ἐστι Ἀτάραντες οὔνομα, ἑνὶ δὲ ἑκάστῳ αὐτέων οὔνομα οὐδὲν κέεται. οὗτοι τῷ ἡλίῳ ὑπερβάλλοντι καταρῶνται καὶ πρὸς τούτοισι πάντα τὰ αἰσχρὰ λοιδορέονται, ὅτι σφέας καίων ἐπιτρίβει, αὐτούς τε τοὺς ἀνθρώπους καὶ τὴν χώρην αὐτέων. μετὰ δὲ δι' ἀλλέων δέκα ἡμερέων ὁδοῦ ἄλλος κολωνὸς ἁλὸς καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι. ἔχεται δὲ τοῦ ἁλὸς τούτου οὖρος τῷ οὔνομά ἐστι Ἄτλας· ἔστι δὲ στεινὸν καὶ κυκλοτερὲς πάντῃ, ὑψηλὸν δὲ οὕτω δή τι λέγεται ὡς τὰς κορυφὰς αὐτοῦ οὐκ οἷά τε εἶναι ἰδέσθαι· οὐδέκοτε γὰρ αὐτὰς ἀπολείπειν νέφεα οὔτε θέρεος οὔτε*

τετρίγασι: zu III, 110. Heeren S. 232: "Wenn die Augilaer von jenen Stämmen sprechen, berichtet ein Reisender, sagen sie, dass ihre Sprache dem Zwitschern der Vögel ähnlich sei."

C. 184. **Ἀτάραντες:** die beiden letzten Stationen sind nach Heeren S. 239 in südlicher Richtung von Zuila aus auf der grossen Strasse nach Bornu und Sudan zu suchen, ob sie sich gleich H. in westlicher gedacht haben mag. Die Ataranten findet er in der Gegend von Tegerry, der südlichen Gränzstadt von Fezzan unter 24° 4' N. B.; hier hört schon das Arabische auf, und die Bornu-Sprache tritt an dessen Stelle. — **οἳ ἀνώνυμοι ... κέεται:** Heeren S. 240: "Gerade dasselbe erzählt Leo von Afrika von den Bewohnern von Bornu, südöstlich von Fezzan, indem er uns zugleich den Schlüssel zu diesem Räthsel giebt. Ein Kaufmann, sagt er, der aus dem Reiche Bornu kam und lange unter diesem Volke lebte, erzählte mir, dass es dort keine eigene Namen gebe. Alle nämlich nennten sich von ihrer Länge, Dicke, oder andern zufälligen Eigenschaften, und hätten also blosse Beinamen. — In wiefern diese Erzählung wahr sei oder nicht, ist hier eine gleichgültige Frage; sie beweist aber immer, dass eine solche Sage, wie H. sie von seinen Ataranten anführt, noch in Leo's Zeitalter in Afrika lebte, und zwar von einem Volke, das innerhalb der Gränzen des sehr ausgedehnten Reichs Bornu wohnte." — **ἁλέσι:** zu I, 133. — **ἄνθρωποι:** zu suchen nach Heeren in Bilma, dem Hauptorte der Tibbos; nach Anderen dagegen in der Nähe des hohen Atlas. — **πάντῃ:** zu II, 78. — **οὕτω δή τι:**

χειμῶνος. τοῦτον κίονα τοῦ οὐρανοῦ λέγουσι οἱ ἐπιχώριοι εἶναι. ἐπὶ τούτου τοῦ οὔρεος οἱ ἄνθρωποι οὗτοι ἐπώνυμοι ἐγένοντο· καλέονται γὰρ Ἄτλαντες. λέγονται δὲ οὔτε ἔμψυχον οὐδὲν σιτέεσθαι οὔτε ἐνύπνια ὁρᾶν.

185 Μέχρι μὲν δὴ τῶν Ἀτλάντων τούτων ἔχω τὰ οὐνόματα τῶν ἐν τῇ ὀφρύῃ κατοικημένων καταλέξαι, τὸ δ' ἀπὸ τούτων οὐκέτι. διήκει δ' ὦν ἡ ὀφρύη μέχρι Ἡρακλέων στηλέων καὶ τὸ ἔξω τουτέων. ἔστι δὲ ἁλός τε μέταλλον ἐν αὐτῇ διὰ δέκα ἡμερέων ὁδοῦ. καὶ ἄνθρωποι οἰκέοντες. τὰ δὲ οἰκία τούτοισι πᾶσι ἐκ τῶν ἁλίνων χόνδρων οἰκοδομέαται. ταῦτα γὰρ ἤδη τῆς Λιβύης ἄνομβρά ἐστι· οὐ γὰρ ἂν ἐδυνέατο μένειν οἱ τοῖχοι ἐόντες ἅλινοι, εἰ ὗε. ὁ δὲ ἅλς αὐτόθι καὶ λευκὸς καὶ πορφύρεος τὸ εἶδος ὀρύσσεται. ὑπὲρ δὲ τῆς ὀφρύης ταύτης, τὸ πρὸς νότον καὶ μεσόγαιαν τῆς Λιβύης, ἐρῆμος καὶ ἄνυδρος καὶ ἄθηρος καὶ ἄνομβρος καὶ ἄξυλός ἐστι ἡ χώρη, καὶ ἰκμάδος ἐστὶ ἐν αὐτῇ οὐδέν.

186 Οὕτω μὲν μέχρι τῆς Τριτωνίδος λίμνης ἀπ' Αἰγύπτου νομάδες εἰσὶ κρεοφάγοι τε καὶ γαλακτοπόται Λίβυες, καὶ θηλέων τε βοῶν οὔτι γευόμενοι, διότι περ οὐδὲ Αἰγύπτιοι, καὶ ὗς οὐ τρέφοντες. βοῶν μέν νυν θηλέων οὐδ' αἱ Κυρηναίων γυναῖκες δικαιεῦσι πατέεσθαι διὰ τὴν ἐν Αἰγύπτῳ Ἶσιν, ἀλλὰ καὶ νηστείας αὐτῇ καὶ ὁρτὰς ἐπιτελέουσι· αἱ δὲ

zu IV, 52. — *κίονα τοῦ οὐρανοῦ*: Ritter I S. 894: "Merkwürdig ist die geringe Breite der hohen Atlaskette, deren schmales (*στεινόν*) Bergjoch, seitwärts gesehen, den alten Küstenfahrern wie eine einzeln stehende luftige Himmelsstütze erschien." — *ἐπὶ τούτου τοῦ . . .*: zu I, 14. — *ἐπώνυμοι*: zu II, 112.

C. 185. *μέχρι Ἡρακλ. . . τουτέων*: d. h. bis an, ja über den Meridian, der durch die Strasse von Gibraltar geht. Sonst zu IV, 152. — *ἁλὸς μέταλλον*: Salzbergwerk. — *ἔστι δὲ . . . οὐδέν*: Heeren S. 245: "Man glaubt diese Nachrichten fast wörtlich in der Beschreibung wiederzufinden, die uns Leo von Afrika von den grossen Salzgruben zu Tegasa im Innern jener Wüste giebt, wo er selber drei Tage sich aufhielt. Sie finden sich nach seinem Bericht an der südöstlichen Gränze der Wüste Zanhaga, sind aber dennoch gegen zwanzig Tagereisen von Tombuktu entfernt. Aus diesen Gruben von weissem und farbigem Salze werden die westlichen Negerstaaten am Niger mit diesem Bedürfniss versorgt." — *ἐρῆμος . . . χώρη*: die Einöde.

C. 186. Hier wird die C. 181 bei Gelegenheit der Darstellung der in der Sandwüste zerstreuten Oasen unterbrochene Erzählung wieder aufgenommen. — *τῆς Τριτ. λίμνης*:

τῶν Βαρκαίων γυναῖκες οὐδὲ ὑῶν πρὸς τῇσι βουσὶ γεύονται. ταῦτα μὲν δὴ οὕτω ἔχει, τὸ δὲ πρὸς ἑσπέρης τῆς Τρι- 187
τωνίδος λίμνης οὐκέτι νομάδες εἰσὶ Λίβυες, οὐδὲ νόμοισι τοῖσι αὐτοῖσι χρεώμενοι, οὐδὲ κατὰ τὰ παιδία ποιεῦντες οἷόν τι καὶ οἱ νομάδες ἐώθασι ποιέειν. οἱ γὰρ δὴ τῶν Λιβύων νομάδες, εἰ μὲν πάντες, οὐκ ἔχω ἀτρεκέως τοῦτο εἶπαι, ποιεῦσι δὲ αὐτῶν συχνοὶ τοιάδε· τῶν παιδίων τῶν σφετέρων, ἐπεὰν τετραέτεα γένηται, οἴσπῃ προβάτων καίουσι τὰς ἐν τῇσι κορυφῇσι φλέβας, μετεξέτεροι δὲ αὐτέων τὰς ἐν τοῖσι κροτάφοισι, τοῦδε εἵνεκα ὡς μή σφεας ἐς τὸν πάντα χρόνον καταρρέον φλέγμα ἐκ τῆς κεφαλῆς δηλῆται. καὶ διὰ τοῦτό σφεας λέγουσι εἶναι ὑγιηροτάτους. εἰσὶ γὰρ ὡς ἀληθέως Λίβυες ἀνθρώπων πάντων ὑγιηρότατοι τῶν ἡμεῖς ἴδμεν· εἰ μὲν διὰ τοῦτο, οὐκ ἔχω ἀτρεκέως εἶπαι, ὑγιηρότατοι δ᾽ ὦν εἰσί. ἢν δὲ καίουσι τὰ παιδία σπασμὸς ἐπιγένηται, ἐξεύρηταί σφι ἄκος· τράγου οὖρον σπείσαντες ῥύονταί σφεας. λέγω δὲ τὰ λέγουσι αὐτοὶ Λίβυες. θυσίαι 188
δὲ τοῖσι νομάσι εἰσὶ αἵδε· ἐπεὰν τοῦ ὠτὸς ἀπάρξωνται τοῦ κτήνεος, ῥιπτέουσι ὑπὲρ τὸν δόμον, τοῦτο δὲ ποιήσαντες ἀποστρέφουσι τὸν αὐχένα αὐτοῦ. θύουσι δὲ ἡλίῳ καὶ σελήνῃ μούνοισι. τούτοισι μέν νυν πάντες Λίβυες θύουσι, ἀτὰρ οἱ περὶ τὴν Τριτωνίδα λίμνην νέμοντες τῇ Ἀθηναίῃ μάλιστα, μετὰ δὲ τῷ Τρίτωνι καὶ τῷ Ποσειδέωνι. τὴν δὲ 189
ἄρα ἐσθῆτα καὶ τὰς αἰγίδας τῶν ἀγαλμάτων τῆς Ἀθηναίης ἐκ τῶν Λιβυσσέων ἐποιήσαντο οἱ Ἕλληνες· πλὴν γὰρ ἢ ὅτι σκυτίνη ἡ ἐσθὴς τῶν Λιβυσσέων ἐστὶ καὶ οἱ θύσανοι οἱ ἐκ τῶν αἰγίδων αὐτῇσι οὐκ ὄφιές εἰσι ἀλλ᾽ ἱμάντινοι, τὰ δὲ ἄλλα πάντα κατὰ τὠυτὸ ἔσταλται. καὶ δὴ καὶ τοὔνομα

zu IV, 178. — *διότι περ*: *ob causam propter quam*; über die Sache vgl. II, 41 u. 47. — *αὐτῇ*: ihr zu Ehren.

C. 187. *τὸ δὲ πρὸς ἑσπέρης τῆς Τριτωνίδος*: wiederaufgenommen C. 191, nachdem dazwischen die Darstellung der Sitten und Gebräuche der nomadischen Libyer eingeschoben ist. — *δ᾽ ὦν*: zu III, 80.

C. 188. *τοῦ ὠτός*: *gen. part.*, ein Stück vom Ohr. — *ἀπάρξωνται*: zu III, 24. — *οἱ περὶ τὴν . . . Ποσειδέωνι*: vgl. IV, 178 u. 180, und über Poseidon noch II, 50.

C. 189. *αἰγίδας*: Harnische von Ziegenfellen. — *τὰ δὲ ἄλλα*: wie I, 112. — *ἔσταλται*: Subject die Athene, was dem Schriftsteller von *τῶν ἀγαλμάτων*

κατηγορέει ὅτι ἐκ Λιβύης ἥκει ἡ στολὴ τῶν Παλλαδίων· αἰγέας γὰρ περιβάλλονται ψιλὰς περὶ τὴν ἐσθῆτα θυσανωτὰς αἱ Λίβυσσαι, κεχριμένας ἐρευθεδάνῳ, ἐκ δὲ τῶν αἰγέων τουτέων αἰγίδας οἱ Ἕλληνες μετουνόμασαν. δοκέει δ' ἔμοιγε καὶ ἡ ὀλολυγὴ ἐπ' ἱροῖσι ἐνθαῦτα πρῶτον γενέσθαι· κάρτα γὰρ ταύτῃ χρέωνται αἱ Λίβυσσαι, καὶ χρέωνται καλῶς. καὶ τέσσερας ἵππους συζευγνύναι παρὰ Λιβύων οἱ

190 Ἕλληνες μεμαθήκασι. θάπτουσι δὲ τοὺς ἀποθνήσκοντας οἱ νομάδες κατά περ οἱ Ἕλληνες, πλὴν Νασαμώνων· οὗτοι δὲ κατημένους θάπτουσι, φυλάσσοντες, ἐπεὰν ἀπίῃ τὴν ψυχήν, ὅκως μιν κατίσουσι μηδὲ ὕπτιος ἀποθανέεται. οἰκήματα δὲ σύμπηκτα ἐξ ἀνθερίκων ἐνερμένων περὶ σχοίνους ἐστί, καὶ ταῦτα περιφορητά. νόμοισι μὲν τοιούτοισι οὗτοι χρέωνται.

191 Τὸ δὲ πρὸς ἑσπέρης τοῦ Τρίτωνος ποταμοῦ Αὐσέων ἔχονται ἀροτῆρες ἤδη Λίβυες καὶ οἰκίας νομίζοντες ἐκτῆσθαι, τοῖσι οὔνομα κέεται Μάξυες· οἳ τὰ ἐπὶ δεξιὰ τῶν κεφαλέων κομῶσι τὰ δ' ἐπ' ἀριστερὰ κείρουσι, τὸ δὲ σῶμα μίλτῳ χρίονται. φασὶ δὲ οὗτοι εἶναι τῶν ἐκ Τροίης ἀνδρῶν. ἡ δὲ χώρη αὕτη τε καὶ ἡ λοιπὴ τῆς Λιβύης ἡ πρὸς ἑσπέρην πολλῷ θηριωδεστέρη τε καὶ δασυτέρη ἐστὶ τῆς τῶν νομάδων χώρης. ἡ μὲν γὰρ δὴ πρὸς τὴν ἠῶ τῆς

τῆς Ἀθηναίης noch vorschwebt. — ἡ στολή: zu I, 80. — περιβάλλονται: zu III, 71. — μετουνόμασαν: *denominarunt*.

C. 190. *Νασαμώνων*: vgl. IV, 172. — *φυλάσσοντες*: wie I, 48. — *ἀπίῃ*: nämlich ὁ ἀποθνήσκων, also wie II, 38. — *ἐνερμένων*: von ἐνείρειν einreihen, *interserere*.

C. 191. *Αὐσέων*: vgl. IV, 180. — *Μάξυες*: Heeren II, 1 S. 36 Anm.: "Wahrscheinlich sind diese Maxyes dieselben, die beim Justin 18, 6 Maxytani heissen, und deren König Hiarbas gewesen sein soll, der die Dido zur Ehe verlangte." — *ἐπὶ δεξιά* und *ἐπ' ἀριστερά*: zu I, 50. — *τὸ δὲ σῶμα ... χρίονται*: Heeren S. 36: "In dem Wenigen, was H. von den Maxyes sagt, erkennt man deutlich ein Volk, das noch nicht lange zu seiner neuen Lebensart übergegangen war. Das Färben der Körper wird bei andern Nomaden ausdrücklich von ihm angeführt (vgl. Cap. 180); und das Scheeren des Haars war ein Abzeichen des Stammes, je nachdem es auf verschiedene Weise und an verschiedenen Seiten des Kopfs geschah. Bei den benachbarten nomadischen Stämmen bemerkt H. jedesmal ausdrücklich, wie sie das Haar sich schoren; und Ueberbleibsel dieser Sitte scheinen sich noch bei ihren Nachkommen, den jetzigen Tuariks, erhalten zu haben." —

Λιβύης, τὴν οἱ νομάδες νέμουσι, ἐστὶ ταπεινή τε καὶ ψαμμώδης μέχρι τοῦ Τρίτωνος ποταμοῦ, ἡ δὲ ἀπὸ τούτου τὸ πρὸς ἑσπέρης, ἡ τῶν ἀροτήρων, ὀρεινή τε κάρτα καὶ δασέα καὶ θηριώδης· καὶ γὰρ οἱ ὄφιες οἱ ὑπερμεγάθεες καὶ οἱ λέοντες κατὰ τούτους εἰσὶ καὶ οἱ ἐλέφαντές τε καὶ ἄρκτοι καὶ ἀσπίδες τε καὶ ὄνοι οἱ τὰ κέρεα ἔχοντες καὶ οἱ κυνοκέφαλοι καὶ οἱ ἀκέφαλοι οἱ ἐν τοῖσι στήθεσι τοὺς ὀφθαλμοὺς ἔχοντες, ὡς δὴ λέγονταί γε ὑπὸ Λιβύων, καὶ οἱ ἄγριοι ἄνδρες καὶ γυναῖκες ἄγριαι καὶ ἄλλα πλήθεϊ πολλὰ θηρία καταψευστά. κατὰ τοὺς νομάδας δέ ἐστι τουτέων οὐδέν, 192
ἀλλ' ἄλλα τοιάδε, πύγαργοι καὶ ζορκάδες καὶ βουβάλιες καὶ ὄνοι, οὐκ οἱ τὰ κέρεα ἔχοντες ἀλλ' ἄλλοι ἄποτοι (οὐ γὰρ δὴ πίνουσι), καὶ ὄρυες, τῶν τὰ κέρεα τοῖσι φοίνιξι οἱ πήχεες ποιεῦνται (μέγαθος δὲ τὸ θηρίον τοῦτο κατὰ βοῦν ἐστί), καὶ βασσάρια καὶ ὕαιναι καὶ ὕστριχες καὶ κριοὶ ἄγριοι καὶ δίκτυες καὶ θῶες καὶ πάνθηρες καὶ βόρυες, καὶ κροκόδειλοι ὅσον τε τριπήχεες χερσαῖοι, τῇσι σαύρῃσι ἐμφερέστατοι, καὶ στρουθοὶ κατάγαιοι, καὶ ὄφιες μικροί, κέρας ἓν ἕκαστος ἔχοντες. ταῦτά τε δὴ αὐτόθι ἐστὶ θηρία, καὶ τά περ τῇ ἄλλῃ, πλὴν ἐλάφου τε καὶ ὑὸς ἀγρίου· ἔλαφος δὲ καὶ ὗς ἄγριος ἐν Λιβύῃ πάμπαν οὐκ ἔστι. μυῶν δὲ γένεα τριξὰ αὐτόθι ἐστί· οἱ μὲν δίποδες καλέονται, οἱ δὲ ζεγέριες (τὸ δὲ οὔνομα τοῦτο ἔστι μὲν Λιβυκόν, δύναται δὲ κατ' Ἑλλάδα γλῶσσαν βουνοί), οἱ δὲ ἐχινέες. εἰσὶ δὲ καὶ γαλαῖ ἐν τῷ σιλφίῳ γινόμεναι, τῇσι Ταρτησσίῃσι ὁμοιόταται. τοσαῦτα μέν νυν θηρία ἡ τῶν νομάδων Λιβύων γῆ

τῶν ἐκ Τροίης ἀνδρῶν: wie die Antenoriden von Kyrene. — *κατὰ τούτους*: nämlich *τοὺς ἀροτῆρας*. — *πλήθεϊ πολλά*: wie *μεγάθεϊ μεγάλους* I, 51.

C. 192. *τῶν τὰ κέρεα . . . ποιεῦνται*: deren Hörner zu Griffen verarbeitet werden. An dem Plural im Verbum ist kein Anstoss zu nehmen, denn nicht selten richtet sich das Verbum nach dem Prädicat, wie Thuc. 4, 102, 2 *οἱ Ἀθηναῖοι ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο*. — *φοίνιξ* ist hier ein von den Phöniciern erfundenes Saiteninstrument; und *πήχεες* sind die beiden gebogenen Enden oder Griffe, zwischen denen wie zwischen zwei Armen ein Querholz, der Steeg, *ζυγόν*, angebracht ist. — *κατὰ βοῦν*: wie I, 98. — *στρουθοὶ κατάγ.*: zu IV, 175. — *τριξά*: zu I, 171. — *δύναται*: zu II, 30. — *τῷ σιλφίῳ*: zu IV, 169. — *Ταρτησσίῃσι*: Adjectiv von

ἔχει, ὅσον ἡμεῖς ἱστορέοντες ἐπὶ μακρότατον οἷοί τε ἐγενόμεθα ἐξικέσθαι.

193 Μαξύων δὲ Λιβύων Ζαύηκες ἔχονται, τοῖσι αἱ γυναῖ-
194 κες ἡνιοχεῦσι τὰ ἅρματα ἐς τὸν πόλεμον. τούτων δὲ Γύζαντες ἔχονται, ἐν τοῖσι μέλι πολλὸν μὲν μέλισσαι κατεργάζονται, πολλῷ δ' ἔτι πλέον λέγεται δημιουργοὺς ἄνδρας ποιέειν. μιλτοῦνται δ' ὦν πάντες οὗτοι καὶ πιθηκοφαγέουσι· οἱ δέ σφι ἄφθονοι ὅσοι ἐν τοῖσι οὔρεσι γίνονται.
195 κατὰ τούτους δὲ λέγουσι Καρχηδόνιοι κέεσθαι νῆσον τῇ οὔνομα εἶναι Κύραυνιν, μῆκος μὲν διηκοσίων σταδίων, πλάτος δὲ στεινήν, διαβατὸν ἐκ τῆς ἠπείρου, ἐλαιέων τε μεστὴν καὶ ἀμπέλων. λίμνην δὲ ἐν αὐτῇ εἶναι, ἐκ τῆς αἱ παρθένοι τῶν ἐπιχωρίων πτεροῖσι ὀρνίθων κεχριμένοισι πίσσῃ ἐκ τῆς ἰλύος ψῆγμα ἀναφέρουσι χρυσοῦ. ταῦτα εἰ μὲν ἔστι ἀληθέως οὐκ οἶδα, τὰ δὲ λέγεται γράφω· εἴη δ' ἂν πᾶν, ὅκου καὶ ἐν Ζακύνθῳ ἐκ λίμνης καὶ ὕδατος πίσσαν ἀναφερομένην αὐτὸς ἐγὼ ὥρων. εἰσὶ μὲν καὶ πλεῦνες αἱ λίμναι αὐτόθι, ἡ δ' ὦν μεγίστη αὐτέων ἑβδομήκοντα

Ταρτησσός: zu I, 163. — *ὅσον ἡμεῖς . . . ἐξικέσθαι*: zu I, 171. — *ἐπὶ μακρότατον*: zu II, 29.

C. 193. *Ζαύηκες*: nach Castiglioni die jetzigen Zeouagha, welche in der Gegend von Fez wohnen.

C. 194. *Γύζαντες*: auch *Βύζαντες* genannt. — *μέλι μὲν πολλόν*: Heeren II, 1 S. 39: "Ueber die Menge des Bienenhonigs in jenen Gegenden haben wir genauere Nachrichten. Die Spalten in den Bergen sind voll von wilden Bienenschwärmen, deren Honig nicht nur zur eigenen Nahrung dient, sondern auch noch jetzt einen bedeutenden Handelsartikel bildet. Der künstliche Honig ist derjenige, der aus dem Safte der Palmen gemacht wird; gerade in diesen Gegenden ist noch jetzt der Gebrauch desselben am stärksten." — *δημιουργοὺς ἄνδρας*: kunstverständige Leute. — *πιθηκοφαγέουσι*: Heeren a. a. O.: "Die Menge der Affen war dort so gross, dass nach Diodor 20, 58 drei Ortschaften darnach den Namen der Affenstädte (*Πιθηκοῦσσαι*) trugen, in denen die Affen mit den Einwohnern in ihren Häusern lebten." — *οἱ δέ*: nämlich *πίθηκοι*. — *ἄφθονοι ὅσοι*: zu III, 113. — *ἐν τοῖσι οὔρεσι*: sind nach Heeren Zweige des Atlas, die auch auf unseren neuen Karten bemerkt sind, aber keine eigenen Namen tragen.

C. 195. *Κύραυνιν*: Cercina oder Cercinna in der grossen Syrte, nicht weit vom Festlande, mit welchem sie durch eine Brücke verbunden war, jetzt Querkyness. — *εἴη δ' ἂν πᾶν*: Vermuthung des Schriftstellers, wie I, 70. — *ὅκου*: causal, wie I, 68. — *πίσσαν ἀναφερομένην*: Kruse Hellas II, 2 S. 427: "Diese Asphaltquellen existiren noch heutigen Tages und gewähren eine Ausbeute von 80 bis 100 Schläuchen, jeden von 150 Pfd. Die Quellen finden sich im südwest-

ποδῶν πάντῃ, βάθος δὲ διόργυιός ἐστι· ἐς ταύτην κοντὸν κατιεῖσι ἐπ᾽ ἄκρῳ μυρσίνην προσδήσαντες, καὶ ἔπειτα ἀναφέρουσι τῇ μυρσίνῃ πίσσαν, ὀδμὴν μὲν ἔχουσαν ἀσφάλτου, τὰ δ᾽ ἄλλα τῆς Πιερικῆς πίσσης ἀμείνω· ἐσχέουσι δὲ ἐς λάκκον ὀρωρυγμένον ἀγχοῦ τῆς λίμνης· ἐπεὰν δὲ ἀθροίσωσι συχνήν, οὕτω ἐς τοὺς ἀμφορέας ἐκ τοῦ λάκκου καταχέουσι. ὅ τι δ᾽ ἂν ἐσπέσῃ ἐς τὴν λίμνην, ὑπὸ γῆν ἰὸν ἀναφαίνεται ἐν τῇ θαλάσσῃ· ἡ δὲ ἀπέχει ὡς τέσσερα στάδια ἀπὸ τῆς λίμνης. οὕτω ὦν καὶ τὰ ἀπὸ τῆς νήσου τῆς ἐπὶ Λιβύῃ κειμένης οἰκότα ἐστὶ ἀληθείῃ.

Λέγουσι δὲ καὶ τάδε Καρχηδόνιοι, εἶναι τῆς Λιβύης 196
χῶρόν τε καὶ ἀνθρώπους ἔξω Ἡρακλέων στηλέων κατοικημένους, ἐς τοὺς ἐπεὰν ἀπίκωνται καὶ ἐξέλωνται τὰ φορτία, θέντες αὐτὰ ἐπεξῆς παρὰ τὴν κυματωγήν, ἐσβάντες ἐς τὰ πλοῖα τύφειν καπνόν· τοὺς δ᾽ ἐπιχωρίους δομένους τὸν καπνὸν ἰέναι ἐπὶ τὴν θάλασσαν καὶ ἔπειτα ἀντὶ τῶν φορτίων χρυσὸν τιθέναι καὶ ἐξαναχωρέειν πρόσω ἀπὸ τῶν φορτίων. τοὺς δὲ Καρχηδονίους ἐκβάντας σκέπτεσθαι, καὶ

lichen Theile der Insel bei dem Dorfe Chieri auf einer von Bergen umgebenen Ebene, ungefähr eine halbe Lieue vom Meere. Ihr Ursprung scheint in den nahen Sandhügeln zu sein." — *πάντῃ*: zu I, 126. — *τῆς Πιερικῆς πίσσης*: "*Asia olim Plinio auctore* H. N. 14, 21 *picem Idaeam maxime probabat*, *Gracia Piericam*." Wessel.; nämlich vom Berge Pieros in Thessalien. — *ἐσχέουσι*: nämlich *τὴν πίσσαν*. — *ὅ τι δ᾽ ἂν .... θαλάσσῃ*: Kruse a. a. O.: "Dodwell glaubt, 80 Ruthen vom Meere die von H. bezeichneten Quellen, die jetzt aber grösstentheils ausgefüllt sind, entdeckt zu haben. Dort ist der Raum noch von Ueberresten einer Mauer umgeben. Drei oder vier kleine Löcher von bedeutender Tiefe finden sich noch in diesem Raume, und der Grund umher zittert, ein Zeichen, dass er hohl ist, wodurch es sich erklärt, dass eine unterirdische Verbindung mit dem Meere stattfinden konnte." — *τὰ ἀπὸ τῆς νήσου*: zu IV, 54.

C. 196. *ἔξω Ἡρακλέων στηλ.*: zu fassen wie C. 185. Zu II, 33 u. IV, 152. — *θέντες αὐτά*: Heeren S. 183: "In Sudan, jenseits der Wüste, in den goldreichen Ländern, erzählte man dem englischen Reisenden Lyon, gebe es ein unsichtbares Volk, das seinen Handel nur bei Nacht treibe. Die, welche gegen sein Gold mit ihm handeln wollen, legen ihre Waaren in Haufen hin, und ziehen sich zurück. Des Morgens finden sie eine Menge Goldstücke bei jedem Haufen, welche sie gegen die Güter nehmen, wenn es ihnen genug dünkt; wo nicht, lassen sie beides liegen, bis von den Anderen mehr Gold hinzugelegt wird." — *κυματωγήν*: Gloss. Her.: *αἰγιαλός*. Noch IX, 100. Die Carthager kamen ja zu

ἢν μὲν φαίνηταί σφι ἄξιος ὁ χρυσὸς τῶν φορτίων, ἀνελόμενοι ἀπαλλάσσονται, ἢν δὲ μὴ ἄξιος, ἐσβάντες ὀπίσω ἐς τὰ πλοῖα κατέαται, οἱ δὲ προσελθόντες ἄλλον πρὸς ὧν ἔθηκαν χρυσόν, ἐς ὃ ἂν πείθωσι. ἀδικέειν δὲ οὐδετέρους· οὔτε γὰρ αὐτοὺς τοῦ χρυσοῦ ἅπτεσθαι πρὶν ἄν σφι ἀπισωθῇ τῇ ἀξίῃ τῶν φορτίων, οὔτ' ἐκείνους τῶν φορτίων ἅπτεσθαι πρότερον ἢ αὐτοὶ τὸ χρυσίον λάβωσι.

197 Οὗτοι μέν εἰσι τοὺς ἡμεῖς ἔχομεν Λιβύων οὐνομάσαι· καὶ τουτέων οἱ πολλοὶ βασιλέος τοῦ Μήδων οὔτε τι νῦν οὔτε τότε ἐφρόντιζον οὐδέν. τόσον δὲ ἔτι ἔχω εἰπεῖν περὶ τῆς χώρης ταύτης, ὅτι τέσσερα ἔθνεα νέμεται αὐτὴν καὶ οὐ πλέω τούτων, ὅσον ἡμεῖς ἴδμεν, καὶ τὰ μὲν δύο αὐτόχθονα τῶν ἐθνέων τὰ δὲ δύο οὔ, Λίβυες μὲν καὶ Αἰθίοπες αὐτόχθονες, οἱ μὲν τὰ πρὸς βορέω οἱ δὲ τὰ πρὸς νότου τῆς Λιβύης οἰκέοντες, Φοίνικες δὲ καὶ Ἕλληνες ἐπήλυδες.

198 δοκέει δέ μοι οὐδ' ἀρετὴν εἶναί τις ἡ Λιβύη σπουδαίη ὥστε ἢ Ἀσίῃ ἢ Εὐρώπῃ παραβληθῆναι πλὴν Κίνυπος μούνης· τὸ γὰρ δὴ αὐτὸ οὔνομα ἡ γῆ τῷ ποταμῷ ἔχει. αὕτη δὲ ὁμοίη τῇ ἀρίστῃ γεῶν Δήμητρος καρπὸν ἐκφέρειν, οὐδὲ οἶκε οὐδὲν τῇ ἄλλῃ Λιβύῃ. μελάγγαιός τε γάρ ἐστι καὶ ἔπυδρος πίδαξι, καὶ οὔτε αὐχμοῦ φροντίζουσα οὐδέν, οὔτε ὄμβρον πλέω πιοῦσα δεδήληται· ὕεται γὰρ δὴ ταῦτα τῆς Λιβύης. τῶν δὲ ἐκφορίων τοῦ καρποῦ ταὐτὰ μέτρα τῇ

Wasser hin. — *ἀνελόμενοι:* zu II, 52. — *ἐς οὗ ἄν:* zu III, 31. — *πείθωσι:* überzeugen = befriedigen. — *αὐτούς:* anacoluthisch, denn die strenge grammatische Folgerichtigkeit würde *αὐτοί* verlangen. — *πρὶν ἄν*: zu I, 19. — *ἀπισωθῇ:* nämlich ὁ *χρυσός*. — *τῇ ἀξίῃ:* nämlich *τιμῇ*. — *πρότερον ἤ*: zu I, 19.

C. 197. *καὶ τουτέων ... οὐδέν*: Anknüpfung an das Ende des C. 167. — *ἐφρόντιζον*: zu IV, 167. — *τῆς χώρης ταύτης*: nämlich Libyen.

C. 198. *οὐδ' ἀρετήν:* Güte, Fruchtbarkeit, wie VII, 5. VIII, 144. Thuc. I, 2, 2. Bei *οὐδέ* schwebte dem Schriftsteller der Gedanke vor: so wenig als hinsichtlich der Grösse; vgl. IV, 36 ff. — *εἶναί τις:* das Pronomen gehört zu *σπουδαίη*, wie *μεγάλη τίς μοι δοκεῖ ἡ χρεία τῆς ῥητορικῆς εἶναι*. Plat. Gorg. 481 b. — *σπουδαίη*: *eximia*, *praestans*; zu I, 8. — *παραβληθῆναι:* zu I, 108. — *Κίνυπος:* zu IV, 175. — *αὕτη δὲ ... ἐκφέρειν:* gerade so I, 193. *ἔστι δὲ χωρέων αὕτη ἁπασέων μακρῷ ἀρίστη τῶν ἡμεῖς ἴδμεν Δήμητρος καρπὸν ἐκφέρειν*. Der Infinitiv *ἐκφέρειν* ist mit *ἀρίστη* zu verbinden, und zu erklären wie *ἄποροι προσμίσγειν* IV, 46. — *φροντίζουσα:* zu IV, 167. — *πλέω:* nämlich *τοῦ δέοντος*. — *τῶν ἐκ-*

Βαβυλωνίῃ γῇ κατίσταται. ἀγαθὴ δὲ γῆ καὶ τὴν Εὐεσπερῖται νέμονται· ἐπ᾽ ἑκατοστὰ γάρ, ἐπεὰν αὐτὴ ἑωυτῆς ἄριστα ἐνείκῃ, ἐκφέρει, ἡ δὲ ἐν τῇ Κίνυπι ἐπὶ τριηκόσια. ἔχει 199
δὲ καὶ ἡ Κυρηναίη χώρη, ἐοῦσα ὑψηλοτάτη ταύτης τῆς Λιβύης τὴν οἱ νομάδες νέμονται, τρεῖς ὥρας ἐν ἑωυτῇ ἀξίας θώυματος. πρῶτα μὲν γὰρ τὰ παραθαλάσσια τῶν καρπῶν ὀργᾷ ἀμᾶσθαί τε καὶ τρυγᾶσθαι· τουτέων δὲ δὴ συγκεκομισμένων τὰ ὑπὲρ τῶν θαλασσιδίων χώρων τὰ μέσα ὀργᾷ συγκομίζεσθαι, τὰ βουνοὺς καλέουσι· συγκεκόμισταί τε οὗτος ὁ μέσος καρπός, καὶ ὁ ἐν τῇ κατυπερτάτῃ τῆς γῆς πεπαίνεταί τε καὶ ὀργᾷ, ὥστε ἐκπέποταί τε καὶ καταβέβρωται ὁ πρῶτος καρπὸς καὶ ὁ τελευταῖος συμπαραγίνεται. οὕτω ἐπ᾽ ὀκτὼ μῆνας Κυρηναίους ὀπώρη ἐπέχει. ταῦτα μέν νυν ἐπὶ τοσοῦτον εἰρήσθω.

Οἱ δὲ Φερετίμης τιμωροὶ Πέρσαι ἐπείτε ἐκ τῆς Αἰ- 200
γύπτου σταλέντες ὑπὸ τοῦ Ἀρυάνδεω ἀπίκατο ἐς τὴν Βάρκην, ἐπολιόρκεον τὴν πόλιν ἐπαγγελλόμενοι ἐκδιδόναι τοὺς αἰτίους τοῦ φόνου τοῦ Ἀρκεσίλεω· τῶν δὲ πᾶν γὰρ ἦν τὸ πλῆθος μεταίτιον, οὐκ ἐδέκοντο τοὺς λόγους. ἐνθαῦτα δὴ ἐπολιόρκεον τὴν Βάρκην ἐπὶ μῆνας ἐννέα, ὀρύσσοντές τε

φορίων: d e s E r t r a g e s. — *τῇ Βαβυλωνίων γῇ*: vgl. I, 193. — *Εὐεσπερῖται*: zu IV, 171. — *ἐπ᾽ ἑκατοστά* und *ἐπὶ τριηκόσια*: zu I, 193. — *αὐτὴ ἑωυτῆς ἄριστα*: zu I, 193.

C. 199. *ὑψηλοτάτη*: s. Anm. zu IV, 158. — *τῶν καρπῶν ὀργᾷ*: *f r u c t i b u s t u r g e n t*; zu IV, 64. — *ἀμᾶσθαι*: locker angefügt an das Hauptverbum, wie II, 79; so weiter unten *συγκομίζεσθαι*. — *τὰ ὑπὲρ τῶν θαλ. χώρων τὰ μέσα*: *m e d i u s t r a c t u s s u p r a m a r i t i m a s o r a s p o r r e c t u s*. — *συγκεκόμισταί τε ... καὶ ...* und *ἐκπέποταί τε ... καὶ ὁ ...*: zu III, 76. — *ἐπέχει*: zu I, 104.

C. 200. Erzählung des C. 145 gemeldeten und C. 167 wiedererwähnten Heereszuges der Perser von Aegypten aus gegen Barka. Ueber Pheretime, Aryandes u. Arkesilaos vgl. C. 165 ff. — *ἐς τὴν Βάρκην*: Ritter I, S. 943: "Della Cella glaubt die alte Barke, die zu Herodots Zeit noch gestanden zu haben scheint, 2 Stunden gegen Süden von der alten Hafenstadt Ptolemais, landein, auf den Bergen gefunden zu haben bei dem Orte Mergi, wo Gräber und Mauerwerk sich vorfinden auf einer ebenen Bergfläche, deren sehr tiefe Brunnen das beste Wasser geben. Die Lage dieser Gegend ist sehr einsam, wild, gleicht der Landschaft des Plateaus der Kyrenaika; von dieser Gegend, scheint es, hat das ganze hohe Bergland den neueren Namen Barka erhalten." — *ἐπαγγελλόμενοι*: zu II, 121, 6. — *τῶν δὲ πᾶν γὰρ ἦν*: zu IV, 149. —

ὀρύγματα ὑπόγαια φέροντα ἐς τὸ τεῖχος, καὶ προσβολὰς
καρτερὰς ποιεύμενοι. τὰ μέν νυν ὀρύγματα ἀνὴρ χαλκεὺς
ἀνεῦρε ἐπιχάλκῳ ἀσπίδι, ὧδε ἐπιφρασθείς· περιφέρων
αὐτὴν ἐντὸς τοῦ τείχεος προσῖσχε πρὸς τὸ δάπεδον τῆς
πόλιος· τὰ μὲν δὴ ἄλλα ἔσκε κωφὰ πρὸς τὰ προσῖσχε,
κατὰ δὲ τὰ ὀρυσσόμενα ἤχεσκε ὁ χαλκὸς τῆς ἀσπίδος. ἀντ-
ορύσσοντες δ᾽ ἂν ταύτῃ οἱ Βαρκαῖοι ἔκτεινον τῶν Περ-
σέων τοὺς γεωρυχέοντας. τοῦτο μὲν δὴ οὕτω ἐξευρέθη, τὰς
201 δὲ προσβολὰς ἀπεκρούοντο οἱ Βαρκαῖοι. χρόνον δὲ δὴ πολ-
λὸν τριβομένων καὶ πιπτόντων ἀμφοτέρων πολλῶν, καὶ
οὐκ ἧσσον τῶν Περσέων, Ἄμασις ὁ στρατηγὸς τοῦ πεζοῦ
μηχανᾶται τοιάδε. μαθὼν τοὺς Βαρκαίους ὡς κατὰ μὲν τὸ
ἰσχυρὸν οὐκ αἱρετοὶ εἶεν, δόλῳ δὲ αἱρετοί, ποιέει τοιάδε.
νυκτὸς τάφρον ὀρύξας εὐρέαν ἐπέτεινε ξύλα ἀσθενέα ὑπὲρ
αὐτῆς, κατύπερθε δὲ ἐπιπολῆς τῶν ξύλων χοῦν γῆς ἐπε-
φόρησε, ποιέων τῇ ἄλλῃ γῇ ἰσόπεδον. ἅμα ἡμέρῃ δὲ ἐς
λόγους προεκαλέετο τοὺς Βαρκαίους· οἱ δὲ ἀσπαστῶς
ὑπήκουσαν, ἐς ὅ σφι ἕαδε ὁμολογίῃ χρήσασθαι. τὴν δὲ
ὁμολογίην ἐποιεῦντο τοιήνδε τινά, ἐπὶ τῆς κρυπτῆς τά-
φρου τάμνοντες ὅρκια, ἔστ᾽ ἂν ἡ γῆ αὕτη οὕτω ἔχῃ, μένειν
τὸ ὅρκιον κατὰ χώρην, καὶ Βαρκαίους τε ὑποτελέειν φάναι
ἀξίην βασιλέι καὶ Πέρσας μηδὲν ἄλλο νεοχμοῦν κατὰ Βαρ-
καίους. μετὰ δὲ τὸ ὅρκιον Βαρκαῖοι μὲν πιστεύσαντες τού-
τοισι αὐτοί τε ἐξήισαν ἐκ τοῦ ἄστεος καὶ τῶν πολεμίων
ἔων παριέναι ἐς τὸ τεῖχος τὸν βουλόμενον, τὰς πύλας πά-
σας ἀνοίξαντες· οἱ δὲ Πέρσαι καταρρήξαντες τὴν κρυπτὴν
γέφυραν ἔθεον ἔσω ἐς τὸ τεῖχος. κατέρρηξαν δὲ τοῦδε εἵ-
νεκα τὴν ἐποίησαν γέφυραν, ἵνα ἐμπεδορκέοιεν, ταμόντες

ὀρύγματα ὑπόγαια: cuniculos. — *ἀντορύσσοντες δ᾽ ἄν*: das *ἄν* gehört zu *ἔκτεινον*. Zu I, 42.

C. 201. *καὶ οὐκ ἧσσον*: das *καί* ist explicativ, und zwar, wie I, 52; hinter *οὐκ ἧσσον* ist zu ergänzen: als die Barkäer. — *κατὰ τὸ ἰσχυρόν*: wie *κατὰ τὸ καρτερόν* III, 65. So noch I, 76. IX, 2. — *ἐπιπολῆς*: zu I, 187. — *ἐς ὅ*: donec = ad extremum. — *ἔστ᾽ ἄν*: zu III, 31. — *μένειν κατὰ χώρην*: firmum manere, Bestand haben; vgl. III, 135. — *φάναι* ist hinter *Πέρσας* im Gedanken zu wiederholen. — *ἀξίην*: nämlich *τιμήν*, wie C. 196. — *νεοχμοῦν*: Greg.

τοῖσι Βαρκαίοισι χρόνον μένειν αἰεὶ τὸ ὅρκιον ὅσον ἂν ἡ γῆ μένῃ κατὰ τότε εἶχε· καταρρήξασι δὲ οὐκέτι ἔμενε τὸ ὅρκιον κατὰ χώρην. τοὺς μέν νυν αἰτιωτάτους τῶν Βαρκαίων 202
ἡ Φερετίμη, ἐπείτε οἱ ἐκ τῶν Περσέων παρεδόθησαν, ἀνεσκολόπισε κύκλῳ τοῦ τείχεος, τῶν δέ σφι γυναικῶν τοὺς μαζοὺς ἀποταμοῦσα περιέστιξε καὶ τούτοισι τὸ τεῖχος· τοὺς δὲ λοιποὺς τῶν Βαρκαίων ληίην ἐκέλευσε θέσθαι τοὺς Πέρσας, πλὴν ὅσοι αὐτέων ἔσαν Βαττιάδαι τε καὶ τοῦ φόνου οὐ μεταίτιοι· τούτοισι δὲ τὴν πόλιν ἐπέτραψε ἡ Φερετίμη.

Τοὺς ὦν δὴ λοιποὺς τῶν Βαρκαίων οἱ Πέρσαι ἀνδρα- 203
ποδισάμενοι ἀπήισαν ὀπίσω· καὶ ἐπείτε ἐπὶ τῇ Κυρηναίων πόλι ἐπέστησαν, οἱ Κυρηναῖοι λόγιόν τι ἀποσιεύμενοι διεξῆκαν αὐτοὺς διὰ τοῦ ἄστεος. διεξιούσης δὲ τῆς στρατιῆς Βάρης μὲν ὁ τοῦ ναυτικοῦ στρατοῦ στρατηγὸς ἐκέλευε αἱρέειν τὴν πόλιν, Ἄμασις δὲ ὁ τοῦ πεζοῦ οὐκ ἔα· ἐπὶ Βάρκην γὰρ ἀποσταλῆναι μούνην Ἑλληνίδα πόλιν· ἐς ὃ διεξελθοῦσι καὶ ἱζομένοισι ἐπὶ Διὸς Λυκαίου ὄχθον μετεμέλησέ σφι οὐ σχοῦσι τὴν Κυρήνην. καὶ ἐπειρῶντο τὸ δεύτερον παριέναι ἐς αὐτήν· οἱ δὲ Κυρηναῖοι οὐ περιώρων. τοῖσι δὲ Πέρσῃσι οὐδενὸς μαχομένου φόβος ἐνέπεσε, ἀποδραμόντες δὲ ὅσον ἑξήκοντα στάδια ἵζοντο. ἱδρυθέντι δὲ τῷ στρατοπέδῳ ταύτῃ ἦλθε παρ' Ἀρυάνδεω ἄγγελος ἀποκαλέων αὐτούς. οἱ δὲ Πέρσαι Κυρηναίων δεηθέντες ἐπόδιά σφι δοῦναι ἔτυχον, λαβόντες δὲ ταῦτα ἀπαλλάσσοντο ἐς τὴν Αἴγυπτον. παραλαβόντες δὲ τὸ ἐνθεῦτεν αὐτοὺς Λί-

Cor. de dial. Ion. §. 151 *νεοχμῶσαι, τὸ νεωστὶ κινῆσαί τι,* oder *νεωτερίζειν*. Noch V, 19.

C. 202. *περιέστιξε:* zu IV, 2. "*Verbum περιέστιξε testatur tanquam punctis moenia fuisse distincta mulierum mammis ab immani regina.*" Wessel.

C. 203. *ἀπήισαν ὀπίσω*: wie III, 16. — *ἀποσιεύμενοι*: zu I, 199. — *Βάρης*: heisst C. 167 *Βάδρης*. — *οὐκ ἔα*: zu II, 30. — *Διὸς Λυκαίου*: der lykäische Zeus wurde besonders in Arkadien verehrt, vgl. Pausan. 8, 2; daher ist es wahrscheinlich, dass der Cultus desselben von arkadischen Colonisten nach Kyrene gebracht worden sei, zu der Zeit, als die Kyrenäer alle griechischen Staaten *ἐπὶ γῆς ἀναδασμῷ* (IV, 159) einluden. — *περιώρων:* zu I, 24. — *οὐδενὸς μαχομένου*: obgleich kein Mensch wider sie stritt. — *φόβος:* "*Hic terror fuit Graecis*

βυες τῆς τε ἐσθῆτος εἵνεκα καὶ τῆς σκευῆς τοὺς ὑπολειπομένους αὐτέων καὶ ἐπελκομένους ἐφόνευον, ἐς ὃ ἐς τὴν Αἴγυπτον ἀπικέατο.

204 Οὗτος ὁ Περσέων στρατὸς τῆς Λιβύης ἑκαστάτω ἐς Εὐεσπερίδας ἦλθε. τοὺς δὲ ἠνδραποδίσαντο τῶν Βαρκαίων, τούτους δὲ ἐκ τῆς Αἰγύπτου ἀνασπάστους ἐποίησαν παρὰ βασιλέα, βασιλεὺς δέ σφι Δαρεῖος ἔδωκε τῆς Βακτρίης χώρης κώμην ἐγκατοικῆσαι. οἱ δὲ τῇ κώμῃ ταύτῃ οὔνομα ἔθεντο Βάρκην, ἥπερ ἔτι καὶ ἐς ἐμὲ ἦν οἰκευμένη ἐν γῇ τῇ Βακτρίῃ.

205 Οὐ μὲν οὐδὲ ἡ Φερετίμη εὖ τὴν ζόην κατέπλεξε. ὡς γὰρ δὴ τάχιστα ἐκ τῆς Λιβύης τισαμένη τοὺς Βαρκαίους ἀπενόστησε ἐς τὴν Αἴγυπτον, ἀπέθανε κακῶς· ζώουσα γὰρ εὐλέων ἐξέζεσε, ὡς ἄρα ἀνθρώποισι αἱ λίην ἰσχυραὶ τιμωρίαι πρὸς θεῶν ἐπίφθονοι γίνονται. ἡ μὲν δὴ Φερετίμης τῆς Βάττεω τοιαύτη τε καὶ τοσαύτη τιμωρίη ἐγένετο ἐς Βαρκαίους.

Panicus dictus, cuius utpote divinitus immissi non appareret ratio. Thuc. 7, 80, 2 und 4, 125, 1." Valcken. — *τῆς τε ἐσθῆτος εἵνεκα*: giebt den Grund zu *ἐφόνευον* an. — *σκευῆς*: zu I, 24. — *ἐπελκομένους*: die Nachzügler.

C. 204. *Εὐεσπερίδας*: zu IV, 171. — *τούτους δέ*: zu I, 112. — *ἀνασπάστους*: zu III, 93.

C. 205. *οὐ μὲν οὐδέ*: zu II, 120. — *εὖ τὴν ζόην κατέπλεξε*: ähnlich V, 92, 6 *διαπλέξαντος τὸν βίον εὖ*: vitae telam pertexere. — *ὡς ἄρα*: wie ja immer. — *αἱ λίην ἰσχυραὶ τιμωρίαι*: zu II, 120. — *τῆς Βάττεω*: aus IV, 162 geht hervor, dass sie die Frau des Battus war; sollte auch ihr Vater Battus geheissen haben?

Druck von Breitkopf und Härtel in Leipzig.